ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ

ΤΑ

ΕΥΡΕΘΕΝΤΑ

ΑΞΙΩΣΕΙ

ΤΟΥ

ΥΨΗΛΟΤΑΤΟΥ ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΟΥ

ΠΡΩΗΝ ΗΓΕΜΟΝΟΣ ΜΟΛΔΟΒΛΑΧΙΑΣ

ΚΥΡΙΟΥ

ΚΥΡΙΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ

ΓΚΙΚΑ ΒΟΕΒΟΔΑ

ΔΙ' ΕΠΙΜΕΛΕΙΑΣ

ΕΥΓΕΝΙΟΥ ΔΙΑΚΟΝΟΥ ΤΟΥ ΒΟΥΛΓΑΡΕΩΣ

ΗΔΗ

ΤΟ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΝΤΑ.

ΤΟΜΟΣ Α.

ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΕΝΟΦΩΝ Α. ΒΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝΣΤΟΛΕΙ

Ἐν Λειψίᾳ τῆς Σαξονίας

ἐν τῇ Τυπογραφίᾳ τȣ̃ Βρεϊτκόπφ.

Ἔτει ᾳψξη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΡ. 1558
ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΓΓΡΑΜΜΑΤΩΝ
ΕΚ ΤΩΝ ΤΟΥ
ΞΕΝΟΦΩΝΤΟΣ Α. ΣΙΔΕΡΙΔΟΥ
ΚΑΙ ΤΟΥΔΕ ΚΤΗΤΩΡ
ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝΙΤΟΛΕΙ

ΤΩ

ΠΑΝΙΕΡΩΤΑΤΩ ΕΝ ΑΡΧΙΕΡΕΥΣΙ

ΚΑΙ ΕΝ

ΧΡΙΣΤΩ ΜΟΙ ΣΕΒΑΣΜΙΩΤΑΤΩ ΠΑΤΡΙ

ΚΑΙ ΔΕΣΠΟΤΗ

Κ Υ Ρ Ι Ω

ΚΥΡΙΩ ΣΩΦΡΟΝΙΩ

ΤΩ ΠΡΩΗΝ ΠΤΟΛΕΜΑΙΔΟΣ.



Ἄνθρωπε τοῦ Θεοῦ· (Δὸς γὰρ τοῖς αὐτοῖς ΣΕ τούτοις προσφθέγξασθαι ῥήμασιν, οἷς ἡμῶν εἰώθεσαν οἱ Πατέρες τοὺς κατὰ ΣΕ.) Ἄνθρωπε τοῦ Θεοῦ· καὶ Ἄνερ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος. Ἰδοὺ δὴ ΙΩΣΗΦ τὸν ΣΟΝ, τὸν ΒΡΥΕΝΝΙΟΝ, τὸν ὑπὲρ αὐτοῦ τοῦ Πνεύματος, καὶ τῆς περὶ αὐτὸ ὑγιοῦς καὶ ἀμωμήτου θεολογίας, ὡς ὀκ οἶδ' ἔτις ἄλλος, ἀγωνισάμενον, πεπαῤῥησιασ-

μένως τε καὶ λαμπρῶς (ὅπερ ἦν καὶ ἐπόθεις·) παριόντα εἰς τὸ μέσον ἔχεις καὶ ἀρισεύοντα. Οὐχὶ ἡ καρδία ἡ ΣΗ ἄχρι τῆς ἄρτι ὥρας καιομένη ἦν ἐπ' αὐτῷ, ὡς ἐλάλει ΣΟΙ ἐκ τῆ ἀΦανῆς; καὶ ὡς ὑπὸ Φαύλη, καὶ μονονυχὶ ῥυπώση ἐκ τῆς καινογραΦίας τῇ ἐσθῆτι, διέΦαινέ ΣΟΙ τὸ ἐνὸν κάλλος ἐκ ἀκραιΦνὲς, ἀλλ' οἷον ἀπὸ γωνίας προκύπλων, αὐχμῇ τὰ πλεῖσα, καὶ εὐρῶτος ἀπήντα ἀνάπλεως; ἔχεις τοίνυν διὰ τῆς θαυμασῆς χαλκογραΦίας ἐπὶ τὸ ἀσειότερον τέως καὶ εὐπρεπέσερον προενηνεγμένον, ὃν πάλαι, εἰδ' ἂν αὐτὸς εἴποις ὅση, ἐπιθυμίᾳ ἐπεθύμησας, ἕτῳ παῤῥησιασάμενον κατιδεῖν. Καὶ νῦν ἰδὲ ΔΕΣΠΟΤΑ, ὁ θεοΦιλὴς διήνυσαί ΣΟΙ σκοπὸς, καὶ ὁ πόθος πεπλήρωται, καὶ ἡ κατὰ Θεόν ΣΟΥ αἴτησις ἐχὶ παρώΦθη, ἀλλ' ἡ προσευχή ΣΟΥ ἐπανῆκεν εἰς κόλπον ΣΟΥ ἀποσρέψασα. Οὐ γὰρ μὴ ἐκπέσῃ μάτην ῥῆμα τὸ ἐνθέως ῥηθέν· εἰδ' ἐ μὴ ἀποσραΦῇ κενὸς ὁ λόγος ἐπὶ τὸν ἐξ ὁσίας καρ-

δίας

δίας ἀπερευξάμενον. Τοιγαρῦν εἶπας μὴ καλὸν εἶναι τὰς πλείστας λανθάνειν τὰ τῦ ἀρισέως ἡμῶν ΙΩΣΗΦ ἀγωνίσματα· καὶ εἰπὼν ἔπεισας· καὶ πείσας κατήγαγες ἡμῖν καὶ αὖθις τὸν ἀγωνισὴν ἐπὶ τῦ σαδίε, δι' ὧν κατέλιπε συγγραμμάτων ἀγωνιάμενον. Εἰδὲ βάλει, τάτε τὴν ἄῤῥηκτον πανοπλίαν, ἐπὶ τῦ Πύργε Δαβὶδ, ἅμα ταῖς λοιπαῖς πρεέθηκας, ἔνθα χίλιοι θυρεοὶ κρέμανται, καὶ αἱ βολίδες τῶν δυνατῶν. Ἢ, περὶ τὴ κλίνην Φέρων ἔσησας καὶ τῦτον τῦ Σαλομὼν, περὶ ἣν ἑξήκοντα δυνατοὶ ἑσᾶσι κύκλω αὐτῆς ἀπὸ δυνατῶν Ἰσραὴλ, πάντες κατέχοντες ῥομφαίαν, δεδιδαγμένοι πόλεμον. Ἀνὴρ ῥομφαία αὐτῦ ἐπὶ μηρὸν αὐτῦ, ἀπὸ θάμβες ἐν νυξίν· ὡς ἂν δὴ μετὰ τῶν λοιπῶν καὶ ἷτος, τὰς λαθραίας τῶν ἐν σκότει διαπορευομένων ἐΦόδες ἀπὸ τῆς ἡμῶν Ἐκκλησίας, ἐΦ' ἧς ὁ Ἄρχων ἐπαναπέπαυται τῆς εἰρήνης, ὡς πορρωτάτω ἀποσοβοίη ἀπορρυόμενος. Ὅπως ἂν κατὰ θυμόν σοι

πρᾶξη τὸ βάλημα, καὶ τῆς ἐκβάσεως ἀπ ἀπελείφθη ἡ πρόθεσις! Ἐνέτυχες γὰρ καὶ αὐτὸς ΗΓΕΜΟΝΙ Εὐσεβεσάτῳ κῷ Φιλοχρίσῳ ὑπὲρ τῶν ἐν τοῖς ΒΡΥΕΝΝΙΟΥ τεύχεσι λόγων ζηλώσας, ὡς Ἰωσίᾳ ποτὲ τῷ τῆς Θεοσεβείας προσάτῃ Χελκίας ἐκεῖνος Ἱερεὺς ὁ Μέγας, ὑπὲρ τᾶ Βιβλίᾳ τῶν Νόμων ἐζήλωσεν ἐντυχὼν, ἐπειδάπερ λανθάνον εὕρηται, μηδὲ καλῶς ἀποκείμενον, ὅπερ ἐν χερσὶν εἶναι προσῆκε, καὶ πρὸ ὀφθαλμῶν ἀεὶ, καὶ κοινὸν γίνεσθαι τοῖς πᾶσι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν εὐσεβείας μελέτημα. Ὁ δὲ πάντα ἄριστος ΗΓΕΜΩΝ, ἢ πρὸς πᾶν ὅ,τι χρήσιμον ἐστὶ τῇ Ἐκκλησίᾳ, καὶ τῷ Γένει συντελᾶν τῷ ἡμετέρῳ, προθύμως ἔχει καὶ ἐπιῤῥέπως, ἀδέντι ἦτλον ἢ ὁ βασιλεὺς Ἰώδα τὸν τᾶ Χελκίᾳ, τὸν ἐν ΣΟΙ ζῆλον ἀποδεξάμενος, θᾶτλον ἢ λόγος ἐπένευσέ ΣΟΙ τὴν αἴτησιν, καὶ γράμμασιν Αὐθεντικοῖς ἐμοὶ τὸ ἔργον ἐπέταξεν. Ὁ δ' ἐγὼ καὶ τῷ κελεύσαντι ΗΓΕΜΟΝΙ, κῷ

ΣΟΙ

ΣΟΙ ΠΑΤΕΡ καὶ ΔΕΣΠΟΤΑ τῷ ἀξιώσαντι ἑτοίμως καθυπακόσας, τὴν ἐπισασίαν ἀνεβαλόμην τὸ πράγματος, μηδὲν ἴσως χείρων περὶ τὴν διανοίαν ὀφθῆναι φροντίσας τὸ ΣαπΦὰν, ἢ τὸ Ἀχαβὼρ, ἤ, εἴτις ἄλλος τότε περὶ τὴν τῶν Νόμων ἔκδοσιν ὑπερεγήσας, λόγε τινὸς ἠξίωται καὶ μνήμης ἐν Ἱεροῖς Γράμμασιν. Ταύτητοι καὶ ὥσπερ ἀπὸ ΣΟΥ, διὰ τὸ ΗΓΕΜΟΝΟΣ, ἐπ' ἐμὲ τέως τὸ ὑπέργημα κατιὸν ἦκεν, ἕτως ὑπ' ἐμὸ ἀνάπαλιν, δι' ἐπιταγῆς τῆς ἐκείνε, τὸ ἐντεῦθεν ἀνακύπλον καλὸν, καὶ ἡ τότῳ ἐπιχρεωτεμένη χάρις, ὡς ΣΕ ἐπανίτω. Καὶ γάρμοι καὶ τὸτο ἐντέταλται ὑπὸ τῆς ἐκείνε Μεγαλειότητος· ἵνα τῇ ΥΜΕΤΕΡΑ ΠΑΝΙΕΡΟΤΗΤΙ τὸ Βιβλίον προσενεχθὲν ἀνατεθείη, ὡς εἰσηγητὸ γενομένε, καὶ προτροπέως, καὶ μετὰ Θεὸν πρωταιτίε τῆς τότε ἐκδόσεως. Δέξαιο τοίνυν ὡς ἀπὸ ΣΟΥ ἐπὶ ΣΕ ἐπανιόντα τὸν ΣΟΝ ΒΡΥΕΝΝΙΟΝ ὁ Φιλοβρυέν-

νιος. Δεξάμενος δὲ, χερσὶν ἁγναῖς καὶ ὁσίαις πρὸς Θεὸν ἀναγάγοις τὸν παντὸς ἀγαθοῦ πρωτουργὸν αἴτιον ὄντα, καὶ δοτῆρα, καὶ πρύτανιν. Ἐν δὲ δὴ τῷ Θεῷ, τῷ μὲν ΕΠΙΦΑΝΕΣΤΑΤΩ καὶ ΕΥΣΕΒΕΣΤΑΤΩ ΗΓΕΜΟΝΙ, δαψιλεῖς αἰτήσαις καὶ πλουσίας τὰς ἀντιδόσεις, τῆς Θεοφιλοῦς ἕνεκα προαιρέσεως· ἐμοὶ δὲ, (εἴτι κἀγὼ περὶ τόδε πονήσας τὸ ἀγαθὸν συνετέλεσα) ἄφεσιν, καὶ ἔλεος, καὶ σωτηρίαν.

ΤΗΣ

ΥΜΕΤΕΡΑΣ ΣΕΒΑΣΜΙΩΤΑΤΗΣ

ΠΑΝΙΕΡΟΤΗΤΟΣ

Ἐν Λειψίᾳ ᾳψξη.
Ἰαννουαρίου ιέ.

Τέκνον σὺν Χριστῷ καὶ δοῦλος

Ο ΔΙΑΚΟΝΟΣ ΕΥΓΕΝΙΟΣ
Ο ΒΟΥΛΓΑΡΙΣ.

ΕΥΓΕ-

ΕΥΓΕΝΙΟΣ Ο ΔΙΑΚΟΝΟΣ Ο ΒΟΥΛΓΑΡΙΣ

ΤΟΙΣ

ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Ἐμελλον ἄρα καθ' ἡμᾶς ἤδη τὰ διασωθέντα ΙΩΣΗΦ τῦ ΒΡΥΕΝΝΙΟΥ Φιλοπονήματα, φωτὸς ἀπολαύσειν καὶ ἀκτῖνος ἡλιακῆς· μηδ' εἰ σκότῳ λήσειν τὸν πάντα χρόνον ἀεὶ κρυπτόμενα· καί τισι μὲν, ἐξ ἀντιγραφῆς μόνον γίνεσθαι δῆλα κομιδῇπερ ὀλίγοις, τοῖς δέ γε πλείοσι μάτιω ποθεῖσθαι, κάλλος μὲν ἀποπτον, πλῆτον δ' ἀνόνητον οὐ ἀφανεῖ, καὶ ἀδήλῳ ἀποκεισόμενα. Μᾶλλον δὲ, φωτὸς αὐτὰ δίκιω ἔμελλον ἐπιλάμψειν, διὰ τῆς τυπογραφίας τέως ἐξανατείλαντα, καὶ κοινὸν ἔτως ἀγαθὸν εἰς χρῆσιν προκύψειν, παντὶ τῷ ὁσίως τε καὶ ὁσχημόνως αἱρεμένῳ ὡς οὐ ἡμέρᾳ περιπατεῖν, καὶ Φρονεῖν μὲν ὀρθῶς, βιῶν δὲ ἀγνῶς καὶ ἀμέμπτως δεῖν ἡγεμένῳ, εἴτις ἀρτίπες εἶναι θέλοι,

καὶ τὰς τῆ σωτηρίᾳ βηματίζειν ὁδὸς ἀμφιδέξιος. Ἦν μὲν ἓν τὰ Συγγράμματα ἐκ πολλῆ πολλοῖς ποθεινὰ ταῦτα καὶ περιπόθασα, εἰ μή τισι καὶ ἄλλοις, ἐκ οἶδα· τῶν δ' ἡμετέρων, οἷς ἂν μικρᾶτις ἢ μείζων καταβάλλοιτο ἡ περὶ τὰς λόγας Φροντὶς, ἐγ' ᾧδα τῆτο, κἀξεπίσαμαι καλῶς, καὶ πεπείραμαι πάλαι, ὡς μονονᾳχὶ εἰπεῖν, ἅπασι. Τὶς γὰρ τῶν παρ' ἡμῖν Φιλολογέντων, ἐχὶ περὶ πολλῆ ἐποιήσατο τῶν ΒΡΥΕΝΝΕΙΩΝ μελετημάτων καὶ λόγων τυχεῖν; Ἀνδρὸς, ἐχ ὅπως τῆς ἱερᾶς θεολογίας ἐκ ἐν χρῷ, ἐδ' ἐπὶ πολῆς ἁψαμένε, καὶ τἰῶ ἄλλῳ σοφίαν, ὅση τῆς καθ' ἡμᾶς αὐλῆς ἔσω χορδέα, ὀργιάσαντος ἐπιμελῶς, ἀλλὰ καὶ τῷ ἐν καιροῖς τοιέτοις γεγονέναι, ἐν οἷς μετὰ τῆς Βασιλείας ἡμῖν καὶ τὰ τῆς Ἐκκλησίας ἐν παντὶ περιλῷ κινδώε, ἰώτα δὴ καὶ τὸ ἱμάτιον πωλεῖν ἔδει ὥσε πρίαθαι μάχαιραν, ἐῤῥωμένως μὲν αὐτῆ τῇ τῆ λόγε μαχαίρᾳ, ὃ ἐςὶ ῥῆμα Θεῆ, ἀγωνισαμένε, νεανικώτατα δὲ τό γε καθ' ἑαυτὸν τῇ φορᾷ τῶν ἐπιόντων κακῶν ἀπαντήσαντος; Ἀλλὰ τοσέτε μὲν, καὶ ἕτω δικαίε τοῖς πᾶσιν ἐντετηκότος τῆ περὶ τὰ εἰρημένα Συγγράμματα πόθε, εἷς ἡμῖν ἀνεφάνη, ὡς ἐκ Θεῆ, ὁ τὸ πέρας ἐπενεγκεῖν ἀπεδάσας, καὶ τὸ πλήρωμα ἐκτελέσαι προθυμηθεὶς τῆς ἐΦέσεως. Ο ΠΑΝΕΥΣΕΒΕΣΤΑΤΟΣ ΚΑΙ ΥΨΗΛΟΤΑΤΟΣ ΕΝ ΗΓΕΜΟΣΙ ΚΥΡΙΟΣ ΚΥΡΙΟΣ ΓΡΗΓΟΡΙΟΣ ΑΛΕΞΑΝΔΡΟΥ ΓΚΙΚΑΣ Ο ΒΟΕΒΟΔΑΣ, ὁ ἀ πάνυ πρώτω τῆς Δακῶν χώρας πανθυκλεῶς τε καὶ ἀξιαγάσως Ἡγεμονεύσας. Οὗ δὴ πρὸς εὐποιΐαν παντὸς

τὸς

τὸς τῆ Γαίης ἀπαράμιλλος μὰν ἡ προθυμία, ἀνεργὸς δ' ἡ προαίρεσις, δρασήριος δὲ ἡ ἀπεδή· ὡς τᾶτο μάλισα τῶν ἀν τῷ βίῳ πρὸς δύδοξίαν τε καὶ εὐκλειαν τιὼ ἀληθινιὼ σωτελεῖν αὐτῷ ἡγεμάνε, ἅτι βελδόμενος ἐκάσοτε καὶ διαπρατ]όμενος εἶη, τῶν, οἷς ἂν τοῖς πλείσοις ὠφελείας γένοιτο πρόξενος. Τέτε τοίνιὼ τῇ ἐπιταγῆτε καὶ ἀξιώσει πολλῶν ἕνεκα καὶ αὐτὸς καθυπείκειν ὀφείλων, ἐδὰ ἦτ]ον δύθύμως τε καὶ ἀσμενῶς τῆς τᾶδε τᾶ Βιβλίε ἐκδόσεως τιὼ ἐπισασίαν ἀνεδεξάμιν, ὡς ἀντεῦθεν καὶ τοῖς ὁμογενέσιν ἐμαυτὸν εἰδὼς τὰ μέγισα χαριέμενον. Ἀλλ' ἐπειδὴ γὰρ πρὸ τῶν τυπογραφεμένων βιβλίων, (καὶ μάλισα εἰ ταῦτα τύχοι τῶν ἤδη πρῶτον ἐκδιδομένων, καὶ μήπω πρότερον·) εἴδισάτινα, ὡς ἀν εἶδει προδιοικήσεώς τε καὶ προϋπομνήσεως προλαμβάνεθαι, φέρε δὴ καὶ αὐτὸς τῷ ἔθει ςοιχήσας βραχέα τῶν εἰωθότων ἀνταῦθα προαναγρέσωμαι, ὧν ἡ εἴδησις ἐκ ἀλυσιτελὴς ἴσως ἂν εἴη τοῖς μετελδσομένοις ἐδ' ἅμεσος.

ΙΩΣΗΦ τοίνιὼ ὁ τῆς δε τῆς Βίβλε Πατὴρ, εἰ μὰν εἰς τιὼ τῶν ΒΡΥΕΝΝΙΩΝ σειρὰν βεβαίως ἰῶ ἀναγόμενος, τῶν Ἐθναρχίαις ποτὲ καὶ Στρατηγίαις διαπρεψάντων, καὶ Βασιλικαῖς μὰν ἐπιγαμβρίαις, Καισαρικοῖς δὲ ἀξιώμασι, καὶ ταῖς πρώταις ἁπλῶς μετὰ τιὼ πρώτιω ἢ Βασίλειον, ὑπεροχαῖς λαμπρωθέντων, ἐκ ἔχω λέγειν. Εἰή δ' ἂν ἅπερ, ἐκ ῥίζης δήπε τῶν κατ' αὐτὸν ἀνθρώπων τῆς ἐπιφανεσάτης ἔλκων τιὼ διαδοχιὼ, ὡς ἀπὸ σνιαυτῶν πε τετρακοσίων, ἄνωθεν ἑς γ' ἐπὶ τᾶτον, τῷ Γαίης Φθάσαντος μεγαλωθῆναι, ἔπερ αὐτὸν ἴσμεν φέροντα τὸ ἐπώνυ-

ἐπώνυμον. Τᾶτο μέντοι καὶ αὐτὸς ἀκέειν δῆλος ἰῶ χαίρων, καὶ ἑαυτὸν ἐπικαλεῖν, εἴποτ' ἐδέησεν, ἑτοιμότατος. Μαξίμῳ γὰρ τῷ Ἰταλῷ, τῷ ἀπὸ τῆς τάξεως τῶν Κυρύκων (πρὸς ὃν αὖ Κρήτη τῇ Νήσῳ καὶ τιὼ πρώτιω ἔχε τῶν Φερομενάων αὐτᾷ Διαλέξεων·) ἐκπιωθανομένῳ μεταξὺ καὶ τόδε περιτ]ῶς, ὅστις εἴη; ΒΡΥΕΝ-
» ΝΙΟΣ, ἁπλώτα, ΙΩΣΗΦ, ὁ νεῶσοι διαλε-
» γόμενος. Καὶν τῇ ἐπιγραφῇ δὲ τᾷ Προγράμματος, τὲς αὐτᾷ τοῖς λόγοις ἐντυξομένες
» προσαναφθεγγόμενος, ΙΩΣΗΦ ΜΟΝΑ-
» ΧΟΣ Ο ΒΡΥΕΝΝΙΟΣ, δύχας αὖ Χριςῷ,
» καὶ ἀξίωσιν αὐτοῖς ἐπαγγέλλεται. Καὶ ἐδεὶς δ' ἂν ἄλλως καθ' ἡμᾶς ἤδη, ἐδ' αὐτὸς ἐπιγνώσεται, ἔθ' ἑτέροις ἐπιγνωριεῖ τὸν Ἄνδρα, μὴ τὸ, ΒΡΥΕΝΝΙΟΣ οἷον ἐπίσημον, τῇ μὲν ἐπιλεγόμενον προσακόων, τῇ δ' ἐπιλέγων, εἴτινά ποτε τότε μνείαν γενέσθαι δείσειεν.

Ἀλλὰ τίνα μὲν αὐτὸν χρὴ λέγειν δῆλον ἐπὶ τοσᾶτον· ὅθεν δὲ ἢ γνωρίζειν, ἐδὲ τᾶτ' ἄδηλον. Ὅτι γὰρ δὴ τιὼ Κωνσαντίνε Μεγαλόπολιν αὐχῶν ἰῶ Πα]ρίδα, πάν]ες μικρᾷ οἱ καθ' ἡμᾶς μαρτυρᾶσι Βυζάντιον αὐτὸν ἢ εἰδότες ἢ λέγον]ες. (1) Φαίνεται δὲ ἐκ ἀσαφῶς καὶ αὐτὸς τᾶτο ὑποδηλῶν,

(1) Οἱ Νεώτεροι πάντες ὡς ἀφ' ἑνὸς ςόματος· Δεπίνιος αὖ Τόμ. ΙΒ'. Κεφαλ. Ε'. Σελ. 121. Ἰωάνν. Ἀλβερ. ὁ Φαβρίκ. αὖ τῇ Ἑλλιυικῇ αὐτᾷ Βιβλιοθ. Τόμ. Ι. Σελ. 525. Καὶ αὖ τοῖς Γυλιέλμε τᾷ Κάβε περὶ τῶν Ἐκκλησιας. Συγγραφ. Οὐάρτων αὖ ταῖς προθήκαις, Αἰῶν. ΙΕ'. Ἐτ. 1420. Καὶ Ῥεχεμβέργιος, αὖ Ἐπιτομ. τῆς Ἐκκλησ. Ἱςορ. Περιόδ. Δ'. Κεφ. Ε'. Τμήμ. ΙΕ'. §. 31.

λῶν, ἀν οἷς περὶ τῆς τῆς πόλεως ἀνακτίσματος τὸν Προτρεπ]ικὸν δημηγορῶν, ὡς περὶ Πατρίδος ταύτης γνησίας διέξεισι. „Τῆ γὰρ ἡμετέρᾳ (φησὶ) γαίᾳ τὸ ἔδαφος. Καὶ τῆτο μὲν ἄντις πλατύτερον αὐτὸν εἰρηκότα ἴσως ἐκδέξαιτο· τὸ ἀνταῦθα δηλονότι σύμπαντος τῆ Γαίᾳς τὸ κράτος κατεσηρίχθαι νοήσαντα· ἢ δήπᾳ „καὶ κοινῶ Πατρίδα, καὶ Μητέρα ταύτῳ, καὶ τροφὸν τῶν ὀρθοδόξων χρισιανῶν ἐχομένως προσείρηκεν, εἰ μὴ ἐκδηλότερον ἔτι κατωτέρω, ταύτῳ εἶναι τῳ αὐτὸν ἀνεγκαμένῳ ἐσήμανε. Προϊὼν γὰρ ἀν τῷ αὐτῷ λόγῳ, ὡς Πατρίδος κήδεται τῷ ὄντι τῆς ἰδίως αὐτῷ προσηκέσης, καὶ ὑπὲρ αὐτῆς θερμότερον ἀγωνιᾷ, καὶ περιπαθέσερον διατίθεται. Ἐκ γὰρ τῶν περιόντων αὐτῇ καλῶντε καὶ σεμνῶν ἐκπαθῶς ἐξυμνήσας, καὶ τῶν πόλεων ἁπασῶν ἀναμφιρίσως ὑπερκειμένῳ διὰ ταῦτα ἀποφωάμενος, εἶτα προσίθησιν· „Ἀλλ' ἡ ἔτω καὶ μεγάλη, καὶ καλὴ, καὶ ἐξαίρετος πόλις .... δεῖται τῆς παρ' ἡμῶν ἀνακτίσεως, οἵᾳ τις Μήτηρ δι' ἔξωρον ἡλικίαν, τῆς ἐκ τῶν οἰκείων τέκνων γηροκομίας αὐτῆς. Διάτοι τῆτο σωδράμωμεν πάντες παρακαλῶ· ἀσθώμεν ὅλῳ ποδί· ποιησώμεθα ἔρανον· ὑποσηρίξωμεν ἤδη γεγηρακυῖαν, καὶ συμπί]ουσαν ἡμῶν τῳ Μητέρα· δῶμεν αὐτῇ χεῖρα πιπ]άσῃ διὰ τὸν Χρισόν· ἀποδῶμεν αὐτῇ τὰ θρεπ]ήρια ἀν τῷ γήρᾳ· τῆτο γὰρ χάριν ἡμᾶς εἰς τόδε παρήγαγε καὶ ἡλικίας, καὶ γνώσεως, ἢ παιδεύσεως, κτλ. Ταῦτα γῆν ἐκ ἂν εἶχε λέγειν εἰκότως, ὁ μὴ ἀν αὐτῇ καὶ τεχθεὶς, καὶ τραφεὶς, καὶ παιδευθεὶς, καὶ τῷ χρόνῳ διαγαγὼν τὸ πλεῖσον, ὃν ἄχρις

ἄχρις ἐκείνȣ ἐβίωσε. Τελȣυταῖον δὲ καὶ ἐν τῷ
„ περὶ τῆς ἡμῶν πίϛεως, „ξένοι (φησὶν) ἐσμὲν τῆς
„ ἡμῶν ταύτης πόλεως· ὅτι πόλις ἡμῶν πέφυκεν
„ ἀληθὴς, ἡ ἄνω Ἱερȣσαλήμ. Συνήθες δὲ τȣ̀ς
πρὸς τὴν ἐν ȣ̓ρανοῖς ἀφορῶντας Πατρίδα τὴν
μέλλȣσαν, τῶν ἐπὶ γῆς πόλεων ȣ̓χ ἁπλῶς ἐξόμνυ-
σθαι τὴν τυχȣ̃σαν, καὶ μηδὲν αὐτοῖς διαφέρȣ-
σαν, ἢν δὲ μάλιϛα χώραν ἔχον τῆς κάτω γενέ-
σεως, τὴν ἰδίᾳτε καὶ διαφερόντως σφίσι προσή-
κȣσαν. ΒΡΥΕΝΝΙΟΣ μὲν ȣ̃ν ȣ̃τω περὶ τῆς
Κωνϛαντίνȣ προαχθεὶς εἰπεῖν, ȣ̓κ ἔϛιν ὅπȣ περὶ
αὐτῆς, ὡς περὶ Πατρίδος ἰδίας ȣ̓χὶ ἐφθέγξατο.

Ἐν μὲν ȣ̃ν τῇ Μεγαλοπόλει ταύτῃ τεχθεὶς
ὡς εἴρηται καὶ ἀχθεὶς, ἐν τοῖς ἐκεῖσε Παιδȣυτη-
ρίοις ȣ̓κ εἰς κενὸν ἔοικεν ἐνδιατρίψας· φύσεως
γὰρ γενναίας τυχὼν, καὶ προθυμίᾳ συντόνῳ
χρησάμενος, ȣ̓ φαῦλον τινὰ τὸν ἐκ τῆς παιδείας
συνείλοχε καρπὸν, ταχὺ δὲ ὤφθη, ὡς περὶ αὐ-
τȣ̃ φησὶ ΓΕΩΡΓΙΟΣ Ο ΣΧΟΛΑΡΙΟΣ (1),
„ καλῶν τε Διδασκάλων ἄριϛος μαθητὴς γεγονὼς,
„ καὶ τοῖς ἄλλοις ἐν Διδασκάλȣ τάξει γεγενημένος.
Οἷον ȣ̃ν ὁλκάδα πολύφορτον τὴν ἑαυτȣ̃ ψυχὴν
ἁπάσης λόγων ἰδέας πληρώσας, ἐπὶ τὸν ἐκ τῆς
ἄλλης ἀρετῆς πλȣ̃τον ὅλην ἐφεξῆς συνέτεινε
τὴν σπȣδὴν, καὶ τὴν θεωρίαν τῇ πράξει δεῖν
ἔγνω συζεῦξαι, ἐξ ὧν ὁ τέλειος ἀμφοτέρων συνα-
παρτίζεται ἄνθρωπος. Διὸ καὶ φέρων ἑαυτὸν
τῷ Μοναχικῷ ζυγῷ καθυπέβαλεν, ἅτε δὴ τὸ
μονῆρες

(1) Ἐν τῷ Σημειώμ. τῆς κατὰ Βέκκȣ Συνόδ. ἐν Προλεγ. τȣ̃ Τόμ. τῆς Ἀγάπ. Σελ. 8.

μονῆρες τῆς διαγωγῆς καὶ ἡσύχιον, τό, τε ὡς μάλισα ἀπὸ τῆς τῶν πολλῶν τύρβης γενέσθαι, εἴτις Θεῷ προσανέχειν ἐθέλοι, καὶ ἀρετῆς ἢ δέον ἐπιμελεῖσθαι, ἀναγκαιότα]ον εἶναι τιθέμενος. Ὅθεν καὶ ταῖς παρ' ἀνθρώποις ὑπεροχαῖς, ἀφ' ὧν οἱ πλεῖσοι σφᾶς περισεμνύειν εἰώθασιν, ὅσαι αὖ Ἐκκλησιασικοῖς ἱδρυνται βαθμοῖς, ἢ αὖ λειτεργίαις πολιτικαῖς ἐξετάζονται, χαίρειν εἰπὼν, ἰδιωτεύειν ὡς ἥδισα ἡρετίσατο, καὶ Θεῷ γινώσκεσθαι μᾶλλον ἐφρόνει, ἢ ἀνθρώποις καθίσασθαι γνώριμος. Καί τοι ἐκ ἐς τέλος αὐτῷ ἐφείθη μένειν ἐπὶ τῆς προθέσεως, ἀλλ' ἀπὸ τῆ μοδίᾳ ἐξενεχθεὶς, ἃ λανθάνων ἠγάπα, ἐπὶ τιὼ λυχνίαν ἐτάσετο, Πατριαρχικῇ ἀξιώσει, καὶ Βασιλέως κελεύσματι, τιὼ διανομιὼ τῆ λόγᾳ πεπισευμένος. Ὃ δὴ καὶ ἔτι μάλα ἑκὼν ἀποδέδεκται, ὡς αὐτὸς αὖ τῷ Προγράμματι ἑαυτῷ μαρτυρεῖ· ἀποδέδε]αι δ' ἕν, τῆς πρὸς τὲς ἡγεμόνας παρακοῆς δεδιὼς καὶ φεύγων τὸν ὄλιθον, ὡς αὐτὸς πάλιν καὶ τῆτο αὖ τῷ τρίτῳ τῶν εἰς τιὼ Σταύρωσιν, κα]' αὐτάπᾳ τὰ προοίμια τῆ λόγᾳ, σαφῶς διέξεισιν. „Οὗτοι γὰρ φησὶ (περὶ τῆ Αὐτοκράτορος λέγων καὶ τῆ Πατριάρχᾳ) οἱ μετὰ Θεὸν ἡμῶν καὶ Ἐξσιασαὶ, καὶ Δεσπόται, καὶ Κύριοι, ὧν δίχα χρισιανικῶς ζῶ ἐκ εὐμήχανον, τῇ τῆς ἑαυτῶν ἐξσίας καὶμὲ ψηφίσαντες μάσιγι, τὸν τόσα ἔτη ὑποχωρῆντα καὶ μηδὲν κακὸν ἔχοντα τῆς προθέσεως ἐκβαλόντες, εἰς τιὼ πάνδημον ταύτιω Ἐκκλησίαν φέροντες ἔσησαν. Πάντως δ' ἐκ ἰῶ ἀντειπεῖν· ἐκῆν δ' ἀντεῖπον· τοῖς δὲ θελήμασίμᾳ χαίρειν εἰπὼν, καὶ οἰμώζειν μακρὰν τῇ παρακοῇ, τιὼ πρὸς αὐτὲς „προέ-

„ προέκρινα μᾶλλον ὑπακοὴν, ἐκεῖνο κρίνας πρὸς
„ ἐμαυτόν· ὁ βασιλεὺς ἐπιτάττει, καὶ τὶς αὐτῷ
„ καλῶς προςάττοντι ἀντιςήσεται; ὁ Πατριάρ-
„ χης κελεύει, καὶ τὶς αὐτῷ ἀπειθήσει ὀρθόδοξος;
„ ὁ Θεὸς τοῦτο θέλει τὸ ἔργον, καὶ τὶς αὐτὸν πα-
„ ρακρούσεται; ἢ τὶ πρὸς αὐτῆς τῆς ἀληθείας
„ ἐχρῆν με ποιεῖν; φεύγειν εἰς Σικελίαν (Ἴσ. εἴς τι
„ Κελλίον·) ἢ κρύπτεσθαι ὑπὸ ζοφώδη ςοάν; ἢ τὸν
„ ἔξηχον ὑποκρίνασθαι; (ταῦτα καὶ γὰρ ὁ λογισ-
„ μὸς ὑπετίθει ποιεῖν,) καὶ πρὸς ἀρχὰς οὕτω μεγά-
„ λας ἔχθραν ἄσπονδον ἀναδέξασθαι; καὶ τίνα ἂν
„ εἶχον προβάλλεσθαι τότε ἀπολογίαν, ἐπὶ τοῦ δι-
„ καίου Κριτοῦ; ἢ τίνα πρόφασιν προφασίσασθαι
„ τῷ λέγοντι τῇ ψυχῇ μου, πᾶσα ψυχὴ ἐξουσίαις
„ ὑπερεχούσαις ὑποτασσέσθω; Διὰ δὴ ταῦτα ὑπέ-
„ κυψα, καὶ πάρειμι, ὡς ὁρᾶτε, τοῖς Ἄρχουσι πλη-
„ ρῶν τὴν ὑπακοήν· ἐπεὶ, τόγε εἰς τὴν ἐμὴν ἧκον
„ πρόθεσιν, σιγῇ βιῶναι τὸ λοιπόν μοι τοῦ βίου προή-
„ ρημαι, καθὰ καὶ πρὸ τοῦ, πολὺν σεσίγηκα χρόνον.
Οὐμὴν τὸ τοῦ Διδασκάλου ταύτῃ ἐπάγγελμα ἐξ
ἐπιταγῆς οὕτως ἀπαραιτήτου ἀναδεξάμενος, τῷ
Σχήματι τοῦ Μονάζοντος κομιδῇ ἀπετάσσετο·
συνῆπτε δὲ, ὅσον ἐνεχώρει, τῷ τοῦ λόγου Κήρυκι
τὸν τῆς σιγῆς τρόφιμον, καιροὺς τε καὶ ὅρους ἀμφοῖν
ἐπιςημόνως τάξας τοῖς πολιτεύμασι· λέγων θ' ὅ-
που χρὴ, καὶ σιγῶν ὅπῃ καλὸν, ἐν μὲν ῥητόρων
κύκλῳ τὸν ἡσυχαςὴν διηκρίβου, ἐν δὲ τάξει μο-
νοτρόπων τὸν ῥητορεύοντα διεγύμναζεν. Ἐπιβα-
λὼν γὰρ ἅπαξ τὴν χεῖρα ἐπὶ τὸ ἄροτρον, οὐκ εὔθε-
τον εἶναι ἔκρινεν εἰς τὰ ὀπίσω ἐπιςραφῆναι, ἀλλὰ
τῷ μὲν βίῳ εὐθεῖαν τέμνων προήει τὴν αὔλακα,
τῷ δὲ λόγῳ πλουσίως τὸν σπόρον ἐξέχεε, καὶ δι'
ἀμφοῖν

ἀμφοῖν νεῶσαι τῷ Θεῷ τὸ γεώργιον, καὶ κάρπιμον ἀναδείξαι καὶ πολύφορον, ἠγωνίζετο. Καὶ παρήει μὲν εἰς μέσον ὁπότε δέοι, τιμὼ τῆς διδασκαλίας λειτουργίαν ἀποπληρῶν· ἐξέλλετο δὲ τῆς πρεσβείας ἐξυπηρετεῖσθαι καὶ τὰς ῥᾳθυμοτάτω ὑπὲρ Ἐκκλησιαστικῶν πραγμάτων, τοποτηρητὴς ὡς ἐκ τῶ Πατριάρχε, καὶ τῆς Ἱερᾶς Συνόδε ἀναδεικνύμενος· καὶ ἐν καθέδρᾳ δὲ συχνὰ Πρεσβυτέρων καὶ Ἀρχόντων καθῆστο, τὰ πρακτέα περὶ τῶν παρόντων ὑποτιθέμενος· καὶ ὁ μόνον πρὸς τὰ πλήθη παῤῥησιαζόμενος, ἀλλὰ καὶ τῶν ἐν ὕψει ἀξιωμάτων ἐνώπιον, καὶ ἐναντίον Βασιλέων λαλῶν ἐκ ἠχθύετο. Λειτουργήσας δὲ τὸ ἐπ' αὐτῷ τὰ εἰκότα, κατὰ τὰς χρείας, ἐκ μέσε αὑθις ἑαυτὸν ἐποιεῖτο, καὶ ὁ Μοναχὸς ἐν ἤθεσι τοῖς ἰδίοις ὑπανεχώρει γινόμενος. Ἐντεῦθεν ἔν ποτε καὶ „ἀδικεῖν εἴρηται (1) τὲς Ῥωμαίες, πάνυ διψῶντας ἀκέειν αὐτῆ τῆς φωνῆς, ὡς διὰ τριῶν ἐτῶν τιμὼ σιγμὼ ἀσασάμενος. Ὁ δὲ καὶ παρὼν ἐνίοτε, καὶ εἰπεῖν προκαλέμενος, ὅμως σιγᾶν ᾑρεῖτο, καὶ ἐν καιρῷ τῷ μᾶλλον προσήκοντι τὸν λόγον διεπρυτάνευεν· ἔτω σιγῆς ἰῶ καὶ λόγε διαιτητὴς ἀκριβὴς καὶ οἰκονόμος ἄριστος. Ῥᾴδιον δὲ τῆ Ἀνδρὸς τὸν χαρακτῆρα τῆτον καὶ πολλαχῆ μὲν τῶν αὐτῆ λόγων ἐμφαινόμενον κατιδεῖν, καὶ δὴ καὶ ἐπὶ τῆς πρὸς τὲς ἐκ Ῥώμης διαπρεσβευσαμένες Διαλέξεως ἐχ ἥκιστα. Ἐπὶ πολὺ γὰρ εἰς τὸ εἰπεῖν αὐτὸν προάγοντας καὶ οἷον ὑπερεθίζοντας τιμὼ ἀρχιὼ παρητεῖτο, καὶ διὰ πολλῶν ἀπεκρέετο, μήπω καιρὸν

(1) Διαλέξ. πρὸς τὲς ἐκ Ῥώμ. Πρέσβ.

ρὸν εἶναι τῶ λαλεῖν ἐκεῖνον περὶ τῶν προκειμένων ἡγέμονος· ὅτε πρὸς τοῖς ἄλλοις καὶ τάδε ἐπήγαγε, „περὶ τέτων, φήσας, ἐμοὶ ἀπαντήσαι „ ὀλίγα, ἃ ἐδὲ μέλει· ταῖς ἁγίαις ταῦτα Σιωό„ δοις ἀνήκει, τοῖς Πατριάρχαις, τοῖς Μητροπο„ λίταις, τοῖς Ἐπισκόποις, τοῖς ΣταυροΦόροις, „ τοῖς Ἡγεμόνοις, καὶ τοῖς ἔτω καλεμένοις Πνεύ„ ματικοῖς· ἐμοὶ δὲ, ἅτε μονοτρόπω τὸν βίον, „ μελήσει τῶν κατ' ἐμέ. Ἐφ' οἷς καὶ ταῦτα προσέθετο, ὧν οἱ καθ' ἡμᾶς Ἐκκλησιαστικῆς λαχόντες προεδρείας μὴ δυχεραινόντων ἀκέοντες. Καὶ γὰρ ἐδ' οἱ τότε οἶμαι, τῶ ΙΩΣΗΦ εἰπόντος, πρὸς νέμεσιν ἦκον. „Οἱ δρεπόμενοι, Φησὶ, „ τὰς τῆς χώρας καρπὰς, καὶ τὰ ζιζάνια ἐκρι„ ζάτωσαν· οἱ τὸ γάλα, καὶ τὰ ἔρια, καὶ τὰ „ κρέα τῆς ποίμνης καρπέμενοι, καὶ τὰς θῆρας „ ἐκ ταύτης σοβείτωσαν· ἢ τῶν μὲν τῆς ποίμνης „ καὶ τῆς χώρας καλῶν, ἀπολαύειν ἑτέρους, ἐμοὶ „ δὲ μόνων μετέχειν τῶν δεινῶν αὐτῆς ἔξεσιν; Ἀλλ' ὁ μὲν τῶ ΒΡΥΕΝΝΙΟΥ χαρακτὴρ, καὶ ὁ βίος, καὶ ὁ τρόπος τοιῶτος.

Ὁ δὲ, ἐδὲ τὸν χρόνον ἀπεσίγησε καθ' ὃν περιῶ τῷ βίῳ, τῶ μὴ πολλαχῶ τῶν αὐτῶ λόγων. σαΦῶς καὶ τῶτον ἡμῖν διαμνημονεῦσαι· ἀλλ' ὤΦθη δὴ τῶν πώποτε κατὰ τὼ αὐτὼ αὐτῷ ἰδέαν συγγεγραΦότων, ἐν τῷ παρασημειῶν τὰς χρόνας ἐπιμελέστατος· ὅπερ ἰσορίαν μὲν ἀναγράΦοντι ἀναγκαῖον, καὶ κομιδῆ ἀπαραίτητον, ῥητορεύοντι δὲ, καὶ ἀπ' ὀκρίβαντος μελετῶντι, ἃ πάνυτι εἰωθὸς, ἐδὲ ὀΦειλόμενον. Τέτε ἓν μέμνηται ΓΕΩΡΓΙΟΣ Ο ΣΧΟΛΑ-

ΛΑΡΙΟΣ (1) ὡς μηκέτι μὲν περιόντος τῷ βίῳ, γενομένȣ μέντοι ȣ̓χ ȣ̃τω πρώτω, ὥςε μὴ τῇ κατ' αὐτὸν γενεᾷ ἔχειν ἀναταχθῆναι· „Ἐν γὰρ ταῖς ἡμέραις ἡμῶν (φησὶν) ἐγένετο διαπρέψας, καὶ βίῳ, καὶ λόγῳ, κτ. Τῶν δέτοι ὕςερον, καὶ τὸν χρόνον προσεπισημήνασθαι φιλοτιμησαμένων, ἔςι μὲν ὃς (2) περὶ τὸ εἰκοςὸν μετάγε τὸ τετρακοσιοςὸν ἐπὶ τοῖς χιλίοις, ἀκμάσαι τȣ̃τον παρέδωκεν. Ὁ δὲ (3), καὶ ἦπȣ ὀρθότερον, δυσὶν ἐνιαυτῶν δεκάσιν ὀπίσω τὸ κατ' αὐτὸν τȣ̃ χρόνȣ ἀνέλκει, ἀπὸ τȣ̃ τετρακοσιαςȣ̃ μετὰ τὸ χιλιοςὸν ἐν ἀκμῇ τῆς φήμης τάξας γενόμενον, καὶ λαμπρῶς ἤδη ȣ̓δοκιμȣ̃ντα ἐξ ἐκείνȣ καὶ λόγοις καὶ πράξεσιν. Ἡμῖν δὲ, καὶ παντὶ τῷ βȣλομένῳ, ῥᾴδιον ἐκ τῶν σωζομένων τȣ̃ Ἀνδρὸς φιλοπονημάτων, ȣ̓ μόνον τὸν χρόνον ἁπλῶς ȣ̓τωσὶ καθ' ὃν γνωριμώτατος ἐτύγχανε γεγονὼς ἀναδιδαχθῆναι, ἀλλὰ καὶ τῶν λόγων τῶν αὐτȣ̃ τινὰς χρονικῶς διαςεῖλαι, καὶ ἐνιαυτὸν, καὶ μῆνα, καὶ ἡμέραν αὐτὴν ȣ̓ρίσκοντας ἐπ' ἐνίων σημειȣμένην, ἐν ᾗ τȣ́τȣς ἠγώνισαι.

Οἷον, (ȣ̓ γὰρ ἀσιωτελὲς ἴσως, καί τινων ἐνταῦθα ἐπιμνησθῆναι, δείγματος ἕνεκεν, ἵνα καὶ ἐξ αὐτῶν αὐτȣ̃ τῶν ῥημάτων, τὸ λεγόμενον ἡμῖν βεβαιότερον διαπιςωθῇ·) Τὸν περὶ τῆς ἡμῶν

 πίςεως

(1) Ἐν τῷ ἀνωτέρω ἡμῖν παραχθέντι Σημειώματι.

(2) Ἑῤῥίκος Οὐάρτων ἐν ταῖς εἰς τὰ Γυλιέλμȣ τȣ̃ Κάβε προσθήκαις ἔνθ. ἀνωτ.

(3) Φαβρίκιος ἐν τῇ Βιβλιοθ. ἔνθ. ἀνωτ.

πίσεως λόγον κηρύττων, ἔσιν ὅπε τῆς ὑπὸ Λατίνων μνημονδύει ἁλώσεως τῆς Κωνσαντίνε, ὡς πρὸ χρόνων διακοσίων γεγενημένης. Ἡ δὲ πόλις ἦν ὑποκύψασα τῷ Λατινικῷ ζυγῷ, ἔτες ἰσαμόνε ἐπὶ χιλίοις ἢ διακοσίοις τετάρτε, τῶν ἀριθμεμένων ἀπὸ Χρισε· ὥσε δῆλον εὐτεῦθεν εἶναι, ἐξ
1404 αὐτὸ τὸ πέμπτε ἢ δεκάτε, ὡς λέγειν εἰώθασιν, Ἐκκλησιασικῆ αἰῶνος ἤδη ἀρχομένε, περιφανῶς ἀνδιαπρέψαι τῇ Ἐκκλησίᾳ τὸν ΒΡΥΕΝΝΙΟΝ, καὶ τιὼ διανομιὼ ἔκτοτε τῆ λόγε πεπισδυμένον, ἔργον ἐξ ἐκείνε πεποιῆθαι τὸ πανδήμως κατηχεῖν τὰ πλήθη, τῆ Θεῆ τὰ μαρτύρια.

1405 Περὶ δὲ τὸ χιλιοσὸν τετρακοσιοσὸν καὶ πέμπτον ἀπὸ Χρισε Σωτῆρος, τετέσιν ἀνιαυτῷ ὕσερον, τοποτηρητιὼ, ὡς ἐκ τῆ οἰκεμενικῆ (Ματθαῖος δὲ τιωικαῦτα ἰὼ ὁ τὰ Πατριαρχικὰ ἰθύνων πηδάλια,) εἰς Κύπρον αὐτὸν ἀποσαλῶαι μανθάνομεν, τιὼ πρὸ διακοσίων ἤδη ἀνιαυτῶν καὶ ἐπέκεινα ἀφιωιάσασαν μὲν ἀφ' ἡμῶν, τῇ δὲ Παπικῇ τυραννίδι καθυποκύψασαν Ἐκκλησίαν ἐκείνιω ἐπισκεψόμενον, καὶ, εἴτις ἰὼ ἐλπὶς ἐπισροφῆς, μετὰ τῶν ἐκεῖσε Ἀρχιερέων πραγματοδσόμενον. Μέμνηται δὲ τῆς Ἀποσολῆς αὐτὸς ταυτησὶ, ἀν τῇ μετὰ ἐπ]αετίαν ὕσερον περὶ τῆς τῶν Κυπρίων ἀνώσεως ἐκφωνηθείσῃ ὑπ' αὐτῆ Σιωδικῶς Μελέτῃ, Εὐθυμίε τὸ τιωικαῦτα Πατριαρχδόντος. Ἔνθα μηδὲν εἶναι λέγων ἐλπίζειν πισὸν καὶ βέβαιον ἔσεθαι παρὰ τῶν ποθεῖν ἄλλως δοκόντων τιὼ κοινωνίαν, ὡς ἐκ τῆς προτέρας πείρας εἶχε τεκμαίρεθαι· μηδὲ δεῖν προσέχειν Κυπρίοις, ἅτε μὴ τῇ ὀρθοδόξῳ Ἐκ-

κλησίᾳ

κλησίᾳ προσχωρῆσαι εἰλικρινῶς αἱρȣμένοις, καὶ μηδὲ δυναμένοις κἂν ἐθελήσαιεν, διατεινόμενος, καὶ τὸν χρόνον ἅμα καθ' ὃν αὐτὰ διεπράττετο σαφῶς διεμήνυσεν ἄχρι καὶ τῆς ἡμέρας αὐτῆς· ἑπτακαιδεκάτην εἶναι σημειώσας ἐκείνην τȣ̃ " Μαρτίȣ Μηνός· τῆς ϛ'. Ἰνδικτιῶνος, τȣ̃ ἑξα- " κισχιλιοϛȣ̃ ἐννακοσιοϛȣ̃ εἰκοϛȣ̃ ἔτȣς· ὃ, καθ' ἡμᾶς " χρονολογȣ̃σι, τῷ χιλιοϛῷ τετρακοσιοϛῷ δεκά- 1412 τῳ δευτέρῳ ἔτει συμβαίνει, ἀπὸ τῆς τȣ̃ Κυρίȣ ἐνανθρωπήσεως.

Ὁ δ' αὐτὸς καὶ τῶν εἰς τὴν Σταύρωσιν τȣ̃ Κυρίȣ λόγων τὸν πρῶτον ἀγωνιζόμενος, ȣ̓δὲ τὴν τῶν χρόνων παράτασιν, τὴν ἐξ ȣ̃ γέγονεν ἡ θεοπρεπὴς οἰκονομία ἄχρι τȣ̃ τότε, σιγῇ παρέδραμεν· ἀλλ' ἐν αὐτοῖς ἔτι διατρίβων τοῖς προοιμίοις, „τὸ παρωχηκὸς ᾧδε, φησὶ, τȣ̃ χρόνȣ μῆ- " κος, ἑπτὰ καὶ δέκα πρὸς τοῖς τετρακοσίοις ἔτη, 1417 καὶ χίλια. Τὸ ἀπὸ τῆς ὑπερφυȣ̃ς προσλή- " ψεως δηλονότι τȣ̃ ἡμετέρȣ φυράματος ἐννοήσας, ȣ̓κȣν τὸ ἀπὸ τȣ̃ Σωτηρίȣ μόνον πάθȣς χρονικὸν παρελάσαν διάϛημα. Εἴη γὰρ ἂν ȣ̓τως ἐνεϛηκὸς κατ' ἐκεῖνο, τῆς ἀπὸ Χριϛȣ̃ γεννήσεως δεκάτης πέμπτης ἑκατονταετηρίδος ἐπ' ἀκριβὲς τὸ μεσαίτατον, εἰς ὃ τὸ ζῆν παρατεῖναι σχολῇ γ' ἄντις τοπάσειε τὸν ΒΡΥΕΝΝΙΟΝ, ὃν ἄλλως ἴσμεν, ȣ̓δ' ἐπ' αὐτȣ̃ τȣ̃ Φλωρεντινȣ̃ Συλλόγȣ διαγενόμενον.

Ἀλλὰ καὶ τὸν Συμβȣλευτικὸν μελετῶν ἐν τῷ Συνοδικῷ τῆς Μεγάλης Ἐκκλησίας, ἐπὶ Πατριάρχȣ ἤδη τȣ̃ ΙΩΣΗΦ, τό, τε δοκȣ̃ν οἱ, περὶ τῆς συγκροτηθησομένης ὕϛερον (ὡς μή-

ποτ' ὄφελεν!) ἐν Φλωρεντίᾳ Συνόδου, ὑποτιθέμενος, οὐδ' ἐνταῦθα διέλιπε τοῦ μὴ νύξιν ἐκ πλαγίου γοῦν τινα παρασχεῖν καὶ τοῦ χρόνου αὖθις, ὅτε ἡ σκέψις αὐτῷ ἡ περὶ τῆς ἑνώσεως τῶν Ἐκκλησιῶν ἐγυμνάζετο. Μνησθεὶς γὰρ ἐν τῷ λόγῳ τῆς ἐν Κωνσταντίᾳ τῆς Γερμανίας, πρὸ πέντε ἤδη ἐνιαυτῶν γενομένης, τῶν ἑπτὰ Γενῶν (ὡς αὐτὸς φησὶ) συνελούσεως, καὶ τὸν ἐνιαυτὸν ἅμα τὸν τότε ἐνεστῶτα συνυπεδήλωσεν. Ἐκείνης γὰρ κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν δέκατον καὶ τέταρτον ἐπὶ διορθώσει τῆς Δυτικῆς Ἐκκλησίας συστῶσαι ἱστορουμένης, φανερὸν ὅτι πρὸς τῷ χι-
1419 λιοστῷ καὶ τετρακοσιοστῷ, τὸ δέκατον ἔννατον ἔτος ἐνειστήκει, ἡνίκα τὴν βουλὴν εἰσηγεῖτο ὁ ΒΡΥΕΝΝΙΟΣ, περὶ τῆς μετὰ τῶν Λατίνων ἀτελεσφορήτου ἑνώσεως.

Τοὺς δὲ δὴ περὶ Τριάδος, μετὰ ἐνιαυτὸν ἕνα ἀπὸ τοῦ Συμβουλευτικοῦ ἐκπεφωνηκέναι ἀγνοεῖν ἡμᾶς οὐκ εἴασεν, ὡρισμένως αὐτὸς καὶ τόδε προσσημειώσας ἐν ἑνὶ τούτων, ὅς τις ἀριθμεῖται ὁ ὄγ-
" δοος. „Ἰδοὺ γὰρ (φησὶν) ἀπὸ τῆς τοῦ Κυρίου
1420 ἐνανθρωπήσεως, εἴκοσι πρὸς τοῖς τετρακοσίοις
" καὶ χίλια ἔτη παρῆλθεν. Ὅτι γὰρ καὶ τοὺς λοιποὺς ἅπαντας ἐφεξῆς τοὺς τῆς αὐτῆς μὲν ἰδέας ὑπάρχοντας, τῇ δ' αὐτῇ ἐπιγραφῇ ἐπισημειουμένους, κατὰ τὸ αὐτὸ ἔτος διετέλεσεν ἐκμελετήσας, οὐκ ἄντις οἶμαι ἐνδοιάσειεν εὐλόγως, πρός τε τὸ ἀλληλεχὲς τῶν λόγων ἀπιδὼν καὶ σύστοιχον, καὶ ὅτι ἐνιαχοῦ λέγων, πῇ μὲν ἐπὶ τὰ ἤδη φθάσαντα ῥηθῶσαι τὸν Ἀκροατὴν ἀναπέμπει, πῇ δὲ τὴν πληρεστέραν ἔκθεσιν ἀναλαμβάνει,

νει, ὧν ἀνωτέρω ὁλοχερέσερον ἥψατο· ἔστι δ' ὅπη καὶ ἀπορίας αὐτῷ παράτινος μεταξὺ προβληθείσης, τιὼ ἐπίλυσιν ἐπαγγέλλεται. Τῶτον δὲ ἄρα τὸν Η'. ὑποσημαίνειν ἔοικεν ὁ Γάλλος ΔΟΥΠΙΝΙΟΣ (1) ἐν ἑνὶ φήσας τῶν τῦ ΒΡΥΕΝΝΙΟΥ λόγων, καὶ τὸν χρονικὸν δηλῦσθαι χαρακτῆρα, ἐν ᾧ ὑπ' ἐκείνε εἴρηται· ἀγνοήσας δηλονότι, ὧν πολλαχῦ διαφόρων ἐν τοῖς αὐτῦ λόγοις ἐκεῖνος διεμνημόνευσε χρόνων· κἀνταῦθα μάλιστα τὸν Ἄνδρα τότε ἁμάρτημα αὐτός τε ὑπειληφὼς, καὶ τῷ Ἄγγλῳ ΟΥΑΡΤΟΝΙ (2) προεισηγησάμενος, τὸν ὅλως ἐναυτῶν δεκάσιν ἐπὶ τῇ διακονίᾳ τῦ λόγε προδιαπρέψαντα.

Τὸν μέντοι Εὐχαριστήριον εἰς τιὼ ὑπέραγνον τῦ Θεῦ Μητέρα, καὶ τὸν μετ' αὐτὸν, ὀλίγων μεταξὺ διελθόσῶν ἡμερῶν, περὶ Καρτερίας, ὅτι δὴ ἐν ἔτει τῷ πρὸς τοῖς χιλίοις τετρακοσίοις εἰ- 1422
κοσῷ δῦτέρῳ, ἀμφοτέρες ἔχαν ἐκκλησιάσας, ἐκ ἄδηλον, πᾶν αὐτὸς εἰπεῖν ὤκνησαν, ὡς ἄρα καὶ περιττὸν εἶναι κρίνας, ῥήμασιν ἐπιχειρεῖν διασίξαι τὸν χρόνον, ὃν ἀνεξάλειπτον διασώσειν ἔμελλε τῇ μνήμῃ τῶν ἐσομένων αὐτὰ τὰ πράγματα. Κατ' ἐκεῖνο καὶ γὰρ Ἀμυράτης ὁ τῶν Ὀτθμανιδῶν Μόναρχος, ἐπὶ τρισὶν ὅλοις μησὶ, στρατῷ βαρεῖ καὶ πολυαρίθμῳ τιὼ Κωνσταντίνε περικαθίσας, καὶ ἐδεμιᾷ μηχανῇ παρασήσα-

(1) Ἐν τῇ Ἐκκλησ. Βιβλιοθ. Τόμῳ ΙΒ'. Κεφαλ. Ε'. Σελ. 122.

(2) Ἐνθ. ἀνωτ.

θαι δωηθεὶς, τιὼ πολιορκίαν τέως λύσαι ἠνάγκασαι, ὡς ὁ μόνον μηδὲν αὐτῷ προχωρῆσαν, ἀλλὰ καὶ τῆ περὶ αὐτὸν στρατιωτικῆ τὸ πλεῖον καὶ γενναιότατον μάτιω ἐκτρίψασαν· ἐξ ὧ καὶ κακῶς αὐτῷ ἀπαλλάξαι συνέβη, ὐδὲν ἐλάσσονα παθόντι, ἢ δράσαντι· μήπω δηλαδὴ τῆ δίκη δόξαν, τὸν ἐπιρτημένον ἡμῶν τῷ Γένει ὄλεθρον ἐπιτρέψαι· Φιλανθρωποῦσαμένου δὲ τῆ Θεῆ ἔτι ἐπὶ τοῖς ἡμετέροις, καὶ μακροθυμήσαντος. (1)

Ἐπὶ τούτοις εἴτις τὸν περὶ τῆ Ἀνακτίσματος τῆς πόλεως, ὅπερ ἀνωτέρω ἐμνήθημεν, κατὰ τὸ αὐτὸ τῆτο ἔτος ὑπὸ ΒΡΥΕΝΝΙΟΥ φαίη μελετηθῆναι, ὐκ ἂν ἁμαρτεῖν ἴσως δόξειε τισὶ κατὰ πολὺ τῆ προσήκοντος· ὁ γὰρ ἀπεικὸς ἀπὸ τῆς ἐφόδε τῶν βαρβάρων, θεία δυνάμει τὲς ἡμετέρες παρὰ πᾶσαν ἐλπίδα ῥυθέντας, περὶ τῆς ἰδίας καὶ αὐτὲς ἀσφαλείας ποιήσασθαί τινα πρόνοιαν, σιὼ Ἀθηνᾷ καὶ χεῖρα δεῖν κινεῖν πειθομένες τὸ τῆς παροιμίας, μηδ' ἀπορραθυμῆσαι τόγε ἐπ' αὐτοῖς πρὸς ἄμιναν παρασκευάθηναι, εἴποτε καὶ δευτέραν ἐφεξῆς πεῖραν τὸ βαρβαρικὸν τοῖς τείχεσι προσάξειν ἐπιχειρήσειεν. Ἀλλὰ τὸ μὴ ἂν καὶ πρότερον τοῖς

(1) Φέρεται Ἰωάννε τῆ Καναν῀ Διήγησις, περὶ τῆ ἐν Κωνσταντινόπολει γεγονότος πολέμε, κατὰ τὸ ἑξακισχιλιοστὸν ἐνακοσιοστὸν τριακοστὸν ἔτος· ὅτε ὁ Ἀμυράτπεις, φησὶ, παρέπεσε ταύτῃ μετὰ δυνάμεως βαρείας, καὶ παρ' ὀλίγον ταύτης ἐκράτει, εἰ μὴ ἡ ὑπέραγνος Μήτης τῆ Κυρίε ταύτιω ἐφύλαξεν.

τοῖς ἐν Κωνσαντινοπόλει ἐν Φροντίδι γενέσθαι, τὰ πεπονηκότα τῷ χρόνῳ, καὶ μικρὸ πίπτοντα τὸ τείχος ἀναλαβεῖν, καὶ κατὰ τὸ δυνατὸν ὀχυρῶσαι, ἐποφθαλμιῶντας μάλιστα τῇ πόλει τὸς πολεμίους διλωσεκῶς θεωμένοις, τότε ἀγχοῦ πάντα κυκλόθεν ἤδη προκατειλημότας καὶ πρὸ τῆς Ἀμυράτου ἐκείνης πολιορκήσεως, ἐκ ἂν σφόδρα διατεινάμην ἐγώ· οὐδ' ἄλλος οἶμαι. Οὐδὲ γὰρ ἔοικε μετὰ τὸ πάθος ὕστερον δημηγορῆντα παρελθεῖν ἂν σιγῇ τελεία τὸν φθάσαντα κίνδυνον, οὐδ' ἂν ὀλιγωρῆσαι τὸν ΒΡΥΕΝΝΙΟΝ ἐπιχειρήματος τηλικούτου, ἥλικον ἂν ἐπὶ τὸ σκοπούμενον τὸς ἐν τῇ ἀκροάσει προτρέψαι, ὑπὲρ ἅπαντα τὰ προχειρισθέντα αὐτῷ συνετέλεσε. Ταύτην τοι καὶ τῆς δευτέρας ἂν αὐτὸς δόξης εἶναι, ἢ τῆς πρώτης· καὶ εἶμοι τὸ ἐπιὸν εἰπεῖν δέοι καὶ μᾶλλον ὡρισμένως, τῷ περὶ τὸ Ἀνακτίσματος ταύτῳ δημηγορίαν περὶ τὸ ἐννεακαιδέκατον, ἢ εἰκοσόν πως ἔτος ἐπὶ τοῖς χιλίοις τε- 1419
τρακοσίοις τῷ ΒΡΥΕΝΝΙΩ γεγενῆσθαι τάξαιμι ἂν, ἐκ τῆς τὸ Πελοποννησιακὸν ἰσθμὸν διατειχίσεως συμβαλλόμενος, ἧς περ ὡς ὀλίγου πρόσθεν ἐκτελεσθείσης ἐν τῷ αὐτῷ λόγῳ μέμνηται ὁ αὐτός. „Ἔχομαν γὰρ, φησὶν, ἡγησάμενον ἀναγκαῖος εἰς παραδείγματος λόγον, τότε παραπλήσιον ἔργον, τὸ εἰς τὴν Πελοπόννησον λέγω παρὰ πᾶσαν ἐλπίδα πραχθὲν ἐπισασίᾳ Βασιλικῇ, καὶ τὸς ἐχθροὺς ἡμῶν καταπλῆξαν. Ἦν δὲ ἔτος ἐπὶ τοῖς τετρακοσίοις πρὸς τοῖς χιλίοις τὸ δέκατον τέταρτον, ἐπειδὰν τὸ τῆς τειχοποιΐας ἐκείνης ΜΑΝΟΥΗΛ ὁ ΠΑΛΑΙΟΛΟΓΟΣ ἀνεβάλετο ἔργον, ὥσε μετὰ 1420

τὰ πέμπτον, ἢ ἕκτον ἐνιαυτὸν, τουτέστιν Ἔτ. 1419, ἢ 1420. δεόντως ἔχειν καὶ ἀναφέρεσθαι ὡς ἐνάγχος διαπεπραγμένον. Ἀλλὰ γὰρ τὸ περὶ τούτου ὁποτερονοῦν ἑλέσθαι καὶ κρίναι τοῖς βουλομένοις ἑκὼν παρίημι.

Τέως δ' οὖν εἰς στενὸν κομιδῇ τῶν πραγμάτων τοῖς ἡμετέροις συνειλημμένων, καὶ ἀτεχνῶς ἐπὶ ξυροῦ ὃ λέγεται ἀκμῆς καθεστώτων, τὰ τῆς ἑνώσεως τῶν Ἐκκλησιῶν, ὅλῃ σπουδῇ, καὶ προθυμίᾳ. καὶ δυνάμει πάσῃ ἐξ ἀμφοῖν ἤρξατο πραγματεύεσθαι τῶν μερῶν· τοῖς μὲν εὔκαιρον δοκοῦν, ἐξαπορουμένους ἤδη τοὺς Ἀνατολικοὺς ὑπαγαγέσθαι τῇ ἐλπίδι τῆς ἀντιλήψεως, τοῖς δὲ ἀναγκαῖον, μηδαμῶς παρώσασθαι τοὺς Δυτικοὺς ἐν τοσούτῳ κινδύνῳ χεῖρα βοηθείας σφίσι προτείνοντας· ὦτα δὲ ὑποσχεῖν, καὶ ἀσπάσασθαι τὰ πρὸς ἕνωσιν, εἴπως ἄρα καὶ γένοιτο ἐπὶ μετρίᾳ τινὶ καὶ θεμιτῇ τῇ συγκαταβάσει, ταῖς μὲν Ἐκκλησίαις τὴν εἰρήνην ἐπιδιαιτῆσαι, τῇ δὲ Βασιλείᾳ ἐς γόνυ πιπτούσῃ, μᾶλλον δὲ κατὰ κεφαλῆς ἐπιδήλως φερομένῃ ὑποστηριγμόν τινα πρυτανεύσασθαι. Καὶ παρῆσαν οὖν ἐπὶ τούτοις αὐτίκα ἐν τῇ Κωνσταντίνου οἱ ἀπὸ Ῥώμης διαπρεσβευόμενοι, ὡς δὴ τὰ τῆς Συνόδου, ὅπως τε, καὶ ὅπου συγκροτητέα τῶν, κοινῇτε βουλευσόμενοι σὺν τοῖς ἡμετέροις, καὶ κατὰ τὸ δέον προδιατάξοντες· παρῆν δὲ ἅμα καὶ τὸν ΒΡΥΕΝΝΙΟΝ καθορᾶν, οὐδενὸς ἧττον εὔχρηστον τοῖς πράγμασιν ἑαυτὸν παρεχόμενον· τὰ μὲν, βουλαῖς ταῖς λυσιτελεστάταις τοὺς ὁμογενεῖς διεξάγοντα, καὶ λόγοις τοῖς γενναιοτάτοις προασφαλιζόμενον καὶ κατο-

κατοχυρῶντα· τὰ δὲ καὶ σωεχέσι ταῖς προσλαλιαῖς, καὶ προσδιαλέξεσι, πολὺ μετὰ τῆ ἰσχυρῆ καὶ σωτόνε ἀνακεκραμένον ἐχέσαις τὸ ἐπαγωγὸν καὶ θελκτήριον, τὲς ἐκ τῆς ἀντιθέτε μερίδος, εἰμὴ πείθοντα, ἐκδυσωπῶντα γᾶν, καὶ σὺτρέποντα. Ἐν μὲν ἓν τῶν ἃς ἔχε τότε Διαλέξεων τῇ δευτέρα (ἥτις ἡ τρίτη εἴωθε τῶν σωζομένων ἀριθμεῖσθαι, τῆς πρὸς Μάξιμον ἐπιτασσομένης·) οἱ αὐτοῖς προοιμίοις, ἀριδήλως τὸν χρόνον, ἢ πολλαχῆ σωήθες αὐτῷ, ἐπισημειώαμενος, καὶ αὐτὶω ἠκρίβωσε τὶω ἡμέραν, ἥτις „ σὺδεκάτη ἰῷ τῆ Νοεμβρίε Μηνὸς, κατὰ τὸ ἑξακισχιλιοσὸν σὺναποσιοσὸν τριακοσὸν πρῶτον ἔτος „ ἀπὸ κτίσεως Κόσμε· ἀπὸ δὲ Χρισῆ (καθ' ἡμᾶς „ χρονολογῆντι) χιλιοσὸν τετρακοσιοσὸν εἰκοσὸν 1423 „ τρίτον, Ἰνδικτιῶνος πρώτης.

Ὅθεν σωάγεται τὶω περὶ ἧς ὁ λόγος διάλεξιν συσὶῶσι τῷ ΒΡΥΕΝΝΙΩ σὺν Ἔτει δεκάτῳ σὺνάτῳ μετὰ τὶω ἐκφωνηθεῖσαν αὐτῷ περὶ πίσεως ὁμιλίαν· δεκάτῳ δὲ ὀγδόῳ μετὰ τὶω εἰς Κύπρον ἀποδημίαν αὐτῆ· τυχὸν δὲ καὶ μετὰ τὶω πρὸς Μάξιμον εἰρημένῳ προσλαλιὰν, τὶω κατὰ τὸν αὐτὸν ἴσως χρόνον συσᾶσαν· ἐ γὰρ ἄντις ἀπιθάνως εἰπάσειε, τὶωικαῦτα τὸν ΒΡΥΕΝΝΙΟΝ ἐν τῷ ἀνάγεσθαι, ἢ κατάγεσθαι διὰ Κρήτης ἐλθόντα, ἐκεῖσε τῷ Δομινικανῷ ἐντυχεῖν, καὶ προσδιαλέξασθαι· δεκάτῳ δὲ πρώτῳ, μετὰ τὶω μελέτιω περὶ τῆς τῶν Κυπρίων σὺνόσεως· ἕκτῳ δὲ, μετὰ τὸν πρῶτον τῶν λόγων τῶν εἰς τὶω κοσμοσωτήριον σαυρωσιν· τεταρτῳ δὲ, μετὰ τὸν περὶ τῆς μετὰ Λατίνων σὺνόσεως

σεως Συμβουλευτικόν· τάχα δὲ καὶ μετὰ τὸν περὶ τοῦ τῆς πόλεως Ἀνακτίσματος· τρίτῳ δὲ τέως, μετὰ τοὺς περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως ἀγῶνας. Ὥσθ' οὕτω καὶ τὸν Ἑρμηνέα, ἐν τῇ μετὰ τῶν ἐκ Ῥώμης Πρέσβεων δια-
„ λέξει, ἀληθεῦσαι εἰπόντα, „ὅτι σιγῶν ἤδη τρί-
„ τον χρόνον ὁ ΒΡΥΕΝΝΙΟΣ ἀδικοίη τοὺς Ῥω-
„ μαίους (νόει δέ μοι τοὺς Κωνσταντινουπολίτας.) πά-
„ νυ διψῶντας ἀκούειν αὐτοῦ τῆς Φωνῆς. Δοκεῖ γὰρ ὡς τῷ ἐνάτῳ ἔτει ἐπὶ δέκα πρὸς τοῖς χιλίοις τετρακοσίοις περὶ τῆς μελετωμένης ἑνώσεως γνώμην ἐξειπεῖν ἐπιτεταγμένος, εἶτα ἐν τῷ ἐφεξῆς εἰκοστῷ τὴν χρυσῆν ἐκείνην σειρὰν τῶν περὶ θεολογίας διδαγμάτων πλέξας, καὶ οἷον πείσματι τῷδε ἰσχυρῷ καὶ ἀῤῥήκτῳ τὴν Ἐκκλησιαστικὴν Ὁλκάδα, τὴν παντοίοις καινοτομιῶν καὶ ἑτεροδιδασκαλιῶν πνεύμασι δεινῶς ἐκταρασσομένην, ἀπὸ τῆς στερεᾶς πέτρας τῆς εἰς Χριστὸν ἐξαρτήσας ὁμολογίας, τοῦ λοιποῦ ἔξω θορύβων ἔγνω ἑαυτὸν στήσασθαι, καὶ τῆς φίλης ἔχεσθαι ἡσυχίας· εἰς ὃ, τριῶν μεταξὺ ἐνιαυτῶν παρελθόντων, καὶ τῶν ἀπὸ Ῥώμης ἤδη παραγενομένων, εἰς μέσον αὖθις ὁ ἀγωνιστὴς παρῄει, καὶ τοῖς ἐκ τῆς ἐναντίας μερίδος συνεπλέκετο νεανικῶς, Βασιλικῷ τε καὶ Πατριαρχικῷ προστάγματι εἴξας· μᾶλλον δὲ πρὸ τούτων εἴξας Θεῷ, καὶ πρὸ τοῦ φιλησυχίου τὸ φιλευσεβὲς θέμενος καὶ φιλόθεον.

Εἰ δέ τις τοὺς μετὰ τὴν ἀπὸ τῆς πολιορκίας ἀπαλλαγὴν, τὸν Εὐχαριστήριον λέγω καὶ τὸν περὶ Καρτερίας ἀναλογιζόμενος, οὐκ ἂν ἔχειν ἡγοῖτο,

ἡγοῖτο, ὅπως τȣ́των τῇ ἐκφωνήσει, τὴν ὑπὸ τȣ̃ Ἑρμηνέως ἐπιμαρτυρηθεῖσαν τῷ ΒΡΥΕΝΝΙΩ σιγὴν συμβιβάσειεν· ἀλλὰ σκοπείτω δὴ, ὡς ȣ̓δὲ τὸ δὶς ἐπὶ τῇ συμβάσῃ τότε περιςάσει παρελθεῖν εἰς μέσον καὶ ἐκκλησιάσαι, ἀποχρῶν ἦν τοῖς αὐτὸν ποθȣ̃σι, τὴν ἐπὶ τῆς ὅλης τριετίας παραμυθήσασθαι ςέρησιν· ȣ̓δὲ γὰρ ἦν διὰ τριῶν καὶ μόλις ἐνιαυτῶν εἰς ἀκρόασιν κεκλημένȣς, ἐπὶ τοσȣ̃τον ἀρκεσθῆναι, τȣ̀ς διηνεκῶς αὐτȣ̃ τῶν λόγων διψῶντας ἀκȣ́ειν, καί γε συνεχῶς τὸ πρόσθεν εἰθισμένȣς, τῶν ἐξ αὐτȣ̃ ναμάτων εἰς κόρον ἀρυέσθαι.

Ἐκεῖνο δὴ μᾶλλον τȣ̀ς ἐφιςάνοντας εἰς ἀπορίαν ȣ̓λογωτέραν κινήσειεν, ὅτι τῆς μὲν Βίβλȣ ἡ ἐπιγραφὴ οἵαν οἱ Κώδικες κοινῇ φέρȣσιν, ἐπὶ τῆς Βασιλείας ΜΑΝΟΥΗΛ τȣ̃ ΠΑΛΑΙΟΛΟΓΟΥ καὶ τῆς ΙΩΣΗΦ τȣ̃ ἀπὸ Ἐφέσȣ Πατριαρχίας, τȣ̀ς λόγȣς ἅπαντας ἀδιαφόρως εἰρῆσθαι προσμαρτυρεῖ· αὐτοὶ δὲ τȣ́των τȣ̀ς πλείςȣς τῶν σωζομένων, ἐπὶ ΙΩΑΝΝΟΥ τȣ̃ Υἱȣ̃ καὶ διαδόχȣ τȣ̃ κράτȣς, προσλαληθέντας ȣ̓ρίσκομεν· εἰ μὴ σφόδρα ἡμεῖς ἀπατώμεθα. ΜΑΝΟΥΗΛ γὰρ ἐν ἔτει 1391. ἐπὶ τῶν οἰάκων τȣ̃ κράτȣς καθίσας, εἰ καὶ ἐς τὸ 1421. προῆκται τὸ ζῆν, ἀλλ' ἐν τρισὶ τοῖς τελȣταίοις ἔτεσιν ΙΩΑΝΝΗ τῶν Υἱέων τῷ πρεσβυτέρῳ τῆς ἀρχῆς ἠνάγκασται ὑπεκςῆναι, κατὰ τὸ 1419. παραλυτικῷ νοσήματι ἐνισχημένος. Ἀλλὰ μὴν τῶν φερομένων καθ' ἡμᾶς ΒΡΥΕΝΝΙΟΥ λόγων, πλεῖν ἢ τȣ̀ς ἡμίσεις, ȣ̓κ ἐπὶ τȣ̃ ΜΑΝΟΥ-

ΗΛ

ΗΛ, ἐπὶ δὲ τῦ Υἱῦ ΙΩΑΝΝΟΥ μεμελετημαίης οἴδαμεν· ἀμέλειτοι τῶν αὖ τῷ πρώτω Τόμῳ τῆς ἡμετέρας ταύτης ἐκδόσεως (παρ' ἃ δὴ τὸν πρὸς Μάξιμον διάλογον·) ἅπαντας, ἀπὸ τῦ 1420. καὶ ἑξῆς ἐκμελετῆσαι, αὐτὸς ἡμᾶς ἀναδιδάσκει ὁ σωταξάμενος· καὶ πρός γε τέτοις, καὶ τῶν αὖ τῷ δευτέρῳ Τόμῳ, εἰ μὴ τὸν περὶ τῦ Ἀνακτίσματος, καί τινα τυχὸν καὶ ἄλλον, περὶ ὧν ἄντις καὶ αὐδοιάσειε, τὲς μέν τοι ἐπὶ τῇ ἀπαλλαγῇ τῆς πολιορκίας, ὡς εἴρηται, κομιδῇ πάντως. Ἔπειτα κἀκεῖνο· ὅτι τὲς ἐπὶ ΜΑΝΟΥΗΛ τῦ Πατρὸς, τῶν ἐπὶ ΙΩΑΝΝΟΥ τῦ Υἱῦτε καὶ διαδόχε ῥηθέντων, ἠγεῖσθαι προσῆκον, ἐκδεδιήτηταί πως αὐταῦθα τῶν λόγων ἡ τάξις, κἀπὶ τὸ πρωθύσερον ἀπονίωκεται· καὶ νῦν κεῖνται οἱ μὲν πρῶτοι ἔσχατοι, οἱ δὲ ἔσχατοι πρῶτοι, δέον ἀνάπαλιν.

Ἀλλὰ καὶ τέτων πρὸς τὸ πρῶτον ἀπαντήσας ἐκ ἀπεικότως φαίητις ἄν, ἐκ τῶν ἐπὶ τῦ ΜΑΝΟΥΗΛ εἰρημένων λόγων ἐπιγεγράφθαι τινὶ Βίβλον, παρὰ τὸ ἐπ' ἐκείνε αὖ πολλῷ πλείονι τῷ χρόνῳ, ἢ ἐπὶ τῦ διαδόχε, διατελέσαι τὸν ΒΡΥΕΝΝΙΟΝ πληρῶντα τινὶ τῦ λόγε διακονίαν· ὡς γὰρ αὐτὸς περὶ ἑαυτῦ ἐν
» τῷ Προγράμματι μαρτυρεῖ, „διὰ χρόνων τριά-
» κοντα τὸ τῦ λόγε λειτέργημα ἐγκεχείρισο· τῦ τοίνυν ΜΑΝΟΥΗΛ αὖ Ἔτει 1391, τινὶ Βασίλειον ἀρχινὶ ἀναδεξαμένε, εἴτις ὀ πολὺ ὕσερον, οἷον κατὰ τὸ 1395, (ὁπότε καὶ τῆς ἀποδημίας ἐπανῆκον ὁ Βασιλεὺς, ἰὼ ἐπὶ συμμαχίας ἐλπίδι ἀνειληφὼς πρὸς τὲς ἀν' Εὐρώπιω

πτω δυναστεύοντας ἱστορεῖται.) πιστευθῆναι τὸν ΒΡΥΕΝΝΙΟΝ ὑποθείη τῆς διδασκαλίας τὸ ἔργον, προσθείη δὲ τοῖς ἔτεσι καὶ ἐνιαυτοὺς τριάκοντα, καθ' οὓς πεπληρωκέναι αὐτὸ ἐν τῷ Προγράμματι ἐπαγγέλλεται, εὕροι ἂν ἀριθμήσας ἐνιαυτὸν ἐπὶ τοῖς χιλίοις τετρακοσίοις 1425
εἰκοστὸν καὶ πέμπτον ἐνεστηκότα, ἐπειδὰν ὑπὸ τοῦ Βασιλέως ΙΩΑΝΝΟΥ, καὶ Πατριάρχου τοῦ ΙΩΣΗΦ, καὶ τῶν ἐν Τέλει παρακληθεὶς (ὡς αὐτὸς καὶ τοῦτο φησὶν), ἀπολεξάμενός τινας τῶν αὐτοῦ λόγων ἐξέδωκε· τούς γε ὡς ἡμᾶς δηλονότι παραπεμφθέντας τούτους, καὶ εἴ τινας καὶ ἄλλους, ὧν ἡμῖν ἴσως τυχεῖν οὐκ ἐγένετο. Τούτου δὲ οὕτω τεθέντος, οὐδὲν ἀπεικὸς, εἰ ἐπὶ ΜΑΝΟΥΗΛ εἰρῆσθαι τοὺς λόγους διὰ τῆς ἐπιγραφῆς μεμαρτύρηται. Ἔοικε γὰρ ὁ ἐπιγραψάμενος, (εἴτε αὐτὸς τῷ ὁ τῶν λόγων Πατὴρ, εἴτε καὶ ἄλλος·) ἐπὶ τὸ πλέον ἀπιδεῖν τοῦ χρόνου, καθ' ὃν ὁ ἀνὴρ ἐκκλησιάζων, τὸ πιστευθὲν αὐτῷ τοῦ λόγου τάλαντον πολλαπλασιάσαι ἠγώνισται.

Πρὸς δὲ τὸ δεύτερον ἐκεῖνο οἶμαι ἀποχρήσει ῥηθὲν, ὡς ἡ τῆς ὕλης ὑπεροχὴ, καὶ τῆς κατ' αὐτὴν ἀναγωγοῦ θεωρίας τὸ ὕψος, τοὺς δευτέρους πρώτους ἀνέδειξεν. Οὐδὲ γὰρ ἀπ' ἔθους ἐστὶν, οὐδ' ἀπὸ τοῦ εἰκότος, καὶ τῶν ἀδελφῶν ἐνίοτε τῷ ἐλάσσονι, δι' ἀρετῆς περιουσίαν, τῶν πρεσβείων παραχωρεῖν τὸν μείζονά τε καὶ προγενέστερον. Διὸ καὶ ἡμῖν τῷ ἐν χερσὶ Κώδικι ἔδοξε δεῖν παρακολουθῆσαι, καὶ τὴν ἐν αὐτῷ τάξιν τηρῆσαι, μηδὲν προσκαινοτομήσαντας· πλὴν

ἢ, τὴν

ἢ, τιὼ τῆ περὶ ἑνώσεως Συμβελευτικῆ μετάθεσιν, ὃν ἁπάντων ἔχατον αὐ τῷ χειρογράφῳ τεταγμένον, βέλτιον ἡγησάμεθα ὀρθῦς ἀμέσως μετὰ τὲς περὶ θεολογίας καταταξαι, ὡς τῆς αὐτῆς ἐκείνοις ἰδέας ἐχόμενον. Ἀλλὰ τὰ μὲν περὶ τῶν λόγων, ἥπερ ἔλεγχόντινα ἡμῖν παρέχονται τῆ γννησαμένῃ, πότε μάλιστα ἀπὸ τέτων καθίσατο γνώριμος· καὶ ὅπως ἀπὸ ΜΑΝΟΥΗΛ τῆ Βασιλέως τιὼ ἐπιγραφιὼ ἔχον· καὶ ὅτι δὴ τοιαύτης αὐ τῷ τύχει τῆς τάξεως ἔτυχον, καὶ τὰ εἰρημένα ἴσως ἀρκέσει.

Εἰς ὅσον δὲ ἆρα ἡμῶν ὁ Συγγραφεὺς τὸ ζιῶ ἐγένετο τὸ ἐπὶ γῆς παρατείνας, καὶ ὅτε, καὶ καθ' ὃ τέως τῆς ἡλικίας πρὸς Κύριον ἐξεδήμησε, μαθεῖν μὲν καὶ αὐτὸς ἂν βελοίμιν ἐπ' ἀκριβὲς, διδάξαι δ' ἂν ἂν δυναίμιν, παρ' ἑδενὸς τῦτο διδαχθεὶς πρότερον. Τοσῦτον δὴ καὶ μόνον ἀδιστάκτως ἐγὼ, καὶ μετὰ πειθῦς διατεναίμιν ἂν, ὡς ἐς γῆρας ὁ Ἀνὴρ βαθύτε καὶ λιπαρὸν ἤδη ἐλάσας, τῆς μὲ πρὸς τιὼ μετὰ Λατίνων μελετωμενίω Σιώδον πραγματείας καὶ προπαρασκευῆς μετέχε καὶ αὐτὸς τὸ μέρος, ὅτι ἔγγισα ἀφιγμένος, κατὰ δὲ τιὼ Σιώδον αὐτιὼ περιεῖναι, τὸ χρεὼν φθάσαν, ἐκ ἔλαχε· καί τοι σφόδρα τῦτο ποθεῖν, καὶ περὶ πλείστε πάλαι ποιεῖσθαι δοκῶν παρεσιάσαιτε αὐ αὐτῇ, καὶ ὑπὲρ τῆς ἀληθείας ἄχρις ἐχάτης πνοῆς ἀγωνίσασθαι· ὡς αὐτὸς αὐ τῷ Συμβελευτικῷ ὑπεδήλωσε, σωεκφιώας ἅμα τῇ προθυμίᾳ, καὶ τὸ ἀντιπεριϊσάμενον γῆρας, δι' ὃ καὶ τὸ ἐπιρτημένον αὐτῷ τῆ βίε πέρας προεμαντεύε-

μαντόβετο. „Ἐγὼ μὲν γὰρ, (φησὶ,) πάνυ „
ἐδίψων τῇ Σιωόδῳ ἐκείνῃ παρεῖναι, καὶ τῶν τό- „
τε λεγομένων ἀκέειν, καὶ ὁρᾶν τὰ γινόμενα, „
καὶ τῇ ἀληθείᾳ συμμαχορεῖν. Ἐπειδὴ δὲ τὸ τέ- „
λος τῆς ἐμῆς ζωῆς φθάνει, καὶ πρὸ τῆς ἴσως „
γενησομένης Σιωόδε, τὸν τιμιαῦτα ἐσόμενον „
Πατριάρχιν ἡμῶν κτλ. Ὅθεν πάρεσι συμ- „
βαλεῖν, ὅτι κατὰ τὸ χιλιοστὸν τετρακοσιοστὸν δέ-
κατον ἔνατον ἔτος, ὅτε ταῦτ' ἔφασκεν, ἐξηκο-
σόντε τελάχιστον τῆς ἡλικίας ἴσ' ἄγων, ἵν' εἶ-
χεν ὑφορᾶσθαι τὸ τέλος, καὶ πρὸ τῆς συνισο-
μένης Σιωόδε κατὰ τὸ εἰκὸς τιμὴ ἀποβίωσιν ἑαυ-
τῷ προτεκμαίρεσθαι.

Ἀλλὰ γὰρ ἔσιν ἰδεῖν ἀπ' ἐκείνε ἐφ' ἱκανὸν
ἔτι τὸν Ἄνδρα προσεπιζήσαντα, καὶ ὃ μόνον
ἔγε τὸ τρίτον καὶ εἰκοστὸν ἐπὶ τοῖς χιλίοις τε-
τρακοσίοις περιόντα τῷ βίῳ, ὡς ἐκ τῆς πρὸς
τὸς ἀφικομένης τότε Πρέσβεις διαλέξεως, καὶ ἑ-
σιν ἡμῖν ἀναμφίρισον· ὃδε μὲν ἓν ἄχρι τῦ 1425.
ὡς ἐγένετο συμβαλεῖν· ἀλλ' ἔτι καὶ περαιτέ-
ρω διαγενόμενον· ἥπε πάρεσι μαθεῖν ἐξ ὧν ὁ τὰ
κατὰ τὸν ἐν Φλωρεντίᾳ σύλλογον ἡμῖν ἀπομνη-
μονεύσας, περὶ ἐκείνε διέξεισι. Πρεσβείαν γάρ
τινα ἢ ἄλλῳ ὕσερον ἐπὶ ταῖς πρώταις τῦ Βα-
σιλέως ΙΩΑΝΝΟΥ πρὸς τὸν Πάπαν ἀποσεῖ-
λαι παρασκευάζοντος, ἢ ἐν τῇ λεγομένῃ Πα-
λατιανῇ, παρὰ τῇ Δεσποίνῃ καὶ Μητρὶ αὐτῦ,
βιβλίῳ ἐκ τῶν ἀρίσων διατιθεμένε, ἐφ' ᾧ σκέ-
ψεως ἠγησαμένης, προδιατυπώσασθαι καὶ ἀνα-
θέσθαι τοῖς διαπρεσβευσομένοις τὰ δέοντα, ἐν
τοῖς λοιποῖς ἅπα τῶν τιμῷ βιβλίῳ ἐκείνῳ συγκρο-
τησάντων σωαριθμεῖ ὁ ΣΓΟΥΡΟΠΟΥΛΟΣ

» ἢ τὸν Τιμιώταλον ἐν Μοναχοῖς Κῦρον ΙΩΣΗΦ
» τὸν Διδάσκαλον. (1). Περὶ ἃ ἡμῖν καὶ τόδε διέ-
ξεισιν ὁ τὴν ἱστορίαν συγγράψας, ὅτι ἐπὶ τοῖς
κατὰ τὴν βελτίω ἐκείνην προβληθεῖσιν ὁ Διδά-
δάσκαλος ἡμῶν ἐδόλως ἠρέσκετο, γναναίαν δέ-
τινα τὴν σύνεσιν παρασησάμενος κατὰ τῶν βε-
βελτιωμένων, καὶ μηδὲν περάνας, ὡς ἔγνω νι-
κῶντα τὰ χείρονα, ἐδὲν πλέον, ἢ σιγᾶν ἑαυ-
τῷ παρηγγύα, καὶ καθ' ἑαυτὸν ἀχάλλειν,
καὶ δάκνεσθαι. Βέλτιον δὲ ἴσως καὶ αὐτὴν αὐ-
ταῦθα τὴν περιοχὴν τῆς ἱστορίας ἐπὶ λέξεως
παραθέσθαι, ὡς ἂν καὶ ὁ τῆ Ἀνδρὸς χαρακτὴρ
» ἐξ αὐτῆς ἧ γνωριμώτερος. „Μετὰ γὰρ πα-
» ραδρομὴν (πρόεισιν ὁ Ἱστορικὸς) (2) ἱκανῆ καιρῷ (ἀπὸ τῆς ἐν τῆ Παλατιανῆ βελτίω δηλονότι) πρὸς τὸν Διδάσκαλον Κῦρον ΙΩΣΗΦ,
» κατὰ τὸ εἰωθὸς ἐμοὶ παραγενόμενος, καὶ λό-
» γων κινηθέντων τῶν περὶ τῆς ζητεμένης Σωσό-
» δε, ἤκουσα αὐτῆ εἰρηκότος μοι, ὅτι ἐγὼ ἀφ' ἧ-
» περ ἤκουσα ὅσα ἐν τῆ Παλατιανῆ ἀκήκοα· (καὶ
» ἐπὶ τέτοις ἐκπληκτικόντι βοήσας, καὶ τὴν χεῖ-
» ρα κατὰ τὸ σόμα θέμενος) ἔκτοτε ἔγνων ἔφη,
» ὡς ἐδέντι ἀγαθὸν αὐταῦθα γενήσεται. Ἀν-
» τέξω γὰρ, εἶπε, πρὸς ἐκεῖνο τὸ βέλτιμα κα-
» θὼς ἠδυνάμην· ὡς δὲ εἶδον προβαῖνον καὶ τε-
» λειόμενον, εἶπον πρὸς ἐμαυτὸν, ὡς ἐπεὶ ὁ ΙΩ-
» ΣΗΦ ἐ παρέσαι ἐκεῖ, ἐδὲ ὄψεται τὸ βελτιό-
» μενον, ποιησάτωσαν ὡς βέλονται. Ἀλλ' αὐ-
τὸς μὲν ὁ τῶν Ἀνδρῶν ἄριστος, καὶ εἰ ζῶν ἐτύγ-
χανε,

(1) Ἐν Ἱστορ. τῆς αὐ Φλωρ. Σωσόδ. Τμήμ. Β'. Κεφ. ις'.
(2) Αὐτ. αὐτ. Κεφ. ιζ'.

χανε, μηδόλως τῇ Σιωόδῳ ἐκείνῃ παρέσεσθαι, μηδὲ σὺν Ἐκκλησίᾳ πονηρευομένων συνεδριάσειν, τὸ ἐξ ἐκείνε ἢ δοκεῖ προθέμενος, ὅμως καὶ τῆ βίᾳ προαρπαγεὶς ὑπὸ τῆς προνοίας, τὸ μὴ τιὼ ἀληθειαν καὶ τιὼ πίσιν, ὑπὲρ ὧν ἠγώνισαι διὰ βίᾳ, ὑπὸ τῶν οἰκείων ἐπιδήλως προδιδομένω φθάσαι κατιδεῖν παρεκέρδανεν· αὐτῆ δὲ τῶν ἐτῶν αἱ ἡμέραι σὺν τέτοις ὄντος, ἔτη ὑπῆρχον πλεῖν ἢ ἑβδομήκοντα. Οἱ γὰρ ἀπὸ τῆς βελῆς ἐκείνης ἀποσελλόμενοι μέχρι τῆς Καλλιπόλεως προβάντες, ἐπὶ τῷ θανάτῳ Μαρτίνε τῆ Πάπα τότε πληροφορηθέντες ὑπέστρεψαν. (1). Μαρτῖνος δὲ σὺν Ἔτει 1431. τὸ ζῶ ἐξεμέτρησεν· ὡς ἐκ τῶν τεθνότων, ὑπὲρ τὸν ἑβδομηκοντέτιω κατ' ἐκεῖνο γηρᾶν σωάγεσθαι τὸν ΒΡΥΕΝΝΙΟΝ. 1431

Τοιγαρῆν ἀπὸ τῆ 1431, ἕως ἐπὶ τὸ 1438. καθ' ὃ ἡ σὺν Φλωρεντία ἠθροίθη Σιώδος, τῶν ΒΡΥΕΝΝΙΟΥ ἡμερῶν τὸ μεταξὺ περιέχει τὸν ὅρον· καίγε ἀορίσως μὲν ἔτω φάναι, εἷς τις τῶν τῆς ἐπαετίας ταύτης σὺν αὐτῶν, ὁ ἔσχατος αὐτῷ ἐγεγόνει τῆ βίᾳ σὺν εἰρώνῃ πρὸς Κύριον ἀναπαυσαμένω· ὡρισμένως δὲ ὅς τις ἐκεῖνος ἰῶ, καὶ πόσος; εἴτις ἔχει λεγέτω. Ἐμοὶ γὰρ ἐκεῖνο δῆλον περὶ τῆ Ἀνδρὸς μόνον λέγειν, ὡς ἐπ' αὐτῆς τῆς Σιωόδε, συσάσης ἤδη, σὺν τοῖς ζῶσιν ἐδόλως ἠρίθμητο· τῆτο δὲ ἐκ εἰκάζειν ἔχω, σαφῶς δ' εἰδέναι ἐξ αὐτῆς τῶν τότε γενομένων τῆς ἱσορίας ἐκδιδασκόμε-

(1) Ὅρα Συβρόπ. σὺν Ἱσορ. τῆς σὺν Φλωρεντ. Σιωόδε, Τμημ. Β'. Κεφ. ιϑ'.

νος. Ἐν μιᾷ γὰρ τῶν ἐν Φερραρίᾳ κατ' ἀρχὰς γενομένων ἰδίᾳ συζητήσεων, τȣ̃ Ἐφέσȣ τὸ πρῶτον ὀλιγώρως πως, καὶ ἀφιλοτίμως, καὶ ὑπτιώτερον ἢ κατὰ τὴν περιȣ̃σαν οἱ τȣ̃ λόγȣ δυνάμιν, πρὸς τὰ παρὰ ΙΟΥΛΙΑΝΟΥ τȣ̃ Καρδινάλεως μετὰ ῥητορικῆς εἰρημένα κομψείας τε καὶ δεινότητος, ἀπολογησαμένȣ, τῶν τινες ἡμετέρων, ἐπιλαβόμενοί τε αὐτȣ̃ τῆς ἀκαίρȣ ὀλιγωρίας, καὶ λογικώτερον ἑξῆς καὶ γενναιότερον ἐπὶ τὸν ἀγῶνα ἀπαντᾷν ἀξιȣ̃ντες, ἐν
„ πολλοῖς καὶ τόδε εἶπον αὐτῷ· „ὡς εἴπερ ἐν
„ τοῖς ζῶσιν ἐτύγχανε νῦν ὁ διδάσκαλος Κῦρος
„ ΙΩΣΗΦ . . . . εὐεργεσίαν τȣ̃ Θεȣ̃ ἐλογίσατ'
„ ἂν εἶναι εἰς αὐτὸν, τὸ ἐπὶ τῶν ἡμερῶν αὐτȣ̃ τὴν
„ παρȣ̃σαν γενέσθαι Συνόδον, ὡς ἂν ἐνδείξηται
„ τὸν ἀγῶνα καὶ τὸν ζῆλον ὃν εἶχεν εἰς τὰ εὐσεβῆ
„ τῆς Ἐκκλησίας ἡμῶν δόγματα, καὶ τὴν ἐπιστήμην,
„ καὶ τὴν δύναμιν, ἣν ἀπὸ τῆς περὶ τȣ̀ς λόγȣς
„ παιδείας συνείλοχεν. (1)· ȣ̓κȣ̃ν ȣ̓κέτι τότε ὁ Διδάσκαλος ΙΩΣΗΦ περιῆν τῷ βίῳ, ἀλλ' ἐν τῇ τῶν πρωτοτόκων Ἐκκλησίᾳ ἤδη ἀναγεγραμμένος, καὶ μετὰ τῶν εὐφραινομένων πάντων ἐν αὐτῇ τὴν κατοικίαν λαχὼν, ὑψόθεν ἐθεᾶτο τὴν κάτω ταύτην καὶ ἐπὶ γῆς στρατευομένην, ȣ̓δὲν ἧττον ὑπὸ τῶν πολεμίων, ἢ τῶν τέκνων ἑαυτῆς πολεμȣμένην, καὶ τὰ χείριστα πάσχȣσαν.

Αὐτȣ̃ δ' ȣ̓χ ἅπαξ τȣ̃το ἐπὶ τῆς Συνόδȣ ἐκείνης, ἀλλὰ καὶ πολλάκις ἡ μὲν χρεία τὸν πόθον ἐκίνησεν, ὁ δὲ πόθος τὴν μνήμην διήγειρε. Μὴ γὰρ κατὰ ῥȣ̃ν χωρȣ̃ντα, καὶ ἐφίεσθαι ἠνάγ-

(1) Τμημ. Ε'. Κεφ. ϛ'.

ἠνάγκαζε, καὶ μνημονεύειν τοῦ Ἀνδρὸς πολλοὺς τῶν ἐκεῖσε τὰ πράγματα, ὡς τὰ μέγιστα ἂν, εἴγε παρῆν, συντελέσοντος. Ἐπίσημον δὲ ἐστὶ τὸ περὶ ἐκείνου ἀναφερόμενον, ὡς ἄρα ἄληπτόν τινα λόγον, ἐνεργόν τε λίαν, καὶ δραστήριον, καὶ ἄφυκτον ὅλως κατὰ φρένας ἦν κεύθων, καὶ πρὸς τὸ τὴν ἕνωσιν τελεσιουργῆσαι κομιδῇ ἀπαραίτητον· ὃν καὶ ἐν ἀποῤῥήτοις κατεῖχεν, ὡς ἂν ἐν δέοντι προσχρήσεσθαι ταμιευόμενος. Περὶ μέντοι τοῦ λόγου τούτου, οἷά τις ἦν τότε διαῤῥέουσα φήμη καὶ μετὰ τὴν τελευτὴν τὴν ἐκείνου, οὐκ ὀκνητέον ἐξ αὐτῆς τῆς ἱστορίας ἐνταυθὶ παραθέσθαι. „Δέδοικα γοῦν ἐν τούτοις (φησὶν ὁ τὰ ἀπομνημονεύματα τῶν κατ' ἐκεῖνο συμβάντων ἡμῖν ἀναγράψας Ἐκκλησιάρχης.) δέδοικα μήποτε διαφύγη ἡμᾶς, ὅπερ ἔλεγεν ὁ Κῦρος ΙΩΣΗΦ ὁ Διδάσκαλος. Εἶπε γὰρ πολλάκις· ὡς εἴπερ εὐδοκήσει ὁ Θεὸς συστῆναι Σύνοδον, ἔχω τινὰ λόγον εἰπεῖν ἐκεῖσε, ὅς τις ἀναμφιβόλως καὶ ἀναντιῤῥήτως ἐνώσει ἡμᾶς· ἔστι δὲ ἄληπτος· οὐδὲ γὰρ ἕξει τις ἐπιλαβέσθαι ποθὲν αὐτοῦ ὡς ἐναντίου, ἢ ὡς ἐπισφαλοῦς· (ἀπηώρητο δὲ εἰς τὸ Κελλίον ἐν ᾧ ἐκαθήμεθα, ἀπὸ τῆς δοκοῦ σφαιροειδὲς κάτοπτρον·) καὶ εἶπεν, ὥσπερ ἐστὶ τὸ κάτοπτρον τοῦτο ἄληπτον, οὐ γὰρ δυνήσεταί τις ἁπλῶς διὰ τῆς ἀφῆς δράξασθαι, καὶ καταχεῖν αὐτό· οὕτως ἐστὶν ἔφη, καὶ ὁ λόγος ἐκεῖνος ἄληπτος καὶ ἑνωτικός. Ἠρώτησα γοῦν ἵνα μοι εἴπῃ τὸν λόγον, καὶ οὐκ ἠθέλησεν. Εἶπον δ' αὐτῷ, ὅτι λέγεις μοι πρᾶγμα μέγα καὶ δυσεύρετον, μᾶλλον δὲ μέχρι τοῦ νῦν ἀνεύρετον· καὶ εἴθε μὲν διαφυλάξαισε ὁ Θεὸς μέχρι

„ τῷ καιρῷ ἐκείνῳ! ἵν', εἴπερ τῷ Θεῷ ἐσὶ θέλημα,
„ κατορθωθείη τὸ τοσῦτον ἀγαθὸν διὰ Σοῦ· εἰ
„ δὲ τὸ χρεὼν ὡς ἄνθρωπος λειτουργήσεις, καὶ
„ ἃ μεταδώσεις ὧν λέγεις τινὶ, νομίζω ὅτι καὶ αὐ-
„ τὸς ἁμαρτίαν ἕξεις, καὶ ἡμῖν μεγίσλω προξενή-
„ σεις ζημίαν· ζητῶ ἵνα σε ἀποκαλύψω μοι τῦτο,
„ καὶ ἐγὼ φυλάξω ὡς μυσήριον. Ἐκεῖνος δὲ ὅτι
„ ἠθέλησαν εἰπεῖν μοι τὸ πρᾶγμα, φήσας, μὴ
„ φρόντιζε περὶ τύτε· ἐγὼ γὰρ καὶ πρὸ τῦ
„ ἀπελθεῖν με, προνοήσομαι ὅπως ἔχητε ὃ λέγω,
„ ὅταν ἐν χρείᾳ τύτε γένησθε. Εὑρεθήσεται γὰρ
„ γεγραμμένον· καὶ φροντίσατε καὶ ὑμεῖς μή-
„ ποτε τὸ τοσῦτον ἀγαθὸν διαφύγῃ ὑμᾶς. (1).
Τῷ δ' αὐτῷ τύτε λόγῳ, καὶ ὁ Βασιλεὺς ἐμνημόνευσαν ἐπὶ τῆς Σωσάνης ἐκείνης· περὶ γὰρ τῆς πραγματευομένης σωτηρίας ποτε πρὸς τὰς ἰδίας, ἥπερ εἰώθει, δημηγορῶν, καὶ ταύτλω ὡς ἀγαθὸν, καὶ καλὸν, καὶ θεάρεσον, καὶ πολλαχόθεν σωτελῆν τοῖς πράγμασιν ἐπισωιζῶν καὶ κατασκευάζων, καὶ μλω ἢ ἐκ τῦ Πατρὸς αὐτῷ παρεγγυηθῆναι λέγων· ἐπὶ τύτοις, καὶ „πάντες οἱ λόγιοι (φησὶ) πρὸς τλω σωσιν ἀεί πο]ε διε-
„ τέλεσαν ἡμᾶς προτρεπόμενοι, ἢ οἱ διδάσκαλοι
„ τῆς Ἐκκλησίας ἡμῶν, ἐξ ὧν ἔφθασα ἢ ἐγὼ τὸν
„ Πατριάρχλω κῦρον ΕΥΘΥΜΙΟΝ, καὶ τὸν Δι-
„ δάσκαλον Κῦρον ΙΩΣΗΦ, ὅς τις ἔλεγαν ἔχειν
„ καὶ τὸ σωτικὸν ἐκεῖνο τὸ ἄλιπ]ον. (2).

Ὁ μὲν ἓν τῷ σωτικῷ λόγος ἔτος, ὅς τίς ποτε λῶ, ἀναμφιλέκτως ἄλιπ]ος λῶ, καὶ ἔσι δὲ, καὶ

(1) Ἴσορ. τῆς σ' Φλωρ. Σωσάν. Τμημ. Η'. Κεφ. ζ'.
(2) Αὐτ. Τμημ. Θ'. Κεφαλ. ζ'.

καὶ ἔσαι οἶμαι διὰ τέλες, μηδενὸς ἂν οἵτε ὄντος λόγον καταλαβεῖν, τὸν ζῶντι μὲν τῷ ΒΡΥΕΝΝΙΩ ἐν μυχοῖς καρδίας τηρηθέντα ἀπρόϊτον, τελευτήσαντι δὲ σωεκτετελευτηκότα, ἢ δοκεῖ, καὶ τῆς παρ' ἡμῖν χθονὸς σωαπάραντα. Οὐδὲ γὰρ ὤφθητις, ὁ τε ἀπορρήτε ἐπὶ τῆς γῆς καταλειφθεὶς κοινωνὸς, ἀδ' ὑπελείφθη τι ἐκείνε ἀποιχομένε δημοσιευθὲν βραχὺ γῆν χεδάριον, ᾧ τὸν λόγον, κατὰ τὴν ἐπαγγελίαν πεπίσευτο. Οὐδὲ τῶν Συγγραμμάτων τέως τῶν αὐτῆ, τοιόνδε τι φέρεται ἐδαμῆ. Ἄλλως τε καὶ τὸν περὶ τῆς ενώσεως Συμβελευτικὸν ἡμῖν ἐκεῖνον διαθεμένε, καὶ τῷ πρὸς αὐτὸ τὲ βίε πελάσαι τὸ τέρμα, τῆτο ἡμῖν καταλιπόντος οἷον ὑπόμνημα, εἰπεῖν, ἐξιτήριον. „Ἐγὼ γὰρ πάνυ, φησὶν, ἐδίψων τῇ Σωόδῳ ἐκείνῃ παρεῖναι, καὶ τῶν τότε λεγομένων ἀκέειν, καὶ ὁρᾶν τὰ γινόμενα· ἐπεὶ δὲ τὸ τέλος τῆς ἐμῆς ζωῆς φθάνει, καὶ πρὸ τῆς ἴσως γενησομένης Σιωόδε, τὸν τηνικαῦτα ἐσόμενον Πατριάρχην ἡμῶν, ταύτην ἀφ' ἑαυτῆ τελευταίαν τὴν γνώμην πρὸς τὴν Σιώοδον ἔτως εἰπεῖν ἀξιῶ. κτλ. Ἐνταῦθα δὴ ἓν γενόμενος, τίνι ἂν οὐ δόξειε, τὸ διὰ πολλῆ ἀπόρρητον αὐτῷ τηρηθὲν, ὀυκαίρως ἤδη ἐκλαλῆσαι, καὶ τοῖς τότε ἐσομένοις τῆς Ἐκκλησίας Προσάταις, ἐπεὶ ἐς τὸ τέλος αὐτὸς ἥκει τῆ βίε, ὥσπερ τινα παρακαταθήκην παραθέσθαι βελόμενος; Τῆτο γὰρ καὶ ἡ τῆ προκαταληψομένε θανάτε ὑποψία, μονονυχὶ ἔοικεν ἐπαγγέλλεσθαι· καὶ ἡ πρὸς τὸν σωεδριάσοντα τότε Πατριάρχην ὑποθήκη· ᾗ ἡ τελευταία γνώμη, ὡς τελεσιεργός τις αὕτη προχειριζομένη

ζομένη καὶ συμπερασματική· καὶ ὅλον ἁπλῶς τὸ προοίμιον. Καὶ μὴν τριῶν τούτων τρόπων ἐνώ-
„ σεως ἐφεξῆς ὑποβαλλομένων· „τοῦ μὲν, κατ'
„ εὐδοκίαν τοῦ Θεοῦ, ὡς αὐτὸς φησι, γινομένου·
„ τοῦ δὲ, κατὰ δεύτερον, ὃ φασὶ, πλοῦν, καὶ καθ'
„ ἡμετέραν οἰκονομίαν ἐνεργουμένου· τοῦ δὲ κατὰ
„ συγχώρησιν ἄλλως, ἐπ' ἐλπίδι τελείας ἐνώσεως
„ πραττομένου· οὐδὲν οὕτως ἰσχυρὸν εἶναι φαίνεται καὶ ἀναγκαῖον τῶν ἐν αὐτοῖς προβληθέντων, ὡς ἑκόντας ἄκοντας τοὺς διαφόρους συνεῦσαι καταβιάσασθαι, καὶ πρὸς τὴν ἕνωσιν, ἥτις ἦν ἡ τοῦ ἀπαραιτήτου καὶ ἀλήπτου λόγου ὑπόσχεσις, ἀναδεῖξαι καταπειθεῖς. Ἀλλὰ περὶ μὲν τοῦ λόγου τούτου ἐς τοσοῦτον.

Εὕροι δ' ἄν τις, τὰ εἰρημένα διελθὼν ἀπομνημονεύματα, καὶ ὑπὸ ΙΩΣΗΦ ἔτι τοῦ Πατριάρχου, ΙΩΣΗΦ τόνδε τὸν ἡμέτερον εἰς μάρτυρα παρεισαγόμενον ἀξιόπιστον. Ἔνθα τοὺς περὶ αὐτὸν ὁ Κρονόληρος ἐκεῖνος καὶ Σοροδαίμων εἰς τὸ συνθέσθαι τῷ Λατινικῷ φρονήματι ὑπενάγων, καὶ διὰ τοῦτο ἀριδήλως αὐτὸ διδασκόμενον καὶ ΑΘΑΝΑΣΙΩ, καὶ ΚΥΡΙΛΛΩ, καὶ ΕΠΙΦΑΝΙΩ τοῖς Θεόφροσι καὶ πνευ-
„ ματοφόροις πείθειν ἐπιχειρῶν, „περὶ δὲ τοῦ
„ ΕΠΙΦΑΝΙΟΥ, φησὶν, ἐζήτησα πολλὰ τὸν
„ Διδάσκαλον τὸν Κῦρον ΙΩΣΗΦ, καὶ εἶπε μοι,
„ ὅτι εἰς τοὺς ἄλλους ἔχω καί τι λέγειν, εἰς αὐτὸν
„ δὲ τὸν ἅγιόν μου οὐκ ἔχω τι εἰπεῖν. (1). Ἀλλ' ὡς μὲν ἤδη κεκοιμημένου τοῦ ΒΡΥΕΝΝΙΟΥ, ταῦτα

(1) Σγουροπ. Ἱστορ. τῆς ἐν Φλωρεντ. Συνόδ. Τμημ. Θ'. Κεφ. ΙΔ'. Σελ. 273.

ταῦτα λέγων κατεψεύδετο ὁ Πατριάρχης, ὑπ' αὐτοῦ ἐκείνου ἐν τοῖς φερομένοις αὐτοῦ συγγράμμασιν ἀναβιώσαντος ἐλέγχεται προφανῶς· καὶ τοὺς περὶ τοῦ Πνεύματος λόγους αὐτοῦ διελθόντας, οἷαπερ ἦν περὶ τοῦ θείου ΕΠΙΦΑΝΙΟΥ φρονῶν ἐκεῖνος, πάρεστι καταμαθεῖν.

Ἡμῖν δὲ ἐκ τῶν εἰρημένων ἐκεῖνο γοῦν προδηλότατον, μὴ ὅτι γε ζῶντα εἰς μέγα κλέος ἐλάσαι τὸν Ἄνδρα τοῦτον, ἀλλὰ καὶ μνήμην ἀοίδιμον τοῖς ἐπιγενομένοις καταλιπεῖν τελευτήσαντα· ὧν τὸ δεύτερον παραίτιον ἔχον τὸ πρῶτον, ἐκείνου καὶ δεῖγμα καὶ μαρτύριον εἰς πίστιν ἀντικαθίσταται. Ἡ γὰρ ἐν τῷ βίῳ περιγενομένη εὔκλεια, τὸ μετὰ τὴν τελευτὴν κλέος πέφυκεν ἀπογεννᾷν. Εὐφημία δὲ, ἡ καὶ ἀπαλλάξαντι συμπαραμένουσα ἐπιεικῶς μαρτυρεῖ τὸν εὐκλεῶς διαζήσαντα. Ἑκάτερον δὲ, ἀρετῆς ἀκιβδήλου καὶ σφυρηλάτου, καὶ γέρας ἀξιόχρεων, καὶ βάσανος ἀδιάπταιστος ἐστὶ, καὶ ἀπόδειξις· δι' ἣν ἄρα καὶ ΒΡΥΕΝΝΙΟΣ ζῶν μὲν ἤκουεν, „ὅτι πάντες σχεδὸν οἱ εἰδότες σε, ὡς ἕνα " τῶν πάλαι φωστήρων τῆς Ἐκκλησίας δοξάζουσι. (1). Καὶ τὶ λαλεῖς Πάτερ; ὁ Θεὸς λαλεῖ " διὰ σοῦ πίστευσον. (2). Καὶ σὺ πολὺς τὴν φήμην " καὶ μέγας γενόμενος, πολλῶν εὐχὰς, καὶ με- " γάλας τρυγᾷς. (3). Καὶ ταῦτα παρὰ τῶν " δυσμενῶν ἄλλως καὶ πολεμίων ἦν αὐτῷ ἐπιμαρ-

 τυρου-

(1) Ἐν τῇ Α'. Διαλέξ. τοιαῦτα πρὸς αὐτὸν ἔλεγε Μάξιμος ὁ ἐκ τῆς τάξεως τῶν Κηρύκων.

(2) Ἐν τῇ αὐτῇ Διαλέξ. ὁ Φωκᾶς.

(3) Ἐν τῇ Β'. Διαλέξ. ὁ ἀπὸ Ῥώμης Πρέσβυς.

τυρόμενα, ὧν αἱ μαρτυρίαι εἰς ἀξιοπιστίαν νομίζονται κράτισαι καὶ ἰσχυρόταται. Καὶ τελευτήσας δὲ τοῖς ἐν τῇ Ἐκκλησίᾳ διαπρέψασι πατράσιν ἐφάμιλλος ἀναγέγραπται. „Προσεθείθω γὰρ, ἔλεγε περὶ αὐτοῦ λέγων ΓΕΩΡΓΙΟΣ „ὁ ΣΧΟΛΑΡΙΟΣ (1) τῷ τῶν Πατέρων ἐκεί„νων ἀριθμῷ, καὶ ὁ θαυμάσιος ἦτος ΙΩΣΗΦ „ἐν ταῖς ἡμέραις ἡμῶν διαπρέψας, καὶ βίῳ, καὶ „λόγῳ· καὶ πολλὰ μὲν διδάξας κατὰ τὸ συμβαί„νον τῆς μνήμης, πλεῖσα δὲ συγγεγραφὼς περὶ „τῆς τοῦ Παναγίου Πνεύματος ἐκπορεύσεως, τῇ „κοινῇ τῆς Ἐκκλησίας γνώμῃ συμβαίνοντα· κα„λῶν διδασκάλων ἄριστος μαθητὴς γεγονὼς, καὶ „διὰ τοῦτο τοῖς ἄλλοις ἐν διδασκάλου τάξει γε„γονημένος.

Ἀλλ' ἵνα δήτι καὶ περὶ τῶν τοῦ Ἀνδρέου Συγγραμμάτων εἴπωμεν, ταῦτα ἐν πολλαῖς μανθάνομεν τῶν ἀν Εὐρώπῃ Βιβλιοθηκῶν, τῇ μὲν πλείω, τῇ δ' ἐλάσσω, ἐν χειρογράφοις Κώδιξιν ἀποκείμενα σώζεσθαι. Καὶ γάρ τοι καὶ ἐν τῇ κατὰ τὸν Ῥώμιλον Οὐατικανῇ καλουμένῃ· ἔνθα καὶ ΑΛΑΤΙΟΣ ὁ Λατινόφρων περιτυχὼν, ἐκ μέντοι τινων τὰς ἀρχὰς τῶν Λόγων ἀνεγράψατο δείγματος ἕνεκεν καταλέξας, ἀπ' οἰῶν δὲ καὶ ἀποσπασμάτι' ἄττα ἀποδρεψάμενος, ἐν τοῖς αὐτοῦ παρέσπειρεν· ἐξ οὗ καὶ οἱ λοιποὶ τῶν ὕστερον τὸν περὶ τῶν ΒΡΥΕΝΝΙΟΥ πονημάτων εἴδησιν ἐοίκασιν ἀπονεγκάμενοι, ὧν τινα οὐκ ἔχοντες εἰσί. Καὶ ἐν τῇ κατὰ τὸ Μεδιόλανον δὲ Ἀμβροσιανῇ· ὡς ΕΡΡΙΚΟΣ ΟΥΑΡΤΩΝ ἐν

(1) Ἐν τῷ Σημειώματι, περὶ ἧς ἄνωτ.

ἐν ταῖς εἰς τὰ ΚΑΒΕΟΥ προσθήκαις. (1). Καὶ τῇ ἐν Παρισίοις ἔτι τοῦ Βασιλέως τῶν Γαλλιῶν, Κώδικ. Ἀριθμ. 507. Κἀν τῇ Ἰουλίου δὲ τοῦ ἐκ τοῦ Οἴκου τῶν Ἰουστινιανῶν Ἐνετίῃσιν, ὡς ὁ ΜΟΝΤΦΑΟΥΚΟΝΙΟΣ (2). Τὸ δὲ καὶ ἐν Κωνσταντινουπόλει περιφέρεσθαί τινα τῶν Ἀντιγράφων, καὶ πρώτω μὲν ὁ ΓΕΡΛΑΧΙΟΣ ἐπιστέλλων ἐκεῖθεν τοῖς ἐν Γερμανίᾳ διεμπωύετο (3)· καὶ αὐτοὶ δὲ μαρτυροῦμεν ἐντυχόντες ἐνίοις παράτε ἄλλοις σωζομένοις, καὶ ἰδίᾳ ἐνὶ παρὰ τῷ ἐνδοξοτάτῳ Ἄρχοντι Μεγάλῳ Σπαθαρίῳ Κυρίῳ ΙΑΚΩΒΑΚΗ ΡΙΖΩ· οὗτινος ᾀείμε δίκαιον εὐγνωμόνως μεμνῆσθαι, ξενίας τε παρ' αὐτῷ συχνῆς, καὶ φιλοφροσύνης διαφερούσης τυχόντα, καὶ ἧς περ ἔχει Βιβλιοθήκης βραχείας μὲν, ἐπιλέκτου δὲ ὅμως καὶ καλῆς, ἀπολαύσαντα. Ἀλλὰ καὶ ἐν τοῖς κατὰ τὸν Ἄθω Μοναστηρίοις διασώζεταί τινα τῶν χειρογράφων· ὧν δὴ πρὸς ἐν, ἀρχαιότητά τινα ἐκ τοῦ κατὰ τὴν γραφὴν χαρακτῆρος τεκμηριοῦν παρεχόμενον, ἑνὸς αὐτὸς τῶν ἀπὸ Κωνσταντινουπόλεως Κωδίκων, νεωτέρας ὄντος χειρὸς, τὴν παράθεσιν μέμνημαι πρὸ πεντεκαίδεκά που ἐνιαυτῶν ἐνστησάμενος· τοῦ τότε δὴ παναγιωτάτου Οἰκουμενικοῦ Πατριάρχου Κυρίου μου Κυρίου ΚΥΡΙΛΛΟΥ τοῦ Πελοποννησίου ἐπ' αὐτῷ τούτῳ ἐγχειρίσαντος τὸ βιβλίον· τοῦ καὶ τὴν διὰ τύπων

(1) Ἐν τῷ Παραρτήματι, τοῦ περὶ Ἐκκλησ. Συγγραφ. Βιβλ. Αἰῶν. Συνοδ. Ἔτ. 1420.

(2) Ἐν τῷ Ἡμερολογ. τῆς Ἰταλ. Σελ. 435.

(3) Ὅρα Κρούσ. ἐν τῇ Τουρκογραικ. Βιβλ. Ζ'. Σελ. 498.

πων ἐκδοσιν ἐξ ἐκείνε κατὰ νῦν ἀναπολῆντος, καὶ εἰς ἔργον δ' ἂν ἴσως καὶ ἀγαγόντος, εἰ μὴ τὰ ἐμπεσόντα μεταξὺ δυχερῆ ἀντιπεριέσῃ, καὶ τῆς καλῆς προθέσεως τὸν Ἄνδρα ἐξέκρεσαν.

Οὐκ ἀεὶ δὲ ἰσάριθμοι αἱ τοῖς χειρογράφοις οἱ Λόγοι ἐμφέρονται, ἀλλ' αἱ οἷς μὲν πλείονες, αἱ οἷς δ' ἐλάσσονες. ΔΟΥΠΙΝΙΟΣ μὲν ἓν τῶν περὶ Τριάδος μεμνημένος μόνων, ἐπὶ δέκα τέτρες ἠρίθμει ὀκτώ (1)· καίτοι ἐς τὰς εἴκοσι σιὼ αἱ τῶν περὶ Τριάδος συμπεσεμένων· ὧν οἱ μὲν πρῶτοι τρεῖς Δογματικῶς, περὶ θεολογίας ἀναγεγράφαται, οἱ δ' ἑξῆς ὀκτωκαίδεκα τὸ περὶ τῆς ἐκπορεύσεως τὸ Πνεύματος ἰδίως πραγματευόμενοι ζήτημα, ἐπὶ τὸ ἀγωνισικώτερον ἀποκλίνεσι. ΔΟΥΠΙΝΙΩ δὲ ἡ δοκεῖ, καὶ ὁ ΡΕΧΕΜΒΕΡΓΙΟΣ παρακολεθήσας, καί γε ὀκτωκαίδεκα καὶ αὐτὸς ἀναγράφειν ἐθέλων, ἔπειτα ὀκτὼ μόνες αἱ τῇ παρ' ἐμοὶ ἐκδόσει φαίνεται (2) ἐξαριθμῶν, ἐκ τυπογραφικῆς ἴσως διαμαρτίας ΙΙΧ. ἀντὶ ΧΙΙΧ. καταγραφομένων. Ὁ δὲ ΟΥΑΡΤΩΝ (3) ἐπὶ τοῖς ῥηθεῖσιν ὀκτωκαίδεκα, καὶ Διαλόγες τρεῖς προσαριθμεῖ περὶ ἐκπορεύσεως, καὶ Διαλέξεις δὲ δύο, τιὼ μὲν περὶ τῆς ὀρθοδόξε Ἐκκλησίας, τιὼ δὲ περὶ τῆς Πίσεως ἐπιγραφομένω μαρτυρῶν. Ἀλλὰ τὰς μὲν τρεῖς περὶ τῆς ἐκπορεύσεως, εἴτε Διαλόγες

(1) Ἐν ΙΒ'. Βιβλ. τῆς Ἐκκλησιας. Βιβλιοθ. Ἐνθ. ἀνωτ.

(2) Ἐν Ἐπιτομ. τῆς Ἐκκλησ. Ἱσορ. ἐνθ. ἀνωτ. Ἐκδ. τ'. ἐν Λειψίᾳ. Ἔτ. 1714.

(3) Ἐν ταῖς εἰς τὰ Καβέε περὶ Ἐκκλησ. Συγγραφ. προθήκαις.

λόγος τέτος, εἴτε ἡ Διαλέξεις τις ἐθέλοι ἀποκαλεῖν, καὶ αὐτοὶ ἐπιγινώσκομεν· Διαλέξεις δὲ παρὰ τὰς τρεῖς ἀν τοῖς ΒΡΥΕΝΝΙΟΥ ἐμφερομένας ἐκ οἴδαμεν· πλὴν, εἴτις τὴν περὶ τῆς τῶν Κυπρίων ἑνώσεως Μελέτην, ἢ τὸν Συμβουλευτικὸν, ἢ τὸν περὶ τῆς τῦ Θεῦ Λόγε ἐνσάρκε οἰκονομίας, τὸν τὰς ἀπαντώσας ἀπορίας ἐπιλυόμενον, Διάλεξιν περὶ τῆς Ὀρθοδόξε Ἐκκλησίας ἀξιώσει ἀποκαλεῖν· καὶ δὴ καὶ τὸν περὶ τῆς ἡμῶν Πίσεως λόγον, Διάλεξιν καὶ τῦτον εἶναι φήσει, αἳ κυρίως Φάναι Διαλέξεις ἥκισα εἰσίν. Ἔτι δὲ καὶ διασὰς ὁ αὐτὸς ἐπικαταλέγει τέτε ὁμιλίας περὶ τῆς μελλέσης Κρίσεως, ἢ τῆς ἐσομένης αἰδίε Μακαριότητος. Καὶ λόγος δὲ δύο εἰς τὸν Εὐαγγελισμόν. Καὶ ἕνα δὲ, εἰς τὸ „εἰσήκεισαν δὲ παρὰ τῷ Σταυρῷ κτ. καὶ τὸν Εὐχαριςήριον εἰς τὴν Θεοτόκον. Καὶ ἄλλον δὲ εἰς τὴν Ἁγίαν Παρασκευὴν, ἧ ἡ ἀρχὴ „συμφυὴς τῷ κόσμῳ καὶ σύγχρονος. κτ. Καὶ προσέτι ἄλλον, εἰς τὴν τῦ Κυρίε Σταύρωσιν. Καὶ λόγον δέ τινα εἰς τὴν Μεταμόρφωσιν τῦ Κυρίε· ἐκ οἶδ' ὅντινα, ἐδ' ὅθεν λαβών. Καὶ ἐπὶ τέτῳ καὶ ἕτερον, περὶ τῆς θείας ἐνεργείας, καὶ τῦ ἁγίε Θαβωρείε φωτὸς, τῦ προτέρε, ὡς αὐτὸς ἡγεῖται, διάφορον. Τὰ δ' αὐτὰ ταῦτα χεδὸν ἂν εὕροις, καὶ παρὰ τῷ ΦΑΒΡΙΚΙΩ (1) καταλεγόμενα, μεμνημένῳ δὴ πρὸς τοῖς εἰρημένοις, καὶ τριακοσέτινος ὀγδόε τὸν ἀριθμὸν λόγε περὶ τῦ ἁγίε Πνεύματος· καὶ δεκάτε δὲ πρώτε κατὰ Ἰεδαίων, ὧν τὸν μὲν ΝΙΚΟΛΑΟΣ ὁ ΚΟΜ-

(1) Ἐν τῇ Ἑλλενικ. Βιβλιοθ. αἴθ. ἀνωτ.

ΚΟΜΝΗΝΟΣ ὁ Παπαδόπουλος Σελ. 206. φησὶν, ἀναφέρει· τὸν δὲ Σελ. 106. Καὶ ταῦτα μὲν ἔτοι ἐκ τῶν τῦ Λατινόφρονος ΑΛΑΤΙΟΥ Συγγραμμάτων παρειλημμένα, ὡς εἴρηται.

Τῶν δ' ἡμετέρων ΜΕΛΕΤΙΟΣ ὁ Ἀθηνῶν (1) ἀν τῇ Ἐκκλησιαστικῇ αὐτῦ Ἱστορίᾳ, τῇ ἔτι ἀνεκδότῳ, τῦ ΒΡΥΕΝΝΙΟΥ μνείαν πεποιημένος „Σώζονται (φησὶ) λόγοι αὐτῦ ἐπίσημοι τῶν παντήκοντα, ῥηθέντες ὑπ' αὐτῦ ἐν Κωνσταντινουπόλει. Καὶ ἕτερος, δι' ἧς ἀναργῶς ἀποδείκνυσιν, ὅτι τὰς τῷ προθήκῃ ἐπὶ τῦ Ἱερῦ καὶ θείᾳ Συμβόλῳ προθεῖναι τολμήσαντας, Σωσθενικῶς καὶ ἰδίως οἱ θεῖοι Πατέρες τῷ ἀναθέματι ὑποβάλλεσιν· (Ἀλλ' ἔτος εἷς ἐστὶ τῶν περὶ τῆς ὑπερθέσ Τριάδος ΚΑ'. ὁ τῷ ἀριθμῷ Η'. ἐκτασόμενος.) ἀν οἷς καὶ Διαλέξεις αὐτῦ εἰσὶ μετὰ τῶν Λατινοφρόνων, καὶ ἄλλα, ἃ πάντα ἔπω τύποις ἐξεδόθη.

Ἀλλ' ἀν τῷ ἀνὰ χεῖρας ἡμῖν ὄντι χειρογράφῳ τῷ παρῆσαν ἔκδοσιν ἀναβαλομένοις, Συγγραφῶν Κεφάλαια ἐμφέρεται τὰ πάντα ἐπ[ὰ ἐπὶ τοῖς τεσσαράκοντα. Ἐξ ὧν εἴκοσι μὲν ἢ πάντε τὸν Α'. Τόμον σωαπαρ[ίζει· τὰ δὲ λοιπὰ τὸν Β'. συμπληροῖ· ἃ ἢ περιτ[ὸν ἡγεμεθα καταλέγειν ἀνταῦθα, παρὸν τοῖς βελομένοις ἐκ τῶν ἑκατέρῳ Τόμῳ προσεθέντων Πινάκων μιᾷ ὄψεως ἐποπ[εία ἐπιόντας, ὅσοι τε οἱ λόγοι, ἢ περὶ ὅτε ἕκαστος πραγματεύεται κατιδεῖν. Ὅγε μὴν τῷ Β'. τῶν Τόμων Πίναξ, δυοῖν ἔτι ἀν τῷ τέλει τὰς ἐπιγραφὰς ἢ τὰς ἀρχὰς προβάλλεται λόγων, ὅς

(1) Ἐκκλησ. Ἱστορ. Βιβλ. ΙΔ'. Κεφ. ιε'.

ὅς οὐδαμοῦ μέντοι, καί περ πολλὰ ἐπιμεληθεῖσιν οὐκ ἐξεγένετο προσευρεῖν. Καλὸν δὲ ἔδοξε καὶ τούτων ἐν τῷ Πίνακι παραστῆσαι ψιλὰ γοῦν τὰ ἴχνη, ἵν' εἴποτέ τις ἡμῶν ἰχνευτὴς ἐπιτυχέστερος γένοιτο, εὑρώνπου καὶ τούτους φωλεύοντας, καὶ τοῖς ὁμογνίοις συγκαταλέξας, πληρέστερον οὕτω τοῖς μεθ' ἡμᾶς ἀποδοίη τῶν ΒΡΥΕΝΝΙΟΥ γόνων τὸ ἄθροισμα.

Ἐνταῦθα δέτοι γενομένους, μηδεὶς ἀπαιτείτω τῶν τοῦ Συγγραφέως πονημάτων δικαστὰς ἡμᾶς ἐπικαθεσθῆναι καὶ ἐπιγνώμονας, ὥστε τὸ ἐφ' ἑκαστοισοῦν τῶν λεγομένων εὐδόκιμον, ἢ ἀποτυγχάνον ἐπικρίναι καὶ ἀποφήνασθαι, οἷον ἀπὸ μάστιγος θεμιστεύοντας. Ἄλλοις τοῦτο περιττοῖς τισι τὴν Σοφίαν, καὶ τραπεζίταις λόγων δεινοῖς καὶ ἀπαραιτήτοις, ἢν ἐπιχειρεῖν βουληθῶσιν, ἑκόντες παρίεμεν· ἡμεῖς δὲ τοσοῦτον ἔχομεν εἰπεῖν, ὡς πολλὰ μὲν ἐν τοῖς δε τοῖς φιλοπονήμασιν ἀπαντᾷ καὶ λόγου καὶ σπουδῆς ἄξια· πολλὰ δὲ, κατὰ τῶν ἐξ ἀντιθέτου ἡμῖν περί τινα δόγματα ἱσταμένων, ἰσχυρὰ καὶ γενναῖα. Συμμέμικται δὲ ἁπανταχοῦ τῷ ἀναγωγῷ καὶ ὑψηλῷ τῆς θεωρίας, καὶ τὸ τῆς ὑποθήκης καλὸν ἐν τοῖς Ἠθικοῖς, ὅθεν τὸ κατὰ Χριστὸν βιοῦν περιγίνεται. Καὶ ἡ μὲν λέξις εὔσημος τὰ πολλὰ, καλὴ δὲ καὶ ἡ συνθήκη, εἰ μὴ ὅτι πρὸς τὴν τῶν πολλῶν ἀκοὴν αὐτῷ διατυπουμένη κατὰ τὸ χαμαιπετὲς ἐνίοτε ἐξιδιωτίζεται. Πρέπουσα δ' ἐπὶ πᾶσι καὶ ἡ τῶν ἐνθυμημάτων οἰκονομία· ὅ, τε λόγος οὐδέντι τραχυνόμενος ἠρέμα λεῖος τε πρόεισι καὶ πραΰς, καὶ οἷον αὐτοσχέδιος ῥέων, τῷ ἀπεριέργῳ θέλει καλλύνεσθαι· καὶ τῇ ἐμφύτῳ χάριτι πεποι-

πεποιθὼς, τιὼ ἐκ περιεργείας μόρφωσιν παραιτεῖται. Ἀλλ' ἔστιν ἃ μεταξύ πε καὶ ψυχρὰ παρέρριπται, καὶ περιττῶς ἐπιφορεῖται; ἐνιαχῆ δέ τινα καὶ νεανικώτερον εἰς φιλοτιμίαν ἐπιτηδεύεται, καὶ ὡς ἄρτι τῷ Συγγραφεῖ εἰς τὲς λόγες παρακύπτοντι, ἢ αὐτοῖς τοῖς ὀνόμασι σχολαστικώτερον ἀποχρωμένῳ, μειρακιωδῶς ἀναιρολογεῖται; τὰ δὲ τέως καὶ φιλολογημάτιον, ἢ φιλοσοφοῦντι περί τινων, ἐ πάνυτι πρὸς κανόνα τὸν τῆ ἀληθῆς ἀποδιώκεται; Ἀλλ' ἐδὲν κωλύει τὲς ἀναγινώσκοντας τὰ χρήσιμα ἐκλεγομένες, εἴτι καὶ λυπῆν ἐν τέτοις ἐπιεικῶς παρορᾶν. Ὡς ἄρισά μοι δοκεῖ ῥηθῆναι τὸ ὑπὸ ΕΥΣΤΑΘΙΟΥ ῥηθέν. (1). „Καλὸν τὸ Σύγγραμμα. „Εἰδέτινας ἔχει καὶ κῆρας βραχυτάτας, καθάπε σῶμα καλὸν δοθιῶσας τινὰς, ἐ προφανεῖς „τοῖς πολλοῖς, ἢ λειχιῶσας παρεμπεφυκότας ἐκ „ἐν καιρίῳ, ἀφ' ὧν ἥκιστα τὸ πολὺ τῆ κάλλες „ἀχρειῶται, σκεπτέον οἱ περίεργοι, καὶ οἱ „πάνυ φιλόκαλοι· ἡμεῖς γὰρ ἐ μᾶλλον τοῖς ἕλκεσιν „ἐφιζάνεσαι, μέλισσαι δὲ, τῆ τῶν μεσῶν λειμῶνος τὸ κάλλιστον ἀπανθίζεσαι.

(1) Ἐν τῷ Προοιμ. τῶν εἰς τὸ Διονυσ. τῆ Περιηγ. Παρεκβολῶν, πρὸς τῷ τέλει.



ΠΙΝΑΞ

ΤΩΝ ΕΝ

ΤΩ Α'. ΤΟΜΩ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΛΟΓΟΣ Α.

Περὶ τῆς ὑπερθέσ Τριάδος. Εἰρηται ἐν τῷ Παλατίσ Τρικλίνῳ, παρόντων αὐτόθι καὶ τῶν Ἐγκρίτων τῆς πόλεως. Σελ. 1

ΛΟΓΟΣ Β'.

Περὶ τῆς ὑπερσίσ Τριάδος. Ἐν τῷ αὐτῷ Παλατίῳ, καὶ τῷ αὐτῷ ῥηθεὶς τόπῳ, συνελθόντων καὶ τῶν ἐκ τῆ Γαλάτσ προκρίτων, εἰς τιὼ τέτσ ἀκρόασιν. Σελ. 20

ΛΟΓΟΣ Γ'.

Περὶ τῆς ὑπερθέσ Τριάδος. Ῥηθεὶς ἐν τῷ αὐτῷ Παλατίῳ, πάντων τῶν ἐν τῇ πόλει παρατυχόντων ἐξ Ἰταλίας τὸ τλωικαῦτα, συγκαθημένων Ῥωμαίοις εἰς τιὼ τέτσ ἀκρόασιν. Σελ. 36

ΛΟΓΟΣ Δ'.

Ῥηθεὶς ἐν τῷ Παλατίῳ περὶ τῆς θείας Τριάδος. Ἀφορᾷ δὲ εἰς τὸ περὶ τῆς τῆ ἁγίσ Πνεύματος

ἐκπορεύσεως ζήτημα. Σαφηνίζων πλατύτερον περὶ τῆς ὁμωνυμίας τὸ Πνεύματος, καὶ τῆς τὸ ἐκπορεύεται φωνῆς. Σελ. 58

ΛΟΓΟΣ Ε'.

Ἐν τῷ αὐτῷ ῥηθεὶς Παλατίῳ, περὶ τῆς θείας Τριάδος. Δεικνὺς ὅτι ἡ Θεολογία ὑπέρκειται πασῶν τῶν Τεχνῶν καὶ Ἐπιστημῶν κατὰ λόγον ἀσύγκριτον· ὅθεν ἡ Πίστις ἐ διὰ Συλλογισμῶν ἀποδείκνυται. Σελ. 82

ΛΟΓΟΣ ς'.

Ῥηθεὶς ἐν τῷ αὐτῷ Παλατίῳ, περὶ τῆς θείας Τριάδος. Παρισῶν ὅτι τὸ λέγεσθαι παρ' Ἰταλοῖς ὑπόσασιν καὶ τινὰ ἐσίαν, καὶ τὸ πρόσωπον διὰ σκνότητα γλώττης, παρεκτροπὴ τέτοις τῆς ὀρθοδόξε Πίστεως γίνεται. Σελ. 98

ΛΟΓΟΣ Ζ'.

Περὶ τῆς θείας Τριάδος, ἐν τῷ αὐτῷ ῥηθεὶς Παλατίῳ· χρήσεσι πλείσαις ἁγίων σαφέσατα παρισῶν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον προσωπικῶς ἐκ μόνε τὸ Πατρὸς ἐκπορεύεται. Σελ. 117

ΛΟΓΟΣ Η'.

Περὶ τῆς θείας Τριάδος, ἐν τῷ αὐτῷ ῥηθεὶς Παλατίῳ· παρισῶν ἐναργῶς ὅτι τὲς τὸν προθήκην τολμήσαντας, καὶ σωφρονικῶς καὶ ἰδίως οἱ θεῖοι Πατέρες τῷ ἀναθέματι καθυποβάλλεσιν. Σελ. 135

ΛΟΓΟΣ Θ'.

Περὶ τῆς θείας Τριάδος, λαληθεὶς ἐν τῷ Βασιλικῷ Κοιτῶνι· ἀποδεικνύων σαφέσατα ὅτι τὸ

ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεσθαι, ἐχὶ τινὰ τῆς ὑποστάσεως πρόοδον, ἀλλά τινα πρὸς ἡμᾶς χορηγίαν σημαίνει τοῦ Πνεύματος. Σελ. 154

ΛΟΓΟΣ Ι'.

Περὶ τῆς ἁγίας Τριάδος. Εἰσηγέμενος ἀριδήλως ὅτι περ ἡ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα φωνὴ, σωεπλυγμένως ἕτω κειμένη παρὰ πᾶσι τοῖς θεολόγοις ΑΜΑ σημαίνει, καὶ τινὰ ΜΕΤΑ πρόθεσιν, καὶ ΣΥΝ, ἀλλ' ἐχὶ προσωπικῶς τοῦ Πνεύματος ἐσίωσιν. Εἴρηται δὲ ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, παρόντος καὶ τοῦ Βασιλέως. Σελ. 174

ΛΟΓΟΣ ΙΑ'.

Περὶ τῆς θείας Τριάδος, σαφῶς παριστῶν, ὅτι ὅπου ἂν περὶ τῶν θείων προσώπων λέγηται ἡ ΔΙΑ, τινὰ ἐσιώδη ἐνέργειαν, καὶ τινὰ πρὸς ἡμᾶς τοῦ Πνεύματος χάριν, καὶ ἐχὶ τῆς τοῦ Πνεύματος ὑποστάσεως τινὰ αἰτίαν σημαίνει. Εἴρηται δὲ ἐν τῷ τῶν ἁγίων Ἀποστόλων Ναῷ παρόντος καὶ τοῦ Συγκλήτου. Σελ. 195

ΛΟΓΟΣ ΙΒ'.

Περὶ τῆς ἁγίας Τριάδος, ῥηθεὶς ἐν τῷ τῶν ἁγίων Ἀποστόλων Ναῷ, ἐπὶ σωελθόσει τοῦ Βασιλέως, καὶ πλείστων Ἀρχιερέων, καὶ τῆς Συγκλήτου· παραδεικνὺς φανερῶς, ὅτι τὰ παραδείγματα εἰς ἀποδείξεως λόγον ἐπὶ Θεοῦ χώραν ἐκ ἔχει· σαφηνείας δὲ χάριν μόνης παραλαμβάνεται. Σελ. 218

ΛΟΓΟΣ ΙΓ'.

Περὶ τῆς θείας Τριάδος, ἐν τῷ περιωνύμῳ τῶν ἁγίων Ἀποστόλων Ναῷ λαληθείς. Γραφικὰς

περιέχων περὶ τῦ Πνεύματος χρήσεις· καὶ δεικνὺς ὡς ἐν ἐδεμιᾷ τύτων λέγεται τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τῦ Υἱῦ ἐκπορεύεθαι. Σελ. 237

ΛΟΓΟΣ ΙΔ'.

Περὶ τῆς ἁγίας Τριάδος. Σιωπάγων ὅτι καὶ πάντα τὰ Γραφικὰ, ὅσα τινὲς οἴονται εἶναι ἰσχυρὰ καθ' ἡμῶν, πρὸς ἕνα σκοπὸν ἀφορᾷ, τῦ παραξῆσαι τινὰ συμφυΐαν τῦ Παρακλήτυ πρὸς τὸν Υἱόν. Εἴρηται δὲ καὶ αὐτὸς ἐν τῷ τῶν θείων Ἀποστόλων Σηκῷ. Σελ. 256

ΛΟΓΟΣ ΙΕ'.

Περὶ τῆς θείας Τριάδος, ἐν τῷ αὐτῷ τῶν ἁγίων Ἀποστόλων Σηκῷ λαληθείς· συμπεραίνων προδήλως, ὅτι καὶ πάντες οἱ Θεολόγοι διὰ τῆς ἐκ Πατρὸς καὶ Υἱῦ φωνῆς, τινὰ ταυτότητα τῆς φύσεως Πατρὸς καὶ Υἱῦ τῷ Πνεύματι μαρτυρῶσιν, ἐχὶ τινὰ τῆς ἑαυτῦ ὑποστάσεως ὕπαρξιν. Σελ. 274

ΛΟΓΟΣ ΙϚ'.

Περὶ τῆς ἁγίας Τριάδος· δεικνύων ὅτι δι' ἑαυτῆς, καὶ δι' ἀγγέλων, καὶ δι' ἀνθρώπων, ἡ παντελὴς Τριὰς, τῦ Τριὰς εἶναι, πολυτρόπως ἡμᾶς πολλάκις ἐδίδαξεν. Εἴρηται δὲ ἐν τῷ τῶν θείων Ἀποστόλων Ναῷ. Σελ. 294

ΛΟΓΟΣ ΙΖ'.

Περὶ τῆς θείας Τριάδος· διατεινόμενος διαῤῥήδην λογικαῖς ἀποδείξεσι, πάσαις ἀναγκαίς, μὴ προσωπικῶς τὸ Πνεῦμα καὶ ἐκ τῦ Υἱῦ ἐκπορεύεθαι. Λελάληται δὲ ἐν τῷ Βασιλικῷ Κοιτῶνι ῥητῶς ἑτοσί. Σελ. 313

ΛΟΓΟΣ

ΛΟΓΟΣ ΙΗ'.

Περὶ τῆς ἁγίας Τριάδος· διορθέμενος τινάς τινων περί τινων ὑπολήψεις. Εἴρηται δὲ ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις, καὶ τῶν προτεινομένων αὐτὰς ἐπακροωμένων, καὶ τῆς Συγκλήτου βελῆς. Σελ. 332

ΛΟΓΟΣ ΙΘ'.

Περὶ τῆς θείας Τριάδος· ἀποδεικνύων ἀναγκαίως, ὅτι ὑποκειμένου καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι καθ' ὑπόστασιν, μυρία ἄτοπα ἕπεται. Κεκήρυκται δὲ προφανῶς ἐν τοῖς Βασιλείοις, ἐν τῷ πρὸς τὸν ἕω Τρικλίνῳ τοῦ Θεοφίλου Ἡλιοῦ. Σελ. 351

ΛΟΓΟΣ Κ'.

Περὶ τῆς ἁγίας Τριάδος· διαλαμβάνων ὀρθῶς περὶ τῆς θεωρουμένης εἰς τὰ θεῖα πρόσωπα τάξεως· ῥηθεὶς ἐν τῷ Σεκρέτῳ τοῦ Παλατίου· ὃν καὶ γραφῖναι αὐτίκα ὁ Αὐτοκράτωρ προσέταξεν. Σελ. 368

ΛΟΓΟΣ ΚΑ'.

Περὶ τῆς θείας Τριάδος· ἐν τῷ αὐτῷ ῥηθεὶς Παλατίῳ, καὶ παίζων ἀριδήλως, πῶς τὸ μὲν τῶν αἰτιατῶν ἐν ταύτῃ προσώπων λέγεται προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. Σελ. 388

ΤΟΥ ΑΥΤΟΥ
ΔΙΑΛΕΞΙΣ Α'.

Περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως μετὰ τοῦ Λατινόφρονος Μαξίμου τῆς τάξεως τῶν Κηρύκων.

ρύκων. Γέγονε δὲ περὶ τὸν περίφημον Κρήτλιν, ἐπ' ἀκροάσει πάσης τῆς ἐκεῖ Μητροπόλεως. Σελ. 407

ΔΙΑΛΕΞΙΣ Β'.

Περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, μετὰ τῶν ἐκ Ῥώμης Πρέσβεων, ἐπὶ σώσει τῶν Ἐκκλησιῶν δηθεν ἀφικομένων, καὶ λαβεῖν αὖθις ἄλλο ζητέντων λαβεῖν παρ' ἡμῶν. Σελ. 424

ΔΙΑΛΕΞΙΣ Γ'.

Περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, μετὰ τῶν ἐν Κωνσταντινουπόλει Λατινοφρόνων· ὧν τὰ ὀνόματα ὑγέγραπται ὡς ἔτι ζώντων, καὶ δυναμένων ἐφ' οἷς φρονοῦσι μεταβαλέσθαι. Σελ. 443

ΛΟΓΟΣ ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ.

Περὶ σώσεως τῶν Ἐκκλησιῶν, τῆς μελετωμένης γενέσθαι κατ' ἐκεῖνο καιρόν· εἰρηται δὲ ἐν τῷ Συνοδικῷ τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας. Σελ. 469

ΠΡΟΓΡΑΜΜΑ

ΤΟΥΔΕ ΤΟΥ

ΣΥΓΓΡΑΜΜΑΤΟΣ ΟΛΟΥ

ΣΥΝΤΟΜΩΤΑΤΟΝ

ΤΟ ΑΥΤΟ ΚΑΙ ΑΠΛΟΥΣΤΑΤΟΝ.

ΤΟΙΣ

ΕΙΣ ΤΟ ΜΕΛΛΟΝ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

ΤΗΔΕ ΤΗ ΒΙΒΛΩ ΠΙΣΤΟΙΣ

ΙΟΣΗΦ ΜΟΝΑΧΟΣ Ο ΒΡΥΕΝΝΙΟΣ

ΕΥΤΧΑΣ ΕΝ ΧΡΙΣΤΩ ΚΑΙ ΑΞΙΩΣΙΝ.

Ἐγὼ Ἀδελφοίμε πρὸ χρόνων τριάκοντα τὸ τῦ λόγε λειτέργημα πρὸς τῆς τῦ Χριςῦ Ἐκκλησίας, καὶ ἄκων ἐγχειριθεὶς, πολλὰς μὲν πολλαχῦ ἀπὸ ςόματος διῆλθον λόγες ψυχωφελεῖς, Θεῦ διδόντος, ὡς καιρὸς ἀπήτει, καὶ τὰ πράγματα, καὶ τὰ πρόσωπα· συντάξαι δὲ, ἢ συγγράψαθαι τέτες, ἢ ἄλλες μένοντας ἐν ἐμοὶ, ἐκ ἐφρόντισα· τῦτο μὲν πρὸς τὸ ἐμαυτῦ εὐτελὲς ἀπιδὼν, τῦτο δὲ καὶ φροντίσι ταῖς τοῖς Μοναχοῖς

ναχοῖς ὀφειλομέναις εἰργόμενος. Ὅμως περὶ τὸ τῆς ζωῆς τῆς ἐμῆς τέλος, πρὸς τὸν Πατριάρχην, καὶ τὸν Βασιλέως, καὶ τῶν ἐν Τέλει παρακληθεὶς, ὑπομνήσεως χάριν, καὶ τῆς ἐμῆς δόξης πίσωσιν, κἂν γῦν μέρος διαλαβεῖν, ὧν δημοσίᾳ πρὸς τὴν Μεγαλόπολιν ταύτην ἐλάλησα, ἀπολεξάμενος λοιπὸν, ὅσον ἡ μνήμη παρανατεῖχε, τῇ Δέλτῳ ταύτῃ ἐνέθηκα, τὸν ἁπλούστερον, καὶ σαφῆς, καὶ συντόμως ὡς οἷόντε φροντίσας. Ἕνας ὃν τῶν τοῖς δε τοῖς Λόγοις ἐντυγχανόντων, ἐκεῖ παρεῖναι οἰέσθω, ὅπου τούτων ἕνασον συνέβη εἰρῆσθαι, ὡς καὶ ἡ Ἐπιγραφὴ μαρτυρεῖ, καὶ συναιρόασθαι τοῖς πρὸς ἃς αὐτὸ εἴρηται· καὶ ἀντὶ ἐπαίνων καὶ κρότων, ὧν οἱ Ἀκροαταὶ τηνικαῦτα παρεῖχον μοι, εὐχὰς τῷ Χριστῷ ὑπὲρ ἐμοῦ προσαγέτω, τὸν ῥυσθῆναί με τῆς πολάσεως.

ΙΩΣΗΦ ΜΟΝΑΧΟΥ,

Ω ΒΡΥΕΝΝΙΟΣ ΤΟ ΕΠΩΝΥΜΟΝ

ΟΜΙΛΙΑΙ ΔΙΑΦΟΡΟΙ ΡΗΘΕΙΣΑΙ

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

ΕΠΙ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ

ΜΑΝΟΥΗΛ ΤΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ.

ΚΑΙ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΑΣ ΙΩΣΗΦ

τῦ ἁγιωτάτυ καὶ οἰκυμενικῦ

Πατριάρχυ.

ΛΟΓΟΣ Α.

ΠΕΡΙ ΤΗΣ ΥΠΕΡΘΕΟΥ ΤΡΙΑΔΟΣ.

Εἴρηται ἐν τῷ τῦ παλατίυ τρικλίνῳ, παρόντων αὐτόθι καὶ τῶν ἐγκρίτων τῆς πόλεως.

Θεὸς ἡ ἁγία μονὰς καὶ τριὰς, τὸ ὑπὲρ πᾶν ὄνομα ὄνομα, τῶν καλῶν ἡ ἀνωτάτη αἰτία, καὶ ἄναρχος ῥίζα τῶν ἀγαθῶν, ἡ κενωμένη κενώσιν ἀκένωτον, ἐκκενωμένη δὲ μηδαμῶς, ἀλλ' ἐν τῷ κενῶσθαι ὑπερχειλὴς καὶ ἀκένωτος, καὶ πλήρης δεδειγμένη ἀπειρόδωρος βρύσις τῶν κατὰ τὶ ἢ αὐτῆς θέλησιν ἀρ-

χομένων, καὶ προϊόντων, καὶ περαινόντων· αὐτὸς καὶ τῶν ἐμῶν λόγων περὶ αὐτοῦ, ἀρχὴ, καὶ μέσον, καὶ πέρας, καὶ ἰὼ, καὶ ἔσι, καὶ ἔσαι ἀεί. Ἀπόδειξις δὲ τοῦ λόγου προχειροτάτη τε καὶ ἀληθεσάτη, αὐτὰ ἂν εἴη τὰ πράγματα, ὅτι παρ' αὐτοῦ γέγονα, καὶ ἐν αὐτῷ ζῶ, καὶ πρὸς αὐτὸν ἐπισρέφω, καὶ πλὴν αὐτοῦ παρ' ἐμοὶ ὅτε ἔννοια καλὴ, ὅτε πρᾶξις ἀγαθὴ, ὅτε λόγος τελεῖται χρησός. Εἰ γὰρ ἐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰμὴ ἐν Πνεύματι ἁγίῳ κατὰ τὸν θεῖον Ἀπόσολον, χολὴ γ' ἂν περὶ τῆς ἐνιαίας Τριάδος, τῆς ὑπερθέου θεολογεῖν ἀπλαίως, καὶ ἐλευθέρως, Θεοῦ δίκα τὶς ἐξιχύσειεν. Ὅθεν καὶμοὶ ἀπλομένῳ θεολογίας, Θεὸς γίνεται ταύτης ἀρχὴ, ἀπὸ Θεοῦτε ἄρχομαι ὀρθοδόξως, καὶ δι' αὐτοῦ πρόειμι ἀπλοΐτως ἐπὶ τὸ πέρας τοῦ λόγου· σὺν Θεῷ δὲ εἰρήθω, καὶ εἰς Θεὸν τελευτῆσαι θαῤῥῶ. Θεὸς μονὰς καὶ τριὰς τοῦτο δόξ.

Καί με τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦντα μεμφέσθω μηδείς. Ὡς γὰρ καθ' ἡμέραν ὁμολογίας τε καὶ δοξολογίας προσάγοντί μοι Κυρίῳ ἐδεὶς ἐγκαλεῖ, ὅτω κηρύττοντι καὶ τιὼ δόξαν ἰὼ ἔχω περὶ τοῦ πλάσαντός με δεσπότου, ἐγκαλέσει δικαίως ἐδείς. Ἄλλως τε εἰ μὴ ἀεὶ, καὶ ἐπὶ πάντων ὁ λόγος ἐξισοῦτο τοῖς πράγμασιν, εἰκότως ἂν ἐδεδίειν, μήπως τῆς περιωπῆς ταύτης φανείλω μακράν· εἰδ' ἐπὶ πάντων καὶ πάντως, ὁ μὲν νοῦς τῶν πραγμάτων ἐλλείπει πολὺ, καὶ ὁ προφορικὸς λόγος τῶν νοημάτων ὑρίσκεται δεύτερος, ὃν ἂν ἕποιμι τῶν λέγειν σπεδαζόντων περὶ Θεοῦ, ἀλλὰ καὶ τῶν θελόντων διεξιέναι περὶ τῆς κτίσεως, πῶς φοβηθήσομαι μόνος, ταυτάμοι πάντων παχόντων χεδὸν, ἐν τῷ φιλοτιμεῖσθαι μᾶλλον λόγοις δεικνῦσαι τὰ ὑπὲρ νοῦν; τοῦ γὰρ κατ' ἀξίαν ἅπαντες ἀποπίπτειν ὁμολογοῦσι, κἂν ἄλλος ἄλλου προέχειν δοκῇ. Καὶ ὃν τρόπον οἱ ὑπερμεγέθεις τοῖς σώμασι καὶ βραχεῖς τῶν ἀνθρώπων, ἀρανοῦ καὶ ἡλίου ἰσάκις ἀπέχομεν, καὶ τοῦ πλοῦσιοι, οἱ ταχεῖς τοῖς βραδέσιν ὁμοίως, καὶ τοῦ βασιλέσαι τὸν Ἄτλαντα, τοῖς ἀδυνάτοις

τοις ὡσαύτως οἱ ἰσχυροὶ, καὶ τȣ̃ ἀριθμῆσαι τὰ ἄστρα οἱ σοφοὶ παραπλησίως τοῖς ἀμαθέσι, καὶ τȣ̃ δημιȣργεῖν οἱ ἄγγελοι, ἡμῖν ἐπίσης ἀδυνατȣ̃σιν, ȣ̃τως ἀπολείπεσθαι τȣ̃ κατ' ἀξίαν ἰσάκις συμβαίνει, πᾶσι τοῖς πειρωμένοις ἀξίως θεολογεῖν. Λέγει γὰρ ἡ θεολόγος φωνὴ, Φύσει μὲν ἅπας λόγος σαθρὸς καὶ ἀκίνητος, διὰ τὸν « ἀντίμαχον λόγον, ἐλευθερίαν ȣ̓κ ἔχων· ὁ δὲ περὶ τȣ̃ « Θεȣ̃, τοσȣ̃τον μάλλον, ὅσον μεῖζον τὸ ὑποκείμενον, καὶ « ὁ ζῆλος πλείων, καὶ ὁ κίνδυνος χαλεπώτερος. καὶ τὶ « φοβηθέντες, τὶ θάῤῥήσομεν; νȣ̃ν, λόγον, καὶ ἀκοὴν. « ἐντρισὶ τȣ́τοις τȣ̃ κινδύνȣ σαλεύοντος. καὶ γὰρ τὸ νοῆσαι « χαλεπὸν, καὶ τὸ ἑρμηνεῦσαι ἀμήχανον, καὶ ἀκοῆς κε- « καθαρμένης τυχεῖν ἐργωδέστερον. τοῖς μέν τοι κατὰ χρέος « ἐξ ὅλης ψυχῆς μετ' εὐλαβείας προσάγȣσι τȣ̃ λόγȣ τὸ κατὰ δύναμιν, ȣ̓κ ἀπόβλητος ἡ προσαγωγή.

Περὶ δὲ Θεȣ̃ προθέμενοι λέγειν, ἐρȣ̃μεν ȣ̓χ' ὅσον ἐστὶν ὁ Θεός· τȣ̃το γὰρ ἅμα καὶ τολμηρὸν καὶ ἀδύνατον, ἀλλ' ὅσον ἡμῖν ϗ χρέος, καὶ ἐφικτόν. ȣ̓δὲ γὰρ ἐπειδὴ τὸν μεταξὺ ȣ̓ρανȣ̃ καὶ γῆς τόπον διαβῆναι τοῖς ὀφθαλμοῖς ὅλον ἀδυνατȣ̃μεν, ἤδη καὶ ὅσον δυνάμεθα καθορᾷν παραιτȣ́μεθα· ȣ̃τω καὶ νῦν διὰ μικρῶν ῥημάτων, τὴν τῆς εὐσεβείας ὁμολογίαν ἀποπληρώσομεν, τῷ δὲ μεγαλείῳ τῆς ἀκηράτȣ καὶ μακαρίας ȣ̓σίας ἐκείνης, συγχωρήσομεν ἔχειν κατὰ παντὸς λόγȣ τὰ νικητήρια. ȣ̓δὲ γὰρ αἱ τῶν ἀγγέλων γλῶσσαι, (αἵτινες ποτέ εἰσιν), ȣ̓δ' αἱ τῶν ἀρχαγγέλων μετὰ πάσης ὁμȣ̃ τῆς λογικῆς φύσεως, εἰς ἓν ἀθροισθεῖσαι, πολλοστȣ̃ μέρȣς ἐφικέσθαι δυνήσονται. Ὑμεῖς μέντοι οἱ μᾶλλον τῶν ἄλλων ἀνθρώπων, διὰ τὸ ἄρχειν, ἀπείροις περιδονȣ́μενοι πράγμασιν, εἰ ἄρα περὶ Θεȣ̃ βȣ́λεσθέ τι ἀκȣ́ειν, πᾶσαν ἄφετε κάτω τὴν γῆν, καθὰ δήπȣ καὶ φύσεως ἔχει, καὶ κατωτέρα ἐστὶ τȣ̃ παντὸς, ὑπέρβητε τȣτονὶ τὸν ἀέρα, διάβητε τὸν αἰθέρα, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν τοῖς λογισμοις ἐπαρθέντες, αὐτὸ καθ' αὑτὸ ἐννοεῖτε τὸ θεῖον ἑστὼς, ἄτρεπτον, ἀναλλοίωτον, ἀπαθές, ἁπλȣ̃ν, ἀσύνθετον, ἀδιαίρετον, φῶς

ἀπρόσιτον, δυώαμιν ἄφατον, μέγεθος ἀπεριόριστον, δόξαν ὑπερασπάσασαν, ἀγαθότητα ἐπιθυμητὴν, κάλλος ἀμήχανον. καὶν ἕτως ἀκέητε τὸν περὶ Θεῦ λόγον, εὖ οἶδα ὡς καὶ θαυμασωθήσεθε, καὶ σωθήσεθε.

Τετράρων δὲ τρόπων ὄντων, δι' ὧν ἀποδείκνυται πάντα τοῖς ἐπιστήμοσι, καὶν ἐπιστήμης ἁπάσης τὸ θεῖον ὑπέρκειται, ὁριστικῦ, διαιρετικῦ, ἀναλυτικῦ, καὶ ἀποδεικτικῦ, ποσῶς καὶ ἡμεῖς πειρασόμεθα περὶ Θεῦ διελθεῖν διὰ τέτων, ἐκ τῦ προτέρε ἀρχόμενοι τέως, ὅθεν καὶ πάντες οἱ σοφοὶ καλῶς ποιῆντες, τῶν ἐπιστημῶν ἁπασῶν τὰς ἀρχὰς ἐποιήσαντο· καὶ δὴ λέγομεν σιὼ Θεῷ.

Θεὸς ἐστὶν οὐσία ὑπερέσιος, ὅρῳ μὴ ὑποπίπτσα. Θεὸς ἐστὶ δυσνόητον ζήτημα, παγκρατεστάτη χεὶρ, ἀπαραλόγιστος δύναμις. Θεός ἐστιν αὐτογενέθλον ἀγαθὸν, περιληπτικὴ τῶν ὅλων ἐξσία, προνοητικὴ τῶν ἁπάντων μεγαλειότης· Θεὸς ἐστὶ τὸ αὐτάγαθον ἀγαθὸν, τῶν ἀγαθῶν ἡ πηγὴ, ἡ ἀγάπη, ὁ ὑπέρθεος ἔρως, τῶν ἐφετῶν τὸ ἀκρότατον. Θεός ἐστι φῶς ἀληθινὸν, ὃ φωτίζει, καὶ ἃ φωτίζεται, ἐράσμιον, ἀπρόσιτόν τε καὶ ἀδιάδοχον, αὐτὸ ἑαυτῦ περιληπτικόν τε καὶ θεωρητικόν. Θεὸς ἐστὶν ὁ ὤν, καὶ ὁ ἰὼν, καὶ ὁ ἐρχόμενος· τὸ Α, καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος. Θεός ἐστι Κύριος ὁ Θεὸς, καὶ τῦτο ἐστὶν αὐτῦ ὄνομα, καθὼς πε αὐτὸς ἑαυτὸν διὰ τῦ προφήτε ὁρίζεται λέγων· ἐγώ εἰμι Κύριος ὁ Θεὸς, τῦτό με ἐστὶν ὄνομα. Θεός ἐστι τὸ αὐτοκαλὸν, πρὸς ὃ πάντα ἀποβλέπει, ἃ πάντα ἐφίεται· ἡ ἄτρεπτος φύσις, τὸ δεσποτικὸν ἀξίωμα, ἡ ἀόχλητος ζωὴ, ἡ ἄλυπος διεξαγωγὴ, περὶ ἰῶ ἐκ ἔστιν ἀλλοίωσις, ἧς ἐχ ἅπλεται μεταβολή· ἡ ἀένναος βρύσις, ἡ ἄφθονος χάρις, ὁ ἀδαπάνητος θησαυρὸς, τῦ ἐλέες ὁ κρατὴρ, τῶν οἰκτιρμῶν ἡ ἄβυσσος, τὸ τῆς φιλανθρωπίας ἀνεξάντλητον πέλαγος. Θεὸς τί μὲν ἐστὶν ἐκ ἴσμεν, τὶ δὲ ἐκ ἔστιν ἴσμεν· ἴσμεν γὰρ ὅτι ἔτε σῶμα, ἔτε πνεῦμα λεπτὸν, ἔτε χρῶμα, ἔτε σχῆμα, ἔτέ τι τῶν ὄντων, ἔτέ τι τῶν μὴ ὄντων ἐστί· τὶ δὲ τιὼ φύσιν, ἢ τιὼ οὐσίαν ἐστὶν ἐκ ἴσμεν. Θεὸς ὅτι μὲν ἐστὶ, πιστέον, τὶ δὲ τιὼ οὐ-

σίαν

σίαν ἐκ ἐρῶνητέον. ὅσον γὰρ ὁ τῶν ἀνθρώπων ἀποτείνεται νοῦς, τοσοῦτον μᾶλλον τὸ τῆς γνώσεως ἄγνωστον ὁρᾷ. καὶ εἴτι δ' ἂν μεγαλοπρεπὲς ἀγωνίζοιτο λέγειν, τῆς ἀληθείας ἔλαττον ἐστὶ τὸ λαλούμενον. τὶς γὰρ νοήσει τὸν ἀπερινόητον; τὶς ἐκφωνήσει τὸν ἀνεκφώνητον; τὶς ἑρμηνεύσει τὸν ἀνερμήνευτον; πῶς ὁ παρ' αὐτοῦ ψυχωθεὶς πηλὸς καὶ τῆς ἰδίας ψυχῆς ἀγνοῶν τὴν οὐσίαν, τὸν ἐμπνεύσαντα ταύτην καταλάβοι Θεόν; ὁ Θεὸς, (ἀλλὰ μὴ θορυβηθῇς,) καὶ ὁρίζεται, καὶ διαιρεῖται, καὶ ἀόριστος πάλιν μένει καὶ ἀδιαίρετος. τὸ μὲν κατὰ τὴν οὐσίαν, τὸ δεύτερον· τὸ δὲ κατὰ τὰς ὑποστάσεις καὶ ἐνεργείας, τὸ πρότερον. ὅθεν τοῖς θεολόγοις, ποτὲ μὲν ἑκεῖνο, ποτὲ δὲ τοῦτο κηρύττεται, λεγόντων ἀμερὲς τὸ θεῖον, ὅτι καὶ ἄποσον· ἄποσον δὲ, ὅτι καὶ ἄποιον· ἄποιον δὲ, ὅτι καὶ ἁπλοῦν· ἁπλοῦν δὲ, ὅτι καὶ ἀδιάστατον· ἀδιάστατον δὲ, ὅτι καὶ ἄπειρον· ἄπειρον δὲ, ὅτι καὶ ἀκίνητον· ἀκίνητον δὲ, ὅτι καὶ ἄναρχον· ἄναρχον δὲ, ὅτι καὶ ἀγένητον· ἀγένητον δὲ, ὅτι οὗ καὶ μονώτατον· οὗ δὲ καὶ μονώτατον, ὅτι κατ' οὐσίαν παντελῶς ἄσχετον, καὶ διὰ τοῦτο παντάπασιν ἄῤῥητόντε καὶ ἄγνωστον, καὶ μόνον ἀληθῆ γνῶσιν ἔχον, τὸ μὴ γινώσκεσθαι. ἀληθέστερον γὰρ ἀνοεῖται, ἢ λέγεται· καὶ ἀληθέστερον ἐστὶν, ἢ νοεῖται.

Καὶ πάλιν ἡ μὲν ὑπερούσιος οὐσία τοῦ Θεοῦ, ἀνώνυμος ἐστὶν, ὡς ἀνεκφώνητος, καὶ πᾶσαν τὴν διὰ φωνῆς σημασίαν ὑπερβαίνουσα· τῶν δὲ ἐνεργειῶν ἑκάστη κεῖται ὄνομα· διὸ καὶ κυρίων ὀνομάτων ἐπὶ τῆς ὑπερουσίου θεότητος ἐκείνης ἀποροῦντες, ἀπὸ τῶν ἐνεργειῶν αὐτὴν ὀνομάζομεν. Καὶ αὖθις ὄνομα σημαντικὸν ἡ θεία φύσις οὐκ ἔχει, ἢ ἡμῖν οὐκ ἔχει. ἀλλ' εἴτι καὶ λέγεται, εἴτε παρὰ τῆς ἀνθρωπίνης σωτηρίας, εἴτε παρὰ τῆς θείας γραφῆς, τῶν περὶ αὐτὴν ἀποσημαινόντων ἐστί τι. αὐτὴ δὲ ἡ φύσις ἀνέκφραστός τε καὶ ἀνεκφώνητος μένει ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν. καὶ ἐπὶ Θεοῦ ὄνομα μὴ ζήτει, οὐδὲ γὰρ εὑρήσεις. πᾶν γὰρ τὸ ὀνομαζόμενον, ὀνομάζεται ὑπὸ τοῦ κρείττονος· ἵνα τὸ μὲν καλῇ, τὸ δὲ ὑπακούῃ.

τὶς οὖν ὁ οὕτως ὀνομάσας Θεόν; διὸ καί τις φησὶν, ὁ ὅρον Θεοῦ λέγειν βουλόμενος, ἐν ἀβύσσῳ τυφλώττων τὴν ψάμμον μετρεῖ. Ἆρ' οὖν ἐπεὶ φύσει ἄῤῥητος ἐστὶν ὁ Θεὸς, μηδ' ὁπωσοῦν ἡμῖν περὶ αὐτοῦ ῥητέον; οὔμενουν. ἀθέων αὕτη ἡ συμβουλία, καὶ, ὅ φασὶ, τῶν τοῦ ᾅδου πυλῶν. οὕτω γὰρ ταύτῃ τῇ ἀνευλαβεῖ εὐλαβείᾳ εἰς τὸ ἀπιστεῖν περιαχθησόμεθα, τοῦ ὅλως εἶναι Θεόν. ἀλλ' ἐξετάσαντες πρότερον, κατὰ τὶ ὑπάρχει ῥητὸς, καὶ κατὰ τὶ πάλιν ἄῤῥητος, τὸ μὲν αὐτοῦ ἄῤῥητον, ἄκρᾳ σιγῇ τιμήσωμεν, τὸ δὲ ῥητὸν αὐτοῦ, ὁριστέον μὲν ἂν εἴη ἡμῖν καὶ πάνυ.

Κατὰ τὶ οὖν γνωρίζεται ὁ Θεὸς, καὶ διατὶ τὸ θεῖον ἐστὶν ἄληπτον, οἵτε θεολόγοι διδάσκουσιν, καὶ ἡμεῖς ὑπομνήσομεν. αἱ μὲν γὰρ ἐνέργειαι τοῦ Θεοῦ, φασὶ, ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεὸν, τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα· αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος. καὶ οὕτω τὸ Πνεῦμα τὸ ἅγιον ἀπρόσιτον τῇ φύσει, χωρητὸν δὲ δι' ἀγαθότητα· πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ μεθεκτὸν τοῖς ἀξίοις. οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τῆς
„ πίστεως διαιροῦν τὴν ἐνέργειαν. καὶ ἵνα τῷ ληπτῷ μὲν ἕλ-
„ κῃ πρὸς ἑαυτὸ (τὸ γὰρ τελέως ἄληπτον, ἀνέλπιστον καὶ
„ ἀνεπιχείρητον)· τῷ δὲ ἀλήπτῳ θαυμάζηται· θαυμαζό-
„ μενον δὲ ποθῆται πλέον, ποθούμενον δὲ καθαίρη, καθαῖ-
„ ρον δὲ θεοειδεῖς ἀπεργάζηται· τοιούτοις δὲ γενομένοις, ὡς
„ οἰκείοις ἤδη προσομιλῇ· τολμᾷ τὶ νεανικὸν ὁ λόγος, Θεὸς
„ θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος, καὶ τοσοῦτον ἴσως,
„ ὅσον ἤδη γινώσκει τοὺς γινωσκομένους.

Θεὸν δὲ ὅταν εἴπω, λέγω Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τὴν ὑπέρθεον καὶ ἀνωτάτην Τριάδα. ἐπεὶ Θεὸν ἕνα δοξάζομεν, οὐ τῷ ἀριθμῷ, ἀλλ' ἢ τῇ φύσει. οὐ γὰρ πᾶν τὸ ἓν ἀριθμῷ, πάντως καὶ ἓν τῇ φύσει ἐστίν· οὐδὲ πᾶν τὸ ἓν τῇ φύσει, πάντως ἓν ἐστὶ τῷ ἀριθμῷ· καὶ γὰρ ὁ κόσμος τῷ μὲν ἀριθμῷ εἷς ἐστὶν, οὐκ ἔστι δὲ τῇ φύσει εἷς, ἀλλὰ πολλὰ ἐξ ὧν συνίσταται· καὶ ὁ ἄνθρωπος ἔμπαλιν, εἷς μέν

ἐστι

ἐστι τῇ Φύσει, ἄπειρος δὲ τῷ ἀριθμῷ. Καὶ ἡ ἁγία τοίνυν Τριὰς εἷς μὲν Θεὸς ἐστὶ τῇ Φύσει, καὶ ἀπολύτως εἷς· καὶ ὑπὲρ ἀριθμὸν εἷς· καὶ κατ' ἐξοχὴν ὁποίᾳ ἄν τις εἴποι ἑνὸς, εἷς· καὶ πρὸς ἀντιδιαστολὴν τῶν πολλῶν καὶ ψευδωνύμων θεῶν λεγομένων, εἷς· τῷ ἀριθμῷ δὲ Τριάς. Καὶ ὅτι πᾶν ὃ ἂν ἀριθμῷ λέγεται, τοῦτο ἐκ ἓν τωόντι, ἀλλ' ἁπλῶν τῇ Φύσει ἐστὶν· ὁ δὲ Θεὸς εἷς ἐστὶν, ἁπλοῦς, καὶ ἀσυνθετος παρὰ πᾶσι τοῖς θεολόγοις ὁμολογηται. Καὶ ὁ μὲν ἀριθμὸς ἐστι τὸ ποσὸν· τὸ δὲ ποσὸν τῇ σωματικῇ Φύσει συνέζευκται· σωμάτων δὲ δημιουργὸς ὁ Θεὸς, ἀσώματος. Καὶ πᾶς μὲν ἀριθμὸς ἐκεῖνα σημαίνει τὰ πλῆθει καὶ περιγραπτῇ κεκτημένα τινὶ Φύσιν· ἡ δὲ Φύσει μονὰς καὶ ἑνὰς, τῆς ἁπλῆς καὶ ἀπεριλήπτου ἐστὶ σημαντική. Καὶ ἔτι μονὰς μὲν αὐτὴ ἡ Θεότης ὅλη κατὰ τινὰ Φύσιν κυρίως, καὶ λέγεται καὶ ἐστί· τριὰς δὲ πᾶσα κατὰ τὰς ὑποστάσεις πάλιν τὰς ἑαυτῆς· ὧν, ἓν ἡ Φύσις αἰτία τῶν ὑποστάσεων, ἃ δὲ γὰρ πρότερα ἔστε ταύτης αἱ ὑποστάσεις ἀνώτεραι τῷ αἰτίῳ· ἃ γὰρ ἐν τῷ καιρὸς, ὅτε ἐν τῷ μονὰς δίχα τριάδος, ἡ τριὰς ἄνευ μονάδος, ἐπὶ Θεοῦ· ὥστε ἡ τινὰ μονάδα τῆς τριάδος, ἡ τινὰ τριάδα τῆς μονάδος αἰτίαν, ἢ ὅλικῶς, ἢ μερικῶς δείκνυσθαι· ἀλλ' ὡς ἐκ ἂν νῦς ἐφίκοιτο, ὑπερφυῶς τε καὶ ἀναιτίως, ἅμα μονὰς καὶ τριὰς ὁ Θεός. Καὶ ἔτω μονὰς καὶ τριὰς ἡ Θεότης ἔσα ἡ ὑπέρθεος, ἐκ ἔστιν ἃ δὲ μονὰς, ἃ δὲ τριὰς, πρὸς ἡμῶν, ἢ ἄλλα τινὸς τῶν κτισμάτων διεγνωσμένη· ἐπεὶ αὐτὴ καὶ μονάς ἐστι Φύσει, καὶ τριὰς ἡ αὐτὴ ὑπεραρίθμος· καὶ ἀδὲν τῶν τῷ ἀριθμῷ ἑπομένων ταύτῃ ἕπεται. ἀλλὰ Πατὴρ, Υἱὸς, Πνεῦμα ἅγιον, μία Θεότης, τρία ἰδιώματα· μία οὐσία, τρεῖς ὑποστάσεις· μία Φύσις, τρία πρόσωπα· μία μορφὴ, τρεῖς χαρακτῆρες· ἓν εἶδος, τρία ἄτομα. Θεότης γὰρ καὶ οὐσία καὶ Φύσις καὶ μορφὴ καὶ εἶδος ἐπὶ Θεοῦ μοναπλῶς λέγεται· ἰδίωμα δὲ καὶ ὑπόστασις καὶ πρόσωπον καὶ χαρακτὴρ καὶ ἄτομον τριοσῶς. Ὅθεν καὶ χρὴ τὸν θεολογοῦντα, πρὸ παντὸς ἄλλου, τῶν θείων ὀνομάτων τὰς ὁρὰς, καὶ ἐπιστημονικῶς ἐπίστασθαι, καὶ ἐσκεμμένως τὰς αὐτῶν σημασίας ἐπιτη-

ρεῖν. οἷον ὅτι μονάς ἐστι, κατὰ μὲν σκέψιν ἀριθμητικὴν, καθὸ ἕκαστον τῶν ὄντων ἓν λέγεται· κατὰ δὲ γνῶσιν θεολογικὴν, ἑνιαία ταυτότης, καὶ πρὸς ἓν τῶν ἐξ αὐτῆς πάντων σωνόδους. Καθάπερ γὰρ ὁ ἥλιος κέντρον ἐστὶ τῶν ἰδίων ἀκτίνων, ἐξ αὐτοῦ πασῶν ἐξερχομένων, καὶ τάτε αὖθις ἐξηρτημένων, καὶ περὶ αὐτὸν ὄντων· ἕτω δὴ καὶ ἐκ Θεοῦ τὰ πάντα, καὶ εἰς αὐτὸν ἐπιστρέφεται πάντα, καὶ περὶ αὐτὸν ἅπαντα.

Τριάς ἐστι κατὰ μὲν τὴν φυσικὴν ἀκολουθίαν, μονάδων συνθεσις τριτὴ· κατὰ δὲ τὴν θεικὴν ὑσίαν ὑπεραρίθμος ὕπαρξις· ὅτι ἐν τοῖς θείοις προσώποις, ἑδὲν γεννᾷ ἑαυτό. ἑδὲ ἡ ὑσία ἐκείνη γεννᾷ ἑαυτὴν, ἢ ἑτέραν ὑσίαν, ἢ τινὰ τῶν ἑαυτῆς ὑποστάσεων. εἰ γὰρ ἡ ὑσία ἐγέννα ὑσίαν, ὡς φησιν Αὐγεστῖνος, ἐν τῷ περὶ Τριάδος, ἐκ ἂν ἐγέννα εἰμὴ ἑαυτήν· διὰ τὸ μηδὲν εἶναι ἐν τῷ Θεῷ τῆς θείας κεχωρισμένον ὑσίας. Ταύτῃ τοι Πατὴρ κυρίως ἐστὶν ὑπόστασις ἀναίτιος, γεννητικὴ, ἀγέννητος· Υἱὸς κυρίως ἐστὶ γεννητὴ ἐξ ἀγεννήτε ὑπόστασις ἐν ταυτότητι φύσεως. Πνεῦμα κυρίως ἐστὶ δυνάμις ἐκ προβολέως ἐκπορευτὴ, ἁγιαστικὴ, ἐνύσιος, ἐνύπαρκτος, ἐνυπόστατος, ἡ λεπτὴ μὲν καὶ ἀχημάτιστος, ἐκπορευτὴ δὲ ἐκ προβολέως ὑπόστασις. Θεότης ἐστὶ μία δυνάμις καὶ ἐνέργεια ἀπαράλλακτος προσώπων τριῶν. Οὐσία ἐπὶ Θεοῦ ἐστιν ἡ ἅπασα κυρίως καὶ πρώτως καὶ μάλιστα καθ' ὑπεροχὴν ἅπασαν ὑπερούσιος. Φύσις ἐπὶ Θεοῦ ἐστὶν, ἡ αὐτοῦ καθ' αὐτὸν ὀντότης, ὁποῖα ἂν εἴη, καὶ ὕπαρξις. Μορφή ἐστιν ἡ ὑπὸ τῶν ὑσιωδῶν διαφορῶν, οἱονεὶ μορφωθεῖσα καὶ εἰδοποιηθεῖσα ὑσία, ἥτις σημαίνει εἰδικώτατον εἶδος. Εἶδος ἐπὶ Θεοῦ ἐστὶ, τὸ κατὰ τριῶν προσώπων καὶ διαφερόντων τοῖς ἰδιώμασι, ταυτὸν, ἐν τῷ τί ἐστὶν ὁμολογούμενον· Ἰδίωμα ἐστὶν ἐκεῖ, τὸ κυρίως ἐν μιᾷ ὑποστάσει γνωριζόμενον, ἐν ἑτέρᾳ δὲ μηδαμῶς ὑπάρχον. Ὑπόστασις ἐστὶ τὸ ἐξ ὑσίας καὶ ἰδιοτήτων συνισάμενον πρόσωπον. Πρόσωπον ἐστὶν, ὅπερ διὰ τῶν οἰκείων ἐνεργημάτων τε καὶ ἰδιωμάτων, ἀρίδηλον καὶ περιωρισμένιν τῶν ὁμοφύων αὐτοῦ

τῷ παρέχεται ἡμῖν τινὶ ἐμφάνειαν. Χαρακτήρ ἐστιν ἑτέρα χέσις προσώπε ὐσιώδης, ἐναργῶς θεωρεμένη εἰς ἕτερον. Ἄτομον ἐστὶ τὸ ἐξ ἰδιοτήτων συγκείμενον, ὧν τὸ ἄθροισμα ἐκ ἂν ἐφθείη ἐπὶ ἑτέρε ποτέ. Ἀναρχόν ἐστι, τὸ χρόνε παντὸς καὶ προσώπε κατὰ τὸ εἶναι πρεσβύτερον. Ἀίδιον ἐστὶ τὸ μηδέποτε αὐξάνον, μήτε λῆγον. Ἀπρόσιτόν ἐστι τὸ πορρωτάτω κατὰ τινὶ φύσιν ἀφεστηκὸς, καὶ παντελῶς ἄθικτον. Ἀτρεπτόν ἐστι τὸ ἀεὶ ὡσαύτως ἔχον κατὰ τινὶ φύσιν. Ἄφθαρτον ἐστὶ τὸ κατὰ πάντα ἄῤῥυσον, καὶ ἀνενδεὲς, καὶ ἄτρεπτον· Ἐνέσιον ἐστὶν αὐτὸ τὸ ὄν, ἢ τὸ ἐν τῇ θείᾳ ὐσίᾳ γνωριζόμενον ἰδίωμα. Ὁμοούσιον ἐστὶ, τὸ τῆς αὐτῆς ὐσίας ἀπαραλλάκτως ὑπάρχον. Ἐνυπόστατον ἐστὶ, τὸ καθ' αὑτὸ ἐν ἰδίᾳ ὑποστάσει θεωρέμενον· ἢ τὸ σωερχόμενον ἑτέρῳ τινὶ διαφόρῳ κατὰ τινὶ ὐσίαν εἰς μίαν ὑποστάσεως σωδρομιὰ. Ὁμοϋπόστατόν ἐστιν, ὅταν δύο Φύσεις ἐν μιᾷ ὑποστάσει σωθῶσι, καὶ μίαν χῶσιν ὑπόστασιν, καὶ ἓν πρόσωπον. Χριστός ἐστι Θεὸς καθ' ὑπόστασιν ἰωώμενος ἀνθρωπότητι· ἢ ἄνθρωπος θεότητι καθ' ὑπόστασιν εἰλημμένος. Χριστὸς ἐστὶ τὸ φῶς τῷ κόσμε, ἡ χαρὰ, ἡ ὁδὸς, ἡ θύρα, ἡ ἀνάστασις, ἡ εἰρήνη, ἡ ἀλήθεια, ἡ ζωή. Ταῦτα μὲν ἓν καὶ τοιαῦτα μυρία, τὸν περὶ Θεῦ λέγειν ἐπιχειρῆντα εἰδέναι χρεών· ἡμεῖς δ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

Ὅτι ἓν μὲν ἢ τρία τὸν Θεὸν λέγομεν, ἐ κατὰ τὸ αὐτὸ ἢ ἓν πρᾶγμα, ἵνα τέλεως ἀνῖλ τριάδος εἰσάγηλαι· ἀλλα τρία μὲν αὐτὸν ταῖς ὑποστατικαῖς φαμὲν ἰδιότησιν, ἓν δὲ τῇ Φύσει. Θεὸν δὲ λέγονλες ἕκαστον τῶν θείων προσώπων, ἐ τολμῶμεν αὐτὸ καὶ θεότητα λέγειν. διότι καθάπερ ἄνθρωπος καὶ ἀνθρωπότης, εἰ καὶ τὸ καθόλε σημαίνεσιν ὁμοίως, ὅμως ἐχ ὁμοίως λέγεται κατὰ τῶν ὑποκειμένων· ὁ γὰρ Πέτρος, ἄνθρωπος μὲν ἂν ῥηθείη, ἀνθρωπότης δὲ ἐδαμῶς· ἔτω καὶ Θεὸς καὶ θεότης. Θεὸς μὲν γὰρ ἐνεργῆντα δηλοῖ, θεότης δὲ ἐνέργειαν. ἐδὲ δὲ τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργῆν ἕκασον αὐτῶν. Θεότητα δὲ Πατρὸς λέγομεν· καὶ θεότητα Υἱῆ· καὶ

θεότητα Πνεύματος ἁγίου· ὡς ἀνθρωπότητα Πέτρου, καὶ οὐσίαν, καὶ φύσιν, καὶ εἴτι κοινὸν τῶν τριῶν ὑποστάσεων· ἀμέλει οὐδὲ εἷς, δύο, τρεῖς λέγομεν, ὅπερ συνήθες, ἐπὶ τῶν κατὰ τάξιν ἀριθμουμένων, ἢ τὸ ἐπὶ τῶν ἁπλῶς ἀριθμουμένων ἀσυνήθες, τρεῖς, δύο, εἷς· ἀλλ' εἷς, καὶ εἷς, καὶ εἷς· καὶ οὕτω τρία τὰ ἀριθμούμενα. αὐτὰ δὲ τὰ τρία καὶ ἰδίᾳ ἐστὶν ἕκαστον ἕν, καὶ ὁμοῦ τὰ πάντα τὸ ἕν.

Ὅτι μονὰς ἡμῖν ὁ Θεὸς ὁ αὐτὸς πιστεύεται, καὶ τριάς· μονὰς πρὶν δυασθῆναι τρισσουμένη, καὶ τριὰς τὴν δυάδα προφθάνουσα· οὐ μετὰ τὴν μονάδα δυὰς, εἶτα τριὰς, ἵνα καὶ μονὰς πρὸ δυάδος, καὶ δυὰς πρὸ τριάδος νοῆται, κατὰ φυσικὴν τοῦ ἀριθμοῦ πρόοδον· οὐδὲ συνθέσεως καὶ διαλύσεως δεκτικὴ τριὰς αὕτη, ἢ θέσεώς τε καὶ ἀφαιρέσεως· οὐδ' ὃν τρόπον δυάδος οὔσης, ἔστι καὶ μονὰς, μονάδος δὲ οὔσης οὐκ ἔστιν ἐξ ἀνάγκης καὶ δυάς· καὶ τριάδος ὁρωμένης, ἔστι καὶ δυὰς, δυάδος δὲ θεωρουμένης, οὐκ ἔστι καὶ τριάς· ὡς ἐπὶ τῆς ἀριθμοῦ λέγω φύσεως, οὕτω κἂν τοῖς θείοις ἐστίν· ἀλλὰ μονάδος οὔσης, ἐστὶν αὐτίκα καὶ τριὰς, καὶ τριάδος νοουμένης, συνεπινοεῖται ταύτῃ καὶ ἡ μονάς· καὶ πατρὸς ὄντος, ἐστὶν υἱὸς, καὶ υἱοῦ ὄντος, ἐστὶ πατήρ· καὶ ἐπὶ τοῦ πνεύματος ὡσαύτως· ἀχώριστα γὰρ τὰ τρία καὶ ἕκαστον αὐτῶν ἐφέλκεται τὰ ὁμοφυῆ· καὶ τοῦτο πάνυ θεοπρεπῶς. Ἐπεὶ οὐ τὸ πρῶτον ἐκεῖσε τὸ δεύτερον γεννᾷ, καὶ τοῦτο πάλιν τὸ τρίτον, γενεαλογίας, ἢ σειρᾶς τρόπον, ἢ χρονικῆς προόδου, ἢ φυσικῆς· ἢ τὸ πρῶτον καὶ τὸ δεύτερον ἄμφω, κατ' οὐσίαν ἢ θέλησιν γεννῶσιν, ἢ ἀποτελοῦσι τὸ τρίτον ἵν' ἑνὸς τέκνου δύο ὦσι πατέρες· ἢ τοῦ ὑστέρου τὰ πρότερα αἴτια· οὐδὲ γὰρ ἔστιν ἐκεῖ πρότερόν τε καὶ ὕστερον· ἢ πρῶτον, καὶ δεύτερον, καὶ τρίτον ποσῶς. οὐδ' ἐκ τῆς δυάδος προάγεται τὸ ἕν· οὐδ' εἰς τὴν δυάδα τὸ μὴ προαχθὲν ἐξ αὐτῆς ἀναφέρεται· πῶς γὰρ; οὐδ' ἡ μονὰς εἰς μονάδα κινεῖται, ἡ δὲ δευτέρα μονὰς, εἰς τρίτην πάλιν μονάδα· ἀλλ' ἡ μονὰς κεκίνηται μόνον θεοπρεπῶς εἰς δυάδα, κατὰ τὸν μέ-

γαν

γαν ἐν Θεολογίᾳ Γρηγόριον, ἐν τῷ περὶ Υἱὲ πρώτῳ, ὅτω Θεολογῆντα· „ ἡμῖν μοναρχία τὸ τιμώμενον· μοναρχία δὲ, ἐχ ἰῶ ἐν περιγράφει πρόσωπον ἔτι γὰρ καὶ τὸ ἐν σασιάζον πρὸς ἑαυτὸ πολλὰ καθίσαθαι· ἀλλ' ἰῶ Φύσεως ὁμοτιμία σωίζησι, καὶ γνώμης σύμπνοια, καὶ ταυτότης κινήσεως, καὶ πρὸς τὸ ἐν τῶν ἐξ αὐτῆ σωύνδυσις, ὅπερ ἀμήχανον ἐπὶ τῆς γεννητῆς Φύσεως, ὥτε καὶν ἀριθμῷ διαφέρη, τῇ ἐξέσιᾳ μὴ τέμνεθαι, διὰ τῆτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα, μέχρι τριάδος ἔστη. Καὶ ἐν τῷ δευτέρῳ τῶν Ἐιρηνικῶν· ὁ αὐτὸς τριάδα τελείαν ἐκ τελείων τριῶν· μονάδος μὲν κινηθείσης διὰ τὸ πλέσιον, δυάδος δὲ ὑπερβαθείσης· ὑπὲρ γὰρ τὶν ὕλλν καὶ τὸ εἶδος ἐξ ὧν τὰ σώματα. τριάδος δὲ ὁριθείσης διὰ τὸ τέλειον. πρώτη γὰρ ὑπερβαίνει δυάδος σωίθεσιν, ἵνα μήτε σωὴ μένῃ ἡ θεότης, μήτε εἰς ἄπειρον χέηται· τὸ μὲν γὰρ ἀφιλότιμον, τὸ δὲ ἄτακτον. Καὶ ἐν τῷ ἕκλῳ καὶ δεκάτῳ τῶν πρὸς Ἀμφιλόχιον ὁ μέγας Βασίλειος· „ ἐνόησόν μοι τὶν προκαταρκτικὶν αἰτίαν τῶν γενομένων, τὸν Πατέρα φησὶ, τὶν δημιεργικὶν, τὸν Υἱόν· τὶν τελειωλικὶν, τὸ Πνεῦμα· ὥτε βελήματι μὲν τῆ Πατρὸς, τὰ λειτεργικὰ πνεύματα ὑπάρχειν, ἐνεργείᾳ δὲ τῆ Υἱῆ εἰς τὸ εἶναι παράγεθαι· παρεσίᾳ δὲ τῆ Πνεύματος τελειῆθαι. ἤκεσας; τὶν προκαταρκτικὶν αἰτίαν τῶν γενομένων φησὶ, καὶ ὅτι κινεῖται μὲν ἡ μονὰς, ὑπερβαίνεται δὲ ἡ δυὰς, ἵνα μὴ τὰ δύο τῆ ἑνὸς αἴτια, ἀλλὰ τὸ ἐν τῶν δύο νομίζηται.

Εἰ δέτινα θορυβεῖ, τὸ, μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα· ἢ τὸ μονὰς μονάδων αἰτία, ἢ τριὰς τὶν δυάδα προφθάνεσα· καὶ τὸ, μονάδος μὲν κινηθείσης, δυάδος δὲ ὑπερβαθείσης, καὶ τὰ τοιαῦτα, ὡς περὶ τῆς κοινῆς τῶν τριῶν ἐσίας λεγόμενα· ἴσω, ὡς ἐχὶ περὶ ταύτης, ἀλλὰ περὶ τῆς πατρικῆς ὑποσάσεως μόνης τῷ Θεολόγῳ δεῦρο εἰρηται. ὥσπερ καὶ ἡ δυὰς, ἐ περὶ τῆς κοινῆς Φύσεως Υἱῆ καὶ Πνεύματος, ἀλλὰ περὶ τῶν ὑποσάσεων μόνον· ἐπείπερ ἡ ἐσία καθ' ὧν λέγεται πάντων, καινάντι ἔσα

ἔσαι ἐπίσης, ἐκ ἄν ποτε αἰτίαι ὑποστάσεως γενῆται· εἰ δ' ἦν, μόνος μὲν ὁ Πατὴρ τῷ κοινῷ οὐσίαν τῆς ἑαυτοῦ ὑποστάσεως ἔζει αἰτίαν ἀναίτιον· ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα, καὶ τὸν Πατέρα ἰδίως αἰτιατὸν ἔζει αἴτιον· καὶ τῷ τοῦ Πατρὸς οὐσίαν, ἀναίτιον αἴτιον· καὶ δίχα τῶν λοιπῶν ἑπομένων ἀτόπων, ἢ ἀλλήλων πάντα αἴτια ἔσαι τὰ πρόσωπα τῆς Τριάδος, ἢ αὐτὰ ἑαυτῶν. Ὅμως ὅλη αὐτὴ ἡ μονὰς, ἐν ὅλῃ ἐστὶ τῇ τριάδι ὑπερφυῶς· καὶ ὅλη ἡ τριὰς ἐν ὅλῃ τῇ μονάδι θεοπρεπῶς· ὅλη γὰρ ἐν ὅλοις τοῖς τρισὶν ἡ θεότης ἰσάκις· καὶ ἕλα ἰσάκις τὰ πρόσωπα, Πατὴρ, Υἱός τε, καὶ Πνεῦμα, ἐν ὅλῃ ἐστὶ τῇ ὑπερτάτῳ θεότητι. Εἰ γὰρ ἐξ ἀπείρων καὶ διαφόρων οὐσιῶν τοῦ ὅλου κόσμου συνισαμένου, ἐν ὅλῳ τῷ ἑνὶ κόσμῳ, ὅλον ἐπίσης τὸ θεῖον διῄρισκεται, καὶ ταῦτα διὰ τὴν αἴσθησιν, καὶ τὴν παντοδαπὴν ποικιλίαν τῶν ἐν τούτῳ σωμάτων, πόῤῥωπεν ἀφεστηκότι τῆς ὑπερουσίου οὐσίας ἐκείνης· πολλῷ μᾶλλον ἐν τῇ πάσης αὐλίας ἐξηρημένῃ, καὶ πάσης ἁπλότητος ἀσυγκρίτως ὑπερκειμένῃ θεότητι, ὅλα ἐν ὅλῃ τὰ θεῖα πρόσωπα διῄρεθήσεται. Ὅσα γὰρ περὶ Θεοῦ, εἴτε κατὰ θέσιν, εἴτε κατ' ἀφαίρεσιν, εἴτε καθ' ὑπεροχὴν καὶ ὑπέρβασιν λέγεται, ἐκ οὐσίαι ταῦτα, ἀλλὰ περὶ τὴν οὐσίαν ἐστὶ θεωρούμενα, εἰ καὶ οὐσιώδηπως καλεῖται καὶ φυσικά· οὐδὲ μέρος τῆς οὐσίας, ἡ θεότης γὰρ ἀμερής. Οὕτω καὶ τῷ πυρὶ πρόσεστι τὸ καῦσόν τε καὶ ἀνωφερὲς, καὶ τὸ φωτιστικὸν, καὶ καυστικὸν, δυνάμεις διάφοροι, ἀλλ' οὐ σιώδελον διὰ τοῦτο τὸ πῦρ, ἀλλ' ἁπλοῦν ὅσον οὐ σώμασι φυσικοῖς τε καὶ στοιχειώδεσι. Καίτοι οὐταῦθα, οὐσιώδη ταῦτα ἐστὶ τῷ πυρὶ, ἐκεῖ δὲ τὰ μὲν περὶ τὴν οὐσίαν ἐστὶ θεωρούμενα, τὰ δὲ περὶ ἑκάστην ὑπόστασιν ἕκαστα· διὸ πολλῷ πλέον οὐ λυμαινεῖται τὸ ἁπλοῦν, οὔτε τῆς οὐσίας, οὔθ' ἑκάστης τῶν ὑποστάσεων. Ἀλλ' οὐδ' ἐπὶ πάντων, ἐν οἷς τις θεωρεῖται ποικιλία τε καὶ διάκρισις, ἤδη καὶ σιώδεσις παρεισάγεται. Πᾶσα γὰρ οὐσία ἔχει καὶ δύναμιν, καὶ ἐνέργειαν· κἂν ἁπλῆτις ᾖ· καὶ οὐ διὰ τοῦτο σιώδετον ἐρεῖμεν πάντως καὶ τὴν ἁπλιῦν. Ἀνάγκη γὰρ ἢ σιώδελον εἶναι καὶ τὴν ἁπλιῦν, καὶ οὐδεμίαν ἔσαι ἁπλῆ·

ἁπλῆ· ἢ τιὼ ἁπλιῶ εἶναι χωρὶς ἐνεργείας, καί τοι μετ' οἰκείας ἐνεργείας· (ἧς) ἐκ ἂν τί ποτ' εἴη διῃρημένον· ἐδὲ γὰρ ἡ ἀκτὶς διὰ τὸ φωτίζειν διῃρημένον.

Εἰ ἓν ἐπὶ τῶν ἁπλῶν ὄντων τοῦτο πρόδηλον, πολλῷ μᾶλλον χρὴ τὸν αὐτὸν διαιρετὸν καὶ ἀδιαίρετον Θεὸν εἶναι πιστεύειν· ἰώμενον αὖ τῇ διακρίσει, καὶ αὖ τῇ ἑνώσει διακεκριμένον· ἀνενκφοίτητον ἑαυτῷ ἐν ταῖς προόδοις, καὶ ἐν τῇ ἀκινησίᾳ ἀεικινήλον· ἀμερῶς μεριζόμενον, καὶ ὁλοχερῶς μετεχόμενον κατὰ τιὼ προῤῥηθεῖσαν εἰκόνα· Φησὶ δὲ καὶ ὁ Νυσσαέων Γρηγόριος ἐν τοῖς καθ' Εὐνομίε· τὶς ἔξω διανοίας ἐστὶν, ὡς ἀκέσας διὰ πολλῶν ἡμῖν ὀνομάτων τὰς εὐσεβεῖς περὶ Θεοῦ ὑπολήψεις ἀθροίζεσθαι, σιώθετον ἐκ διαφόρων τὸ θεῖον οἴεσθαι; ἢ ἐκ μεταλήψεως τινὸς, ἑαυτῷ σιωαγείρειν τιὼ τελειότητα; Εὔρατό τις, καθ' ὑπόθεσιν, γεωμετρίαν· ὁ δ' αὐτὸς ἕτος, ὑπειλήφθω, καὶ ἀστρονομίας εὑρετὴς εἶναι· ἰατρικῆς τε πάλιν, καὶ γραμματικῆς, καὶ γεηπονίας, καὶ ἄλλων τοιούτων ἐπιτηδευμάτων τινῶν· ἆρ' ἐπειδὴ πολλὰ καὶ διάφορα τὰ νοήματα τῶν ἐπιτηδευμάτων περὶ τιὼ μίαν θεωρεῖται ψυχιὼ, σιώθετος διὰ τοῦτο ἡ ψυχὴ λογιθήσεται; Εἰ τοίνιω ὁ ἀνθρώπινος νοῦς διὰ τοσούτων ὀνομάτων τῶν περὶ αὐτοῦ λεγομένων, ἐδὲν εἰς τιὼ ἁπλότητα βλάπτεται, πῶς ἄντις οἰηθείη τὸν Θεὸν, εἰ σοφὸς, καὶ δίκαιος, καὶ ἀγαθὸς, καὶ ἀΐδιος, καὶ πάντα τὰ θεοπρεπῆ καλοῖτο ὀνόματα, εἰ μὴ μία πᾶσι νομιθείη τοῖς ὀνόμασι σημασία, ἢ πολυμερῆ γίνεσθαι, ἢ ἐκ μετσίας τούτων τὸ τέλειον σιωαγείρειν τῆς φύσεως; „Καὶ ὁ τῆς Ἀλεξάνδρε Κύριλος, εἰ σιώθετον οἴεσθαι, φησὶ, τὸν Θεὸν γίνεσθαι, διὰ τὸ φύσιν ἔχειν, καὶ κρίσιν, ἤτοι θέλησιν· ὁρᾷ τις καὶ τοῦτο· ἔχει τὸ γεννᾶν ὁ Πατὴρ φυσικῶς, ἔχει τὸ κτίζειν δ' Υἱὸς δημιεργικῶς, καὶ ἐ παρὰ τοῦτο σιώθετος ἐστί· μιᾶς γὰρ τὰ τοιαῦτα φύσεως καρποί· ὁ δ' αὐτὸς κρατήσει λόγος ἐπί τε τῷ ἀγαθῷ, καὶ ἀφθάρτῳ, καὶ ἀοράτῳ, καὶ ὅσα πρόσεστι τῇ θείᾳ φύσει· εἰ δ' ὅπερ ἂν ὑπάρχοι μόνῳ τῷ Θεῷ, τοῦτο πάντως αὐτῷ ἔσαι καὶ ἐσία· ἐκ πολλῶν ἡμῖν

ἐσιῶν

ϑσιῶν συγκείσεται. Πολλὰ γὰρ ἐστὶν ἃ μόνῳ μὲν αὐτῷ κατὰ φύσιν ὑπάρχει, ἑτέρῳ δὲ τῶν ὄντων ϑδενί. καὶ γὰρ βασιλεύς, καὶ κύριος, καὶ ἄφθαρτος, καὶ ἀόρατος, καὶ πρὸς τούτοις ἕτερα μυρία περὶ αὐτοῦ λέγουσιν αἱ ϑεῖαι γραφαί. Εἰ τοίνυν ἕκαστον τῶν αὐτῷ προσόντων οὐσίας τάξει κείσεται, πῶς ἓν ἔσται σιώϑετος ὁ ἁπλοῦς; ὅπερ καὶ ἀνοητὸν ἀτοπώτατον· ὥσϑ' ὃ προεῖπον ἀνάγκη, ἢ σιώϑετον εἶναι τινὰ ἁπλῆν οὐσίαν, καὶ ὄντως ϑδεμίαν ἔσαν ἁπλῆ· ἢ τινὰ ἁπλῆν εἶναι χωρὶς ἐνεργείας καὶ δυνάμεως· ὅπερ ψεῦδος ἐστὶν ἀναργῶς· ὅτε γὰρ ἐνέργεια τῆς δυνάμεως χωρὶς, ἐξ ἧς πρόεισιν, ὅτε δύναμις ἄνευ τῆς οὐσίας, ἀλλ' οὐδὲ οὐσία, χωρὶς τῆς ἐνεργεῖν δυναμένης δυνάμεως. Εἰ δὲ ταῦτ' ἀδύνατα· καὶ ἔστι καὶ ἡ ἁπλουστάτη ἁπλῶς οὐσία μετὰ τῆς ἀΐδιος δυνάμεως, ἔχουσα καὶ τινὰ ἐκ τῆς δυνάμεως προϊοῦσαν ἐνέργειαν· καὶ διὰ ταῦτα σιώϑεσις ἐκ ἔστι περὶ αὐτινά· ὅτι περὶ τὸ αὐτὸ καὶ ἐν τῇ οὐσίᾳ, ἄλλο μὲν ἡ δύναμις, ἄλλο δὲ ἡ ἐνέργεια· καὶ ὅτι ἐν καὶ τὸ αὐτὸ πρᾶγμα ἐξ οὐσίας ἐστὶ, καὶ δυνάμεως, καὶ ἐνεργείας, εἰ ὄντως χρὴ φάναι· καὶ ὅτι τῷ λόγῳ διακέκριται τῆς μὲν οὐσίας ἡ δύναμις, τῆς δὲ δυνάμεως ἡ ἐνέργεια· μία γὰρ καὶ ὄντως ἐστὶν ἡ ἁπλῆ οὐσία· πῶς οὖν τις ἐπὶ τῆς ἁπλῆς τοιούτου καὶ ἀσιωϑέτου φύσεως τολμήσοι λέγειν, ὅτι σιώϑεσις ἐκ τῶν φυσικῶν ἐνεργειῶν, ἢ ὑποστατικῶν ἰδιοτήτων εἰσάγεται;

Τί τῆς μονάδος ἁπλούστερον ἐν τοῖς ἀριθμοῖς; ἀλλ' ὅμως ἄλλο μὲν τὸ εἶναι αὐτῇ, ἄλλο δὲ ἡ δύναμις, καὶ ἄλλο ἡ ἐνέργεια· ταυτίζει μὲν γὰρ ἅπαντα, καὶ ἀνυπάλακτα ποιεῖ, σχέσεις δὲ ἀπείρους χεδὸν ὑποδύεται, προσιϑεμένη, καὶ ἀφαιρεμένη, καὶ γεννῶσα τὰ εἴδη πάντων τῶν ἀριθμῶν· καὶ νῦν μὲν γινομένη τὸ ἥμισυ καὶ τὸ ὑποδιπλάσιον, νῦν δὲ τὸ τρίτον καὶ ὑποτριπλάσιον, νῦν δὲ τὸ τέταρτον καὶ τὸ ὑποτετραπλάσιον, καὶ ἄλλοτε ἄλλο, καὶ κατὰ ταυτὸ πάντα, καὶ τοῦτο ἐπ' ἄπειρον· καὶ νῦν μὲν ἀρχημάτιστος νοουμένη νῦν δὲ ἐσχηματισμένη, καὶ ποτὲ μὲν τρίγωνος ποτὲ δὲ τετράγωνος, καὶ ἄλλοτε ἄλλο, καὶ ἅμα πάντα, καὶ τοῦτο ἐπ' ἄπειρον·

καὶ

καὶ νιῶ μὲν ἐπίπεδος νιῶ δὲ σφεὰ, καὶ νιῶ μὲν ἄχετος, νιῶ δὲ χέσιν ἔχεσα, ἢ ταύτιὼ πολυειδῶς, ἢ ποικίλητις φαινομένη διὰ τὰς δυνάμεις καὶ τὰς ἐνεργείας αὐτῆς, ὅμως ἁπλεστάτη ἐστὶ· ἢ ἡ ποικιλία αὕτη τιὼ ἁπλότητα τῆς ἐσίας αὐτῆς ἐ λυμαίνεται· ἐσίας δὲ λέγω τῆς κατ' αὐτιώ· ὁ γὰρ ἑκάστῳ τὸ εἶναι, τοῦτο ἐστὶν ἐσία αὐτῷ. Εἰ ἦν ἐπὶ τῶν καθ' ἡμᾶς, τὰ περὶ ἕκαστον ἁπλῶν θεωρέμενα, διπλόιω καὶ σιώθεσιν ἐδαμῶς παρεισάγει, πολλῶ πλέον ἐδ' ἐπὶ τῆς θείας ἢ ἀκηράτε ἐσίας, ἐκ τῆς ἐνέσης αὐτῇ ἐνεργείας, διπλόη καὶ σιώθεσίς τις παρεισάγεται.

Ἀλλὰ πῶς φησὶ δυνατὸν, καὶ ὅλα ἐν ὅλοις εἶναι, καὶ καθ' αὐτὸ ἕκαστον; πῶς; ὑπὲρ τὸ πῶς. τὸ γὰρ πῶς, ἐν πᾶσι τοῖς θείοις χώραν ὅλως ἐκ ἔχει· ὑπέρκειται γὰρ πάντα τρόπον τῶ πῶς, καὶ διατί, καὶ τῶν τοιώτων ζητήσεων. ἀλλ' ἐδ' ἔοικεν ὅλως ἐν τοῖς τοιώτοις ζητεῖν τὸ πῶς· μαίνοιτο γὰρ ἄντις τοιαῦτα τολμῶν· ὅτι πρᾶγμα ἄῤῥητον, ἢ φύσεως ἴδιον Θεῦ, μόνῳτε αὐτῷ γινωσκόμενον ἀξιοῖ λόγῳ αὐτῷ ἑρμηνεύθηναι· καὶ τῇ ἑαυτῦ φύσει ἢ ἀθανείᾳ συμμετρεῖν τὸν Θεὸν ἢ τιὼ αὐτῦ σοφίαν· μᾶλλον δὲ τῇ ἀνθρωπίνῃ γνώσει καὶ καταλήψει λειπτιὼ εἶναι δοκεῖν τιὼ ὑπέρτατον φύσιν ἢ ἀδιαίρετον. Σῶμα μὲν γὰρ διὰ σώματος διήκειν, ἢ ὅλον δι' ὅλε, ἢ μένειν ὅλον ἐν ὅλῳ, ἀσυγχύτων τε ἢ ἀτρέπτων μενόντων ἀμφοῖν, τῶν ἀμηχάνων ἐστὶν· ἐδὲ γὰρ ἐνδέχεται δύο κατὰ ταυτὸ σώματα ἕνα τόπον χωρεῖν, ἐδὲ τὰ τρεπτιὼ καὶ περιγραπτιὼ λαχόντα φύσιν, μὴ παρ' ἀλλήλων καλά τι διέργεσθαι· Πατὴρ δὲ ἢ Υἱὸς ἢ ἅγιον Πνεῦμα, αὕτη τῶν ὑποστάσεων ἡ τριάς, ἐκ ἔστιν ἔτ' ἐν χρόνῳ, ἔτ' ἐν τόπῳ, ἔτ' ἐν ποσῷ, ἀλλ' ὑπὲρ ταῦτα· ἀσώματος, ἄχρονος, ἄποσος, ἀπερίληπτος. Ὅμως πρός τε παράστασιν τῶν ὀρθοδόξων δογμάτων, ἢ πρὸς διόρθωσιν τῶν τἀναντία τοῖς ἁγίοις φρονέντων, εἰ βληθεῖεν, ὧδε περὶ τῆς ὅλων εἰς ὅλα τῶν θείων προσώπων μεσότητος καὶ ἀκρότητος θεολογητέον.

Ἀλλὰ

Ἀλλὰ τὸν μὲν λόγον ἡμῖν εἰς πολὺ μῆκος ἐκτείνεσθαι ὥρμημένον ὁρῶ· ὑμᾶς δὲ κορεσθέντας ἐκ τῶν ῥηθέντων, καὶ ναρκᾶν ἀρξαμένους πρὸς τὰ ἑξῆς· διὸ τῷ ἀποδείξιν ταύτῃ ταμιευσάμενος εἰς δευτέραν ἀκρόασιν, ἐκεῖνο τῷ ὑμετέραν θεοφιλίαν σπουδὴν παρακαλῶ· ὅτι νοητὸς κόσμος ὁλόκληρος καὶ χωρητικὸς τῆς μακαρίας Τριάδος, ἐστὶν ἡ ἡμετέρα ψυχή· γίνεται δὲ τὸν τρόπον τοῦτον. Τῇ τετρακτύι τῶν ἀρετῶν ὀγδοὰς συνομαρτεῖ φυσικῶντε καὶ γονικῶν ἀρετῶν, μιᾷ τούτων ἑκάστῃ ἐξ ἑκατέρᾳ μέρους δύο ἐπανατελλουσῶν· ὡς καὶ αὐτῷ ἑκάστῳ γίνεσθαι εἰς τριάδα. Τῇ ἓν φρονήσει, γνῶσις ἐπανατέλλει καὶ σοφίας θεωρία· τῇ δικαιοσύνῃ, διάκρισις καὶ εὐσυμπάθητος γνώμη· τῇ ἀνδρείᾳ, ὑπομονὴ, καὶ εὔτασις καθαρά· τῇ σωφροσύνῃ, ἁγνία, καὶ παρθενία. Ταύτης τῆς τριαδικῆς τετράδος, ὥσπερτις κτίσης καὶ δημιουργὸς ὁ Θεὸς ἐν σοφίᾳ ὑπερκάθηται, καὶ ἐν τῷ τοῦ νοὸς θρόνῳ, τὸν λόγον ἐξαποστέλλων, εἰς δημιουργίαν τοῦ κόσμου τῶν ἀρετῶν· ὃς καὶ λαμβάνων ἐκ τῶν ὑποκειμένων ἀρχῶν, τινὶ ἐξ ἑκάστης ὕλης τῶν εἰρημένων, τὸν νοητὸν τῆς εὐσεβείας κόσμον δημιουργεῖ τῇ ψυχῇ, καὶ ὡς μὲν οὐρανὸν, ἢ στοιχειώδες πῦρ, ἐκτείνει αὐτῷ τινὶ φρόνησιν, ὅλῃ κατάστερον εἰς ὁλολαμπῆ ζωήν· ἐν ᾗ ὡς δύο φωστῆρας μεγάλους, τινὶ θείαν γνῶσιν καὶ τινὶ φυσικὴν θεωρίαν, λάμπειν καὶ καταφωτίζειν ταύτῃ ποιεῖ· ὡς δὲ γῆν θεμελιοῖ τινὶ δικαιοσύνῃ αὐτῇ, εἰς παντοδαπὴν ἀδάπανον· ὡς δὲ ἀέρα ἐφαπλοῖ τινὶ σωφροσύνῃ εἰς ἀνάψυξιν καὶ δρόσον τῆς ἀκηρασφυεστάτης ζωῆς· ὡς δὲ θάλασσαν τὴν ἀνδρείαν ὁρίζεται ἐν τῇ ἀσθενείᾳ τῆς φύσεως, εἰς καθαίρεσιν ὀχυρωμάτων καὶ ὑψωμάτων τοῦ ἐναντίου. Τοῦτον ἓν οὕτω τὸν κόσμον ὁ λόγος οἰκοδομῶν, δυνάμιν ἐντίθησιν αὐτῷ τὸ πνεῦμα, εἰς κίνησιν μὲν νοητὴν καὶ ἀεικίνητον, εἰς σωσχὴν δὲ ἀδιασκέδαστόντε καὶ διαρκῆ, καθὰ τὸ εἰρημένον ὑπὸ τοῦ θείου Δαβὶδ, περὶ τοῦ παντὸς κόσμου, τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δυνάμις αὐτῶν.

Ὅτι

Ὅτι πλοίῳ, καὶ οἰκίᾳ, καὶ δικαστηρίῳ, καὶ πόλει, καὶ φυτῷ, καὶ γῇ, καὶ ἐρανῷ, μαθήμασιν ὅλοις, παντὶ κτίσματι, καὶ Θεῷ, ὁ ἄνθρωπος ὅμοιος ἐστὶ, τοῖς μὲν κατὰ τὶ τὸ πλάσιν τὶ τὸ ὁρωμένῳ, τοῖς δὲ κατὰ τὶ τὸ κίνησιν τὶ τὸ νοερμένῳ. Ὀφείλει τοίνυν, ὡς μὲν πλοῖον, τὰ κύματα τῆ θαλατ[illegible]ώδες βίᾳ τέγων καὶ ἀποκρεόμενος, ὅθὺ πρὸς ἀκύμαντον καὶ σωτήριον ὅρμον διαπερᾶν, τῇ πανθενεῖ χειρὶ ἰθυνόμενος· ὡς δὲ οἰκίαν τὸν ἔνοικον, τό γε εἰς αὐτὸν ἦκον, καὶ περιθάλπειν καὶ ἀναπαύειν (ἵν' ἔτως εἴπω) Θεόν· ὡς δὲ δικαστήριον, ἐν τέτῳ μάλιστα καὶ τηρεῖσθαι δι' ὅλε, καὶ ἐκεῖ διοικεῖσθαι τὸ δίκαιον· ὡς δὲ πόλις, ἀνάλωτος εἶναι ταῖς ἐφόδοις τῶν ἀντιθέων ἐχθρῶν· ὡς δὲ φυτὸν, καρπὸς προσάγειν τῷ φυτεργήσαντι ἀρετάς· ὡς μέντοιγε γῇ, καλὰ διὰ πασῶν τῶν αἰσθήσεων βλαστήματα ἐκφύειν ἀεί· ὡς δὲ ἐρανός, φωτίζειν τὲς πάντας τοῖς καλοῖς ἔργοις ὡς ἄστρασιν· ὡς δὲ μαθήματα πάντα, διὰ πάντων ἅπαντας εἰς ἀγαθὰ ποδηγεῖν· ὡς δέγε παντὶ κτίσματι κατάτι παρόμοιος, διάτε σώματος καὶ πνεύματος ὄφραίνειν τὸν κτίσαντα, καὶ πρὸς τὰ λοιπὰ τῶν κτισμάτων ἀποσκοπῶν· ὄφραίνεται γὰρ Κύριος ἐπὶ τοῖς ἔργοις αὐτῆ· ὡς δὲ Θεὸς χάριτι πρὸς τὸ πρωτότυπον, ὅσον οἷόντε ἀφορᾶν, μιμέμενος τέτο, καὶ ὁμοιέμενος ταῖς θεεργικαῖς πράξεσιν· ἔτω γὰρ μέγας κόσμος, ἐν μικρῷ τῷδε κόσμῳ ἔτος φανήσεται· καὶ εἰκὼν Θεῆ ἔσῃ· καὶ τὶ τὸ κλῆσιν ἕξει τοῖς ἔργοις ἀκόλεθον.

Ὅτι δὲ τέτοις πᾶσιν ἔοικεν ἄνθρωπος, ἔξεσι παντὶ σωιδεῖν ἐπισήμονι, ὅτι ὁ τῆ ὄσεβῆς νεὸς, εἰ καθάροιτο, θρόνος ἐστὶ τῆ Θεῆ. καὶ τὸ σόμα αὐτῆ τράπεζα τῆ Χριτῆ· καὶ ἡ καρδία αὐτῆ ναὸς τῆ ἁγίε Πνεύματος. οἱ ἀγαθοὶ δὲ λογισμοὶ οἱ δορυφόροι, αἱ δὲ προσφοραὶ αὐτῆ ἡ ἀνάγνωσις, ἡ ψαλμωδία, καὶ ἡ ὄχή· ἡ δὲ ψυχὴ ὁ νεοκόρος, καὶ τὸ σῶμα δῆλος, τὰ ἀσθητήρια αἱ θυρίδες τῆ ναῆ, ἡ δὲ διάνοια πύλη, ἡ δὲ σωείδησις ὁ θυρωρός. Ἐὰν ἓν ὁ χρισιανὸς ἐν τῷ

καιρῷ τῆς αὐτῆ ἐργασίας καθ' ὃν δεῖ ἑτοιμαθῆναι πρὸς ἔξοδον, ἐάσῃ τὸν νεὸν αὐτῆ ἔξω ἐμβεθῆναι, καὶ ἡ γλῶσσα αὐτῆ λαλῇ τὰ μὴ δέοντα, καὶ ἐν τῷ ναῷ τῆ Θεῆ τὰς ἐχθρὰς τῆ Θεῆ ἀποδέξηται, καὶ οἱ δορυφόροι εἰσιόντας αὐτὰς ἐ κωλύωσι, καὶ κακῶς αἱ προσφοραὶ διαμεριθῶσι, καὶ τὰς θύρας καὶ θυρίδας τῆ ναῆ ἀνοίξας ὁ θυρωρὸς, ἑρπετὰ καὶ θηρία εἰσδέξηται, καὶ ὁ νεωκόρος νυσάξῃ, καὶ ὁ δῆλος καθάδῃ, καὶ οἱ ἐχθροὶ τῆ Θεῆ εἰσέρχωνται καὶ ἐξέρχωνται ἀκωλύτως μετὰ θορύβε καὶ ταραχῆς, καὶ ποιήσωσι τὸν οἶκον τῆ Θεῆ ὀζοθήκιν, πῶς ὁ τοιῆτος ἐ κολασθήσεται ἐν τῷ νῦν αἰῶνι καὶ ὐ τῷ μέλλοντι;

Χρὴ ἕν παντὶ τῷ σωθῆναι σπεδάζοντι, πᾶσαν ἡμέραν καὶ ὥραν ἐγκύπλειν εἰς τὶν ἑαυτῆ ψυχὶν, καὶ ἐρευνᾶν, καὶ ἀνακρίνειν, καὶ μαστιγᾶν, καὶ ἐξολοθρεύειν ἐκ τῆ θείε ναῆ τὰς αἰχρὰς καὶ φαύλας λογισμὰς, οἵτινες εἰσὶν οἱ ἐχθροὶ, καθὰ δὴ καὶ ψάλλομεν
» ὁσημέραι· εἰς τὰς πρωΐας ἀπέκλεινον πάντας τὰς ἁμαρ-
» τωλὰς τῆς γῆς, τῆ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίε πάν-
» τας τὰς ἐργαζομένας τὶν ἀνομίαν. Καὶ καθάπερ ἀπὸ μὲν τῶν ὀφθαλμῶν λήμιν, ἐκ δὲ τῶν ὤτων κυψελίδα, ἀπὸ δὲ τῶν ῥινῶν κόρυζαν, σίελον δ' ἐκ τῆ σόματος, καὶ ἀπὸ τῆ ὅλε σώματος πάντα ῥύπον ἀποκαθαίρομεν, ἵνα μὴ ἐβδελυγμένοι γενώμεθα, ἕτω φυγαδθτέον πάσῃ μηχανῇ καὶ περικοπτέον, ἀπὸ μὲν τῆ νοὸς ἀγνωσίαν καὶ ἀμάθειαν, ἐκ δὲ τῆς διανοίας κακίαν καὶ πονηρίαν, ἀπὸ δὲ δόξης ψδοδοξίαν καὶ ἑτεροδοξίαν, ἀπάτιν δ' ἐκ τῆς φαντασίας καὶ ἀνάπλασμα μάταιον, καὶ ἀπὸ τῆς αἰθήσεως πόῤῥωσιν, καὶ ἀναλγησίαν τὶν ἄλογον.

Ὅτι τῆς λογικῆς ψυχῆς ἴδια ταῦτα· ἑαυτὶν ὁρᾶν, ἑαυτὶν διαῤῥεῖν, ἑαυτὶν ὁποίαν ἂν βέλῃται ποιεῖν, τὸν καρπὸν ὃν φέρει αὐτὴ καρπᾶσθαι, τῆ ἰδίε τέλες τυγχάνειν, ὅπε ἂν τὸ τῆ βίε πέρας ἐπιζῇ περιέρχεσθαι τὸν κόσμον, καὶ τὸ περὶ αὐτὸν κενὸν, καὶ εἰς τὶν ἀπειρίαν τῆ αἰῶνος ἐκτείνεσθαι, καὶ περιοδικὶν παλιγγενεσίαν τῶν ὅλων

ὅλων ἐμπεριλαμβάνειν, καὶ τὸ φιλεῖν τὸν πλησίον, καὶ τὸ μηδὲν ἑαυτῆς προτιμᾶν. Εἰ δὲ ταῦθ' οὕτως ἔχει, λοιπὸν οἷα ποιητὴς ἀγάλματος, ὃ δεῖ καλὸν γενέσθαι, τὸ μὲν ἀφαιρεῖ, τὸ δὲ ἀπέξεσε, τὸ δὲ λεῖον, τὸ δὲ καθαρὸν ἐποίησεν, ἕως ἔδειξε καλὸν ἐπὶ τῷ ἀγάλματι πρόσωπον. οὕτω καὶ σὺ ἀφαίρει ὅσα περιττὰ, καὶ ἀπεύθυνε ὅσα σκολιὰ, ὅσα σκοτεινὰ ἐργάζου εἶναι λαμπρὰ, καὶ μὴ παύσῃ καλλύνων τὸ σὸν ἄγαλμα, ἕως ἂν ἐκλάμψῃ σοι τῆς ἀρετῆς ἡ θεοειδὴς ἀγλαΐα· ἐξουσίαν γὰρ καὶ δύναμιν ἔχεις πρὸς Θεοῦ, τοῦ διαπλάσαι σαυτὸν, καὶ μορφῶσαι, καὶ κάλλεσιν ὡραΐσαι παντοίοις, ἕως μένεις ἐν τῇ παρούσῃ ζωῇ. Παντὶ τοίνυν τρόπῳ πειρῶ αὐτὸ τὸ ἐν σοὶ θεῖον ἀνάγειν πρὸς τὸ ἐν τῷ παντὶ θεῖον· οὕτω γὰρ καλόν ἐστιν ἄνθρωπος ποίημα, ὅσον δύναται καλὸν εἶναι· πόσον δὲ δύναται καλὸν εἶναι, πράγμασί τε καὶ λόγοις ὁ κύκλος μαρτυρεῖ τῶν ἁγίων. Καί γε ἡ σὴ ψυχὴ, πηγή ἐστιν· ἐὰν ὀρύξῃς αὐτὴν καθαίρεται· καὶ ἐὰν προσχώσῃς αὐτὴν ἀφανίζεται· συνείδησις καθαρὰ διεγείρει αὐτὴν, καὶ λογισμὸς ῥυπαρὸς καταχώννυσιν αὐτήν· ὑπεράνω διὰ τῆς σαρκὸς μὴ γιγνόμενος, τὴν ψυχὴν θάψεις ἐν τῇ σαρκί. Ὅτι ἡ ψυχὴ ταμεῖον ἐστὶν, ἀγαθοῦ μὲν ἀγαθὸν, κακοῦ δὲ κακόν. ψυχὴ καθαρὰ μετὰ Θεὸν, Θεὸς, καὶ ψυχῆς καθαρᾶς οἰκειότερον ὁ Θεὸς ἐπὶ τῆς γῆς οὐκ ἔχει· Θεοῦ δὲ ἄξιος ἄνθρωπος, Θεὸς ἂν εἴη ἐν ἀνθρώποις. Διά τοι τοῦτο, ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ἀθανάτου ταύτης ἀθάνατον μνήμην καταλιπεῖν· διὰ γὰρ τὴν τῆς φύσεως ἀσθένειαν, ὡς ὁρᾷς, ἅπαντες ἄνθρωποι πολλοστημόριόν τι τοῦ αἰῶνος βιοῦμεν, τελευτῶμεν δὲ πάντες τὸν ἑξῆς χρόνον· καὶ τοῖς μὲν ἡμῶν ἐν τῷ ζῆν μηδὲν ἀξιόλογον πράξασι, ταῖς τῶν σωμάτων ἅμα τελευταῖς καὶ τἄλλα πάντα συντελευτᾷ τὰ κατὰ τὸν βίον, τοῖς δὲ κτησαμένοις δόξαν δι' ἀρετῆς, καὶ αἱ πράξεις καὶ τὰ ὀνόματα ἅπαντα μνημονεύονται τὸν αἰῶνα· καλὸν δὲ τοῖς εὖ φρονοῦσι, ῥεόντων πόνων ἀλλάξασθαι τὴν ἄῤῥευστον εὐφημίαν. Καθαίρωμεν τοίνυν ἕκαστος τὴν ἰδίαν ψυ-

χὴν ὁσημέραι, καὶ ἀξίαν ταύτην ὑποδοχῆς τοῦ Θεοῦ ἀποφαίνωμεν ὅσαι ὧραι· καὶ μάλιστα νῦν, ὅτε καὶ τὰς ἁγίας τῶν νηστειῶν ἡμέρας πρὸς κάθαρσιν ἔχομεν συνεργούς· ὡσὰν οὕτω πολιτευόμενοι, ἐνταῦθα μὲν τοῦ παρερχομένου, ἐκεῖ δὲ τοῦ ἀπεράντου τύχοιμεν πάσχα, καὶ τῆς ἀϊδίου μακαριότητος, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἀγαθότητι τῆς πανταιτίου Τριάδος. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

ΛΟΓΟΣ Β.

ΠΕΡΙ ΤΗΣ ΥΠΕΡΟΥΣΙΟΥ ΤΡΙΑΔΟΣ.

Ἐν τῷ αὐτῷ παλατίῳ, καὶ τῷ αὐτῷ ῥηθεὶς τόπῳ, συνελθόντων καὶ τῶν ἐκ τοῦ Γαλάτου προκρίτων, εἰς τὴν τούτου ἀκρόασιν.

Θεὸς ἐμοὶ δόξα καὶ πλοῦτος καὶ καύχημα· Θεὸς τὸ γλυκύτατον καὶ ἥδιστον ὑπὲρ πᾶν πρᾶγμα, πρᾶγμα. Θεὸς τὸ μελέτημα καὶ ἐντρύφημα τοῖς σωζομένοις χριστιανοῖς· Θεοῦ πνοὴ ἡ ψυχήμου· Θεοῦ πλάσμα τὸ σῶμά μου· Θεοῦ εἰμὶ ὅλος εἰκών· Θεοῦ θεία χάριτι γένος. Θεόθεν μοι τὸ εἶναι, τὸ κινεῖσθαι· θεόθεν τὸ ἀναπνεῖν, θεόθεν τὸ φθέγγεσθαι· Θεῷ καθ' ἑκάστην τὸ πνεῦμα μου παρατίθημι· Θεῷ τὰς εὐχάς μου ὅσαι ὧραι προσάγω· Θεῷ καὶ ζῶ, καὶ δουλεύω, καὶ πάρειμι· Θεὸν τὸν μέγαν καὶ ἰσχυρὸν καὶ ζῶντα, πάροχον καὶ συλλήπτορα, καὶ τελεστὴν τῶν καλλῶν εὐμοιρῶ· Θεὸν ἐπόπτην, ὧν καὶ νοῶ καὶ λέγω καὶ πράττω, πλουτῶ. Θεὸν κριτὴν φοβερὸν τῶν ἐν ἐμοὶ πεπραγμένων ἐκδέχομαι· καὶ πῶς

πῶς λοιπὸν ἄλλοθεν ἄρξομαι τῦ νῦν λόγυ, ἀλλ' ἢ ἐκ Θεῦ; τοῖς μὲν γὰρ φυσικοῖς ἐκ τῶν καθόλυ εἰκότως, διὰ τὸ γνώριμον ἐπὶ τὰ καθ' ἕκαστα ἡ ὁδός· καὶ τοῖς ἐπιστήμοσιν ὁ λόγος ἐκ τῶν τεχνικῶν δυνάμεων ἐπὶ τὰς ἐπιστήμας ἡ ἄνοδος. Ἐμοὶ δὲ ταύτας παρωσαμένῳ τὰς μεθόδυς μακρὰν, ἐκ ἀπὸ τῆς κτίσεως ἐπὶ τὸν κτίσαντα ὁ λόγος, καὶ πάλιν ἐπὶ τὸν κτίσαντα χωρεῖ· ἀλλ' ἐκ τῦ ποιητῦ ἐπὶ τὰ ποιήματα, καὶ αὖθις ἐπὶ τὸν ποιητήν. Ποιῶ δὲ τῦτο σὺν λόγῳ, καὶ ἐχ ὡς ἄντις εἴποι, ἢ νομίσειεν, ἁπλῶς καὶ ὡς ἔτυχεν· ἀλλ' ἐπεὶ ἡ τῆς τῶν ὀρθοδόξων ἐκκλησίας ἀκολυθία, καὶ κατὰ Θεὸν ἀτελέχεια, πρὸ τετρακοσίων ἤδη καὶ χιλίων ἐτῶν ἀρξαμένη, καὶ μέχρις αἰῶνος ἐκτεινομένη, ἁδὺ ὁτιῦν ἐπιτελεῖ, ὃ μὴ ἀρχόμενον ἐκ Θεῦ, περὶ αὐτῦ διέξεισι καὶ εἰς αὐτὸν τελυτᾷ, καμὲ περὶ Θεῦ λέγειν ἐπιχειρῦντα, ἕτω τὲς λόγυς ποιεῖσθαι παιδαγωγεῖ.

Ὁ τοίνυν τῆς γεννησαμένης με ταύτης καὶ θρεψαμένης, ἡ ἀκόλυθος τάξις τηρεῖ ἀπαράτρεπτον, τῦτο δεῖν ὥμιλο τηρεῖν καὶ αὐτὸς, καὶ μὴ τοῖς ὅλοις ἀτριβῆ καὶ ξένιλο τέμνειν ὁδόν· διάτοι τῦτο, ἄγω πάλιν ἐκεῖσε τὸν λόγον ὅπε πρότερον τῦτον ἀνεπαυσάμιλυ. Εἶχε δὲ τότε τὸ κόμμα, κατὰ λέξιν ὡδί. ὁμῶς πρός τε παράσασιν τῶν ὀρθοδόξων δογμάτων, καὶ πρὸς διόρθωσιν τῶν ταναντία τοῖς ἁγίοις φρονέντων, εἰ βληθεῖεν, ὧδε περὶ τῆς ὅλων εἰς ὅλα τῶν θείων προσώπων μεσότητος, καὶ ἀκρότητος θεολογητέον. ἕτω μὲν εἶχε πρὸς ὑμᾶς τῆς ἐμῆς ὑποχέσεως τὰ ῥητά. νῦν δ' ἐκπληρῶσαι ταύτιλο ἥκομεν ἤδη. Καί μοι τῦ τρόπε τῆς δείξεως ἐγκαλείτω μηδεὶς, ὅτι δακτύλοις τρισὶ πειρῶμαι δεικνῦναι τὸ τρισυπόστατον τῆς θεότητος. ἔτινι γὰρ τῦτο ἀνάξιον εἶναι δοκοίη τῆς θείας μεγαλειότητος, ἔτος δοκεῖ μοι καὶ τῦ Θ καὶ Σ καὶ τῆς ἐπάνω τέτων κειμένης μακρᾶς κατηγορῆσαι μακρά, ὅτι τὸ ΘΣ ὄνομα δηλῶσι τοῖς συλλαβίζειν εἰδόσιν ἑλλιωικῶς· τῆς τε γλώτλης, τῶν ὀδόντων, καὶ τῶν χειλέων, ὅτι ὅλως ἐκφωνεῖν τολμῶσι τὸν

ἀνεκφώνητον. καὶ τοῖς ζωγράφοις νεμεσᾶν, ὅτι μὴ τὸν σαρκωθέντα μόνον Υἱὸν, ἀλλὰ καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα διαμορφῶσι τοῖς χρώμασι· πρὸς δὲ καὶ τὰς ἁγίας μάρτυρας μέμφεσθαι, ὅτι τοῖς ἑαυτῶν δακτύλοις τὸν ἀχημάτιστον τοῖς τυράννοις ἐδείκνυον· ἀλλ' οὐκ ἔστι βλάσφημα ταῦτα, ἀλλ' ἀνάξια τῆ Θεῆ· ἄπαγε· ὅτι τὰς προσέχοντας μόνας προσάγει τῶν λεγομένων εἰς ἔννοιαν, καὶ εἰς αὐτὰς ἀφορᾷ τῶν χηματισμῶν ἡ ὠφέλεια, ἐχὶ τὸν ὕψιστον καταίγει πρός τι μικροπρεπὲς, καὶ τούτοις πολυμερῶς λυσιτελῶν, τῆ ἀπροσπελάστω καὶ ἀπροσίτω ἀλλ' ὁπωσοῦν ἅπτεται. Ἀνάγκη δὲ τῷ πρός τινας λόγων ἁπλουμένῳ ὑψηλοτέρων καὶ ἀσυνηθεστέρων τὴν χεῖρα τῷ σώματι συνδιακινεῖν, καὶ τῆ γλώττῃ τὴν ταύτης ἔπεσθαι κίνησιν, καὶ δείκνυσθαι δι' ἀμφοτέρων, τήν γε τῆ λόγω δυώαμιν· μᾶλλον δὲ δι' ἀμφοῖν μαρτυρεῖσθαι τὴν τῶν λεγομένων ἀλήθειαν, καὶ διπλῆ τὰς θεοσεβεῖς χήματί τε καὶ λόγω, εἰ δὲ βέλει δι' ἀκοῆς καὶ ὁράσεως εἰς τὴν τῶν λεγομένων εἰσάγειν γνῶσιν. Ἀλλ' ἴωμεν ἐγγυτέρω τῶν παρ' ἡμῶν καὶ λελεγμένων καὶ πισθομένων λοιπόν· πλὴν μέμνησθε, ὅτι ἀρχόμενοι ἐξ ὀλιγωνῶν, διὰ τὸ τῶν ἀκουόντων ἀσυνήθες, εἰς ἐκεῖνα μετ' ὀλίγον προαχθησόμεθα ὑπὸ τῆς τῶ λόγω Φορᾶς, ὧν ἀδὺ χεδὸν ὑπέρκειται νόημα· καὶ προσέχετε.

Ἴδε νῦν εἰς ὑπόδειγμα τῶ προκειμένω, δείκνυμι τοῖς πρόσμε ὁρῶσιν ὑμῖν Διαβήτλιν Φυσικὸν τὰς ἐμὰς τέτας δύο δακτύλας· τὸν μέσον τῆς ἐμῆς δεξιᾶς καὶ τὸν λιχανόν· τὸν μὲν, τὸ κέντρον τῶ κύκλω τηρέντα, τὸν μέσον, τὸν δὲ, τὴν περιφέρειαν ποιοῦντα, τὸν λιχανόν. αὗται μέντοι αἱ ῥάγες τῶν τριῶν μω δακτύλων τῆς δωνύμω χειρὸς κύκλων ἔσχασαν κέντρα τριῶν, ἅτως ἐπίσης ἐχομένων ἀλλήλων, ὥστε ἑνὸς ἑκάστω τὸ κέντρον ἐν τῆ τῆς περιφερείας τῶν λοιπῶν εἶναι συμπλώσει, καὶ αὖ ἑκάστω τὴν περιφέρειαν, ἐν τοῖς κέντροις τῶν δύο ὁρίσκεσθαι. Καὶ τέτων ἅτως ἐχόντων, κέντρῳ μὲν τῷ ἄκρῳ τῶ μέσω δακτύλω, διαστήματι δὲ τῷ τῶ λιχανοῦ, κύκλος ἄυλος

ὧδε

ὧδε γεγράφθω εἰς τύπον τῶ ἐν τῇ τριάδι θεωρεμένῳ Πατρὸς· καὶ πάλιν κέντρῳ μὲν, τῷ ἄκρῳ τῶ λιχανῶ, περιφερείᾳ δὲ τῷ τῶ παραμέσου, ἕτερος κύκλος νοείσθω, εἰς εἰκόνα τῶ ἐν τῇ θεότητι πιστευομένῳ Υἱῶ· καὶ ἔτι κέντρῳ μὲν, τῷ ἄκρῳ τῶ παραμέσου, διαστήματι δὲ τῷ τῶ μέσου, κύκλος ἄλλος τυπέσθω εἰς παράδειγμα τῶ ἐν τῇ ὑπερθέῳ τριάδι θεωρεμένῳ Πνεύματος. τέτους δὲ τοὺς ὧδε δακτύλοις χηματισθέντας διὰ τὸ ἀστιώπλον κύκλους, νομίσατε βλέπειν, ἐν ὑψηλῷ τῶ ἀέρος μεγέθει μεγίστους καὶ μεμορφωμένους καλῶς τρισὶ χρώμασιν, οἵοις φαινομένοις ποτάκις ὁρῶμεν τὶ ἶριν, τὸ εὔκυκλον τῶν νεφελῶν λέγω τόξον, κατ' ἔμφασιν ζωγραφέμενον· εἶτα τῇ τῶ νῷ ἐξουσίᾳ μεταποήσατε τέτους εἰς σφαίρας ὑπερμεγέθεις· καὶ σφαίρας ἐ τὰς τυχούσας, ἀλλ' ἐκ σώματος ὑφεστώσας ἡλιακῶ· καὶ ἀναβιβάσαντες ἄνω, πήξατε ταύτας εἰς τὸ στερέωμα· πλὴν ὅτω πρὸς ἀλλήλας ἐχούσας, ὃν τρόπον ἔχον πρὸς ἀλλήλους ὧδε οἱ κύκλοι.

Ὡς ἂν δὲ καὶ ἐγγύτερον τῶ σκοπῶ, καὶ θεοπρεπέστερον ἡμῖν τὸ παράδειγμα γένηται, αὐτὸς μὲν τέτε τῶ κόσμε, νοείσθω τὰ τῶν σφαιρῶν τέτων κέντρα, αἱ περιφέρειαι μέντοι πᾶσαι καὶ τὰ ὑπερκόσμια πάντα περιεχέτωσαν, καὶ ὅτω θεωρείσθωσαν ἥλιοι τρεῖς, τῷ μεγέθει ἀπεριόριστοι, σὺν φωτὶ καὶ τρισὶν ἀπαστράπτοντες· τῷ κάλλει, τῇ φωδρότητι, τῇ δυνάμει, καὶ πᾶσι πλὴν τῆς ἑκάστε ἰδιότητος ἴσοι, ὅλοι ἐν ὅλοις, καὶ ἐν ἑκάστῳ ἕκαστος, καὶ ἐν αὐτῷ καὶ ἐν τοῖς λοιποῖς, καὶ μέσοι ὄντες οἱ αὐτοὶ ἅμα καὶ ὑπέρμεσοι, καὶ ἄκροι πάλιν καὶ ὑπεράκροι πάντες ἀλλήλων, καὶ ἰδίᾳ καθ' αὐτὸν θεωρέμενοι ἕκαστος καὶ ἐν πᾶσιν· ὁ προφήτης Ἰεζεκιὴλ τὸν Θεὸν ἰδὼν, ὡς αὐτῷ δυνατὸν, ἔφη· „αὕτη ἡ ὅρασις „ὁμοιώματος δόξης Κυρίε. καγὼ ἐν Κυρίῳ καυχώμενος „λέγω, αὕτη ἡ εἰκὼν ἁρμοδία πρὸς δεῖξιν τῆς τρισηλίε θεότητος, καθ' ὅσον ἡμῖν ἐφικτὸν, καὶ τῆς τῶν ἐκεῖ προσώπων πρὸς ἄλληλα ἐπίσης μεσότητος καὶ ἀκρότητος· ὑμεῖς δὲ λαβόντες ἐκ τῶ παραδείγματος ὅσον χρήσιμον,

ἀπολείπετε τὸ λοιπόν· τὸ μὲν γὰρ σχῆμα, καὶ τὸ διάστημα, καὶ τὴν τοπικὴν ἐάσατε κίνησιν τοῖς ἐσχηματισμένοις καὶ ἐμπεριγράπτως κινουμένοις ἐν τοπικῷ διαστήματι.

Ὅτι δὲ ὁποῖον ἂν λάβητε τῶν κύκλων μέσον, οἱ λοιποὶ ἄκροι νοοῦνται τοῦ ληφθέντος αὐτίκα, καὶ ὅτι ἕκαστος αὐτῶν καὶ ἄκρος καὶ μέσος νοεῖσθαι δύναται, καὶ ὅτι ὁποῖον ἂν νοήσητε μέσον τῶν λοιπῶν, ἑκάτερον φανταζόμενοι οὐδὲ θατέρου ἀφεστήκατε, ταῦτά μοι σύμβολα τίθεσθε τῆς ἐν τῇ τριάδι μεσότητος καὶ ἀκρότητος· ἕκαστον γὰρ τῶν τριῶν προσώπων τῆς θεότητος μέσον λαμβάνοντες, τὰ λοιπὰ ἄκρα εὑρήσετε· καὶ ἕκαστον οὕτω καὶ μέσον καὶ ἄκρον ἐστί· κἂν ὡς ἄκρα νοῆται, ἀλλήλων οὐκ ἀφεστήκασι· κἂν ἓν φανταθῆτε, ἐκεῖνα σὺν τούτῳ ὑμᾶς περιέλαμψεν. Ὅτι δ' ἀληθεύω ἐν τούτοις καὶ πάνυ, πάρεισιν οἱ διδάσκαλοι μάρτυρες· τούτων γὰρ, ὁ μὲν τῇ ὁμολογίᾳ μέγιστος Μάξιμος τὸν λόγον ἡμῖν συνίστησιν οὕτω λέγων ἔντινι θεωρήματι, ἐκ τριῶν κύκλων ἴσων ἀλλήλοις, καὶ ἀλλήλων ἁπτομένων ἐπίσης συνισταμένῳ· ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ Υἱὸς καὶ λόγος.
„ ἐκ δεξιῶν τοῦ Υἱοῦ καὶ λόγου, τὸ Πνεῦμα τὸ ἅγιον, τὸ
„ καὶ πρόβλημα· ἐκ δεξιῶν τοῦ ἁγίου Πνεύματος, τοῦ καὶ
„ προβλήματος, ὁ Θεὸς καὶ Πατὴρ· καὶ ἀντιστρόφως· ἐξ
„ εὐωνύμων τοῦ Θεοῦ καὶ Πατρὸς, τὸ Πνεῦμα τὸ ἅγιον, τὸ
„ καὶ πρόβλημα· ἐξ ἀριστερῶν τοῦ ἁγίου Πνεύματος, τοῦ
„ καὶ προβλήματος, ὁ Υἱὸς καὶ λόγος· ἐξ ἀριστερῶν τοῦ
„ Θεοῦ καὶ λόγου, ὁ Θεὸς καὶ Πατήρ. Καὶ πάλιν ὁ αὐ-
„ τός· ἐκ τοῦ Πατρὸς γὰρ διὰ τοῦ Υἱοῦ τῷ νῷ διερχόμενος,
„ ἵσταμαι ἐπὶ τὸ Πνεῦμα· καὶ ἐκ τοῦ Πατρὸς διὰ τοῦ Πνεύ-
„ ματος καταντῶ ἐπὶ τὸν Υἱόν· καὶ ἐκ τοῦ Υἱοῦ ἐπὶ τὸν
„ Πατέρα διὰ τοῦ Πνεύματος· καὶ ἐκ τοῦ Υἱοῦ ἐπὶ τὸ Πνεῦ-
„ μα διὰ τοῦ Πατρός· καὶ ἐκ τοῦ Πνεύματος διὰ τοῦ Πα-
„ τρὸς ἐπὶ τὸν Υἱόν· καὶ ἐκ τοῦ Πνεύματος διὰ τοῦ Υἱοῦ
„ ἐπὶ τὸν Πατέρα. ὁρᾷς χορείαν ξένην τὴν οὐδέποτε εἶδες;
(Ὅρα ἐν τῷ τέλει τῆς Βίβλου Σχ. Α'.) Καὶ ταῦτα μὲν ὁ μέγιστος Μάξιμος.

Ἀθανά-

Ἀθανάσιος δὲ ὁ πολύτλας, ἔν τε τῷ πρώτῳ καὶ δευτέρῳ βιβλίῳ τῶν αὐτοῦ θεολογικῶν, ἔτω φησί, „ τῶν τριῶν καθισάντων ἐπὶ τοῦ Ἀβραάμ· δηλονότι, τοῦ μὲν Υἱοῦ ἐκ δεξιῶν, τοῦ δὲ Πατρὸς ἐξ ἀριστερῶν, ἐκάθισε τὸ Πνεῦμα τὸ ἅγιον. αὕτη αὐτῷ ἡ ἀφωρισμένη δίαιτα. ὅ, τε θεολόγος Γρηγόριος ἐν τοῖς περὶ τοῦ ἁγίου Πνεύματος. „ ἀμέριστος ἐν μεμερισμένοις, εἰ δεῖ σωτόμως εἰπεῖν, ἡ θεότης· καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ φωτὸς σύγκρασις. Καὶ ὁ Νύσσης Γρηγόριος ἐν τοῖς πρὸς Εὐνόμιον περὶ Υἱοῦ καὶ Πνεύματος ἀπολογούμενος, ὅπως ἔχει πρὸς τὸν Πατέρα φησίν. „ ἐχὶ ἀκλινα ἐξ ἡλίου νοήσομεν τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον, ὁμοῦ τῇ προτέρᾳ ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα· καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα, κάλλει, δυνάμει, λαμπηδόνι, φαιδρότητι, καὶ πᾶσιν ἁπλῶς τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις· καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ἕτερον τοιοῦτον φῶς κατὰ τὸν αὐτὸν τρόπον νοοῦμεν. ἔτω μὲν ἔν οἱ ἅγιοι.

Οὐδὲν δὲ κωλύει, καὶ θεοπρεπεστέρας ἐννοίας καὶ ἀναβάσεις ἐντεῦθεν περὶ Θεοῦ ἐκλαβεῖν· ἐ γὰρ ὡς χρόνου δηλωτικὰ, ἢ φύσεως διαιρετικὰ, ἢ τοπικῆς θέσεως παραστατικὰ, ἢ ποσότητος ἀποδεικτικὰ, ἢ ποιότητος σημαντικὰ, ἢ διαχήματος ἀφοριστικὰ, ἢ χήματος ἐκφαντικὰ τὰ τοιαῦτα· ἀλλὰ πάντα θεοπρεπῶς, καὶ καθ' ὅσον ἁρμόζει τὰ μάλιστα τῇ σεβασμίᾳ Τριάδι, λητέον· ἥλιοι γὰρ, καὶ σφαῖραι, καὶ κύκλοι, καὶ κέντρα, καὶ περιφέρειαι, καὶ διαχήματα, καὶ ὅσα τοιαῦτα, σώματά ἐστιν, ἢ σωμάτων ὀνόματα· ὁ δὲ Θεὸς πάντῃ ἄϋλός τε καὶ ἀδιάστατος καὶ ἀκατονόμαστος· καὶ προσέτι ψυχῶν καὶ ἀγγέλων καὶ παντὸς ἀϋλου ἀσυγκρίτως, λεπτομερέστατός τε, καὶ ἀϋλότατος· ὅτι ψυχαὶ μὲν, καὶ ἄγγελοι, καὶ πᾶν ἄϋλον, ὁποῖον ἂν εἴη, καὶ ὅπου ἂν νοῆται, ἢ θεωρῆται, ἢ γίγνηται, ἐκεῖ πάντως καὶ μένει, καὶ περιγράφεται, καὶ σωίζεται· καὶ τὸ διὰ πάντων ἥκειν, ἢ εἶναι ἐν πᾶσιν ἀδυνατεῖ. ὁ μέντοι Θεὸς, ἔτε

χρόνῳ, οὔτε τόπῳ, οὔτε σώματι, οὔτέ τινι κτίσματι ὑλικῷ ἢ ἀΰλῳ, ὡσαύτως μείζονι καὶ ἐλάττονι ποσῶς εἴργεσθαι δυύαται, τοῦ χωρεῖν διὰ πάντων, καὶ ἐν πᾶσιν εὑρίσκεσθαι, καὶ πάντων ἀπειροπλασίως ὑπεραπλοῦσθαί τε καὶ ὑπερεκτείνεσθαι. Καὶ καθάπερ ὁ παντὸς πάθους κεκαθαρμένος, καὶ πεφωτισμένος ἁγίῳ Πνεύματι νοῦς, διὰ πάντων, ὅσων ἂν ἐξισχύῃ κτισμάτων ἀπαθῶς τε καὶ ἀκαμάτως διήκει, καὶ καθ' αὑτὸν μὲν καὶ ἀκαριαίῳ καιροῦ διαστήματι, φθάνει μέχρι περάτων, ὧν ἐπίσταται πάντων, καὶ μίγνυται πᾶσιν ἀΰλως, καὶ ἄμικτος πάντων ἐστίν· οὕτως ἄρα, καὶ πολλῷ κατ' ἀσύγκριτον λόγον, ὁ πάντων Θεὸς, ἡ Τριὰς, καὶ πέρας ἐστὶ τῶν ὄντων, καὶ ἀπειρία· πέρας μὲν, ὡς περατῶν αὐτά· ἀπειρία δὲ, ὡς ὑπερεκτεταμένος αὐτῶν· καὶ πανταχοῦ εὑρίσκεται, καὶ πᾶσι πρόσεστι, καὶ πάντα πληροῖ, ὡς ὑπὲρ τὸ πᾶν ὑπάρχων· πάντα γὰρ περατοῦσα ἡ αὐτοῦ ἀπειρία, πάντων ὑπερήπλωται ἀπειροπλασίως. Καὶ τὸ μέγας ἐπὶ Θεοῦ ὅταν λέγηται, οὐ πρός τι μέγα σημαίνει, ἀλλ' ἀπολύτως μέγας, μεθ' ὧν οὐκ ἂν εἴη μέγας, ἐπεὶ πρός τι ἐστίν· εἰ δὲ πρός τι, κατὰ σύγκρισιν, καὶ οὐ φύσει μέγας· νοῦ δὲ οὐχ οὕτως, ἀλλ' ἀσυγκρίτως μέγας.

Ὅτι τοῦ ἀποίου καὶ ἀπόσου Θεοῦ, μῆκος μὲν θεῖον νοητέον τὴν ὑπερεκτεινομένην ὑπὲρ ἅπαντα δυύαμιν· πλάτος δὲ τὴν εὐρείαν, καὶ ἐπὶ πάντα διήκουσαν προνοητικὴν πρόοδον· βάθος δὲ τὴν πᾶσι τοῖς οὖσιν ἀθεώρητον κρυφιότητα. Διὸ καὶ μᾶλλον οἶκος ἐστὶ τοῦ παντὸς κόσμου τὸ θεῖον, ἀλλ' οὐχὶ πᾶς ὁ κόσμος οἶκος ἐστὶ τοῦ Θεοῦ. πᾶς γὰρ ὁ κόσμος τῷ Θεῷ περιγράφεται, ὁ δὲ Θεὸς παντὶ τῷ κόσμῳ ἐστὶν ἀπερίγραπτος· καί γε τὸ εἶναι ἐν τῷ Θεῷ ἐστι, καὶ οὐχὶ ὁ Θεὸς ἐν τῷ εἶναι· καὶ γὰρ ὑπεράνω τοῦ παντὸς, καὶ ἐντὸς τοῦ κόσμου, καὶ κύκλω τοῦ ὅλου, καὶ ὑπὲρ τὸν ἅπαντα κόσμον κατὰ περιοχὴν ἐστὶν ἄπειρος, καὶ ἐν παντὶ μέρει τοῦ ὅλου κόσμου ὅλος εὑρίσκεται· καὶ τοῦ παντὸς ἀπειράκις ἀπείρως ὅλος ὑπερεκτέταται· Καὶ ἐξαχῇ τῆς κινήσεως λεγομένης, κατὰ γένεσιν, κατὰ φθοράν, κατὰ αὔξη-

αὔξησιν, κατὰ μείωσιν, κατὰ ἀλλοίωσιν, ἢ τιὼ καθ' τόπον μεταβολιώ· τὸ θεῖον, ἔτε γίνεται, ἀεὶ ὄν· ἔτε φθείρεται, ἀίδιον ὄν· ἔτε αὔξεται, τέλειον ὄν· ἔτε μειῶται, ἄτρεπτον γὰρ ὄν· ἔτε ἀλλοιῶται, ἄποιον γὰρ ὄν· ἔτε μεταβαίνει τόπον, πῶ γὰρ ἢ μεταβήσεται τὸ πάντα πληρῶν; ἐδέτι κλῶται ὅπερ ἐκ ἔχει· ἃ δ' ὅπερ ἔχει ἀποβάλλει· ἐδὲ προσθήκιω ἰῶ ἐκ ἔχει λαμβάνει.

Οὕτω μὲν παρ' ἡμῶν, καὶ νοεῖται, καὶ δοξάζεται καὶ θεολογεῖται τὰ περὶ τῆς τῶν θείων προσώπων εἰς ἄλληλα μεσότητος, καὶ ἀκρότητος, ὅτι καὶ τῶν ἀρανίων σωμάτων τὸ κάλλιστον ἥλιος, καὶ τῶν σερεῶν ἡ σφαῖρα τὸ βέλτιστον, καὶ τῶν γραμμικῶν ὁ κύκλος ἐξαίρετον· καὶ πρέπον, τὸ εἰς ἀνθρώπες ἦκον, τοῖς παρ' ἡμῖν κρείττοσι, καὶ πράγμασι καὶ ὀνόμασι προσοικνᾶ τὰ θεῖα οἴεσθαι ὁπωσῶν, ἃ τοῖς ἀπεοικόσι τῇ ἐκείνε μεγαλειότητι. Οὐχ ἕτω δὲ ταῦτα ἢ πᾶσι δοκεῖ· ἀλλὰ τὸ μὲν τρισήλιον τῆς θεότητος, ἔνιοι σωομολογῶσι τῶν διδασκάλων αἰδοῖ· πλιὼ ὑπερφάνιον μὲν ἥλιον τὸν Πατέρα φαντάζονται, φάνιον δέ τινα τὸν Υἱὸν, καὶ ἐγκόσμιον, ἤτοι τῷ κόσμω παντὶ χωρητὸν, τὸ Πνεῦμα νοῦσι τὸ ἅγιον· ὥσε πιςεύεσθαι κατ' αὐτὲς εἶναι τῆς ἀπεριγράπτε καὶ ἀχωρήτε Τριάδος, μεμερισμένη πε τῆς τῦ Πατρὸς ὑποςάσεως ἡ τῦ Πνεύματος, κἀκείνη ταύτης· ὡς τῇ τῦ Υἱῦ παρεμπλώσει καὶ μεσιτείᾳ, ἀλλήλων ἀφεσηκυῖαι· καὶ πρώτισος μὲν ἢ ἀνώτατος ὁ Πατὴρ τῦ Πνεύματος· πρῶτος δὲ τῦ Υἱῦ καὶ ἀνώτερος· καὶ ἅτε ὑπερφάνιος, πορφώτατος ἀφ' ἡμῶν. Ὁ δὲ Υἱὸς δεύτερος μὲν τῦ Πατρὸς καὶ κατώτερος, πρῶτος δὲ καὶ ἀνώτερος τῦ Πνεύματος, καὶ μᾶλλον τὰ πρὸς ἡμᾶς ἐγγύτερος τῦ Πατρὸς ὡς φάνιος. τὸ δὲ Πνεῦμα τὸ ἅγιον, δεύτερον μὲν τῦ Υἱῦ, τρίτον δὲ τῦ Πατρός. καὶ αὖ προσγειότερον μὲν τῦ Υἱῦ καὶ κατώτερον, κατώτατον δὲ τῦ Πατρὸς, καὶ ἡμῖν ἐγγύτερον, ἅτε τῦ ἀνωτάτω ἐπὶ τὸ κάτω ἀφεσηκός· καὶ μόνος μὲν ὁ Πατὴρ τῦ Υἱῦ μόνον ἄμεσός τε καὶ προσεχὴς αἴτιος· καὶ ἄκρον ἀνώτερον μόνον, ἃ μιὼ καὶ

καὶ μέσον τινός· ὁ δὲ Υἱὸς μόνος, μέσον Πατρός τε καὶ Πνεύματος, καὶ κέντρε λόγον ἐπέχων, καὶ ἄμεσός τε μόνον καὶ προσεχὴς, ἄκρος δὲ ἡ ἔμμεσος ἑδενός· τὸ μὲν τοι Πνεῦμα τὸ ἅγιον μόνον, ἔμμεσον μὲν Πατρὸς ἄκρον, ἄμεσον δὲ τῷ Υἱῷ, μέσον δὲ ἑδενός· πάντα δὲ ἄνωθεν κάτω, καὶ καθεξῆς τὰ πρόσωπα στοιχηδόν· ἐδὲν ἐν τέτοις ἐκ δεξιῶν, ἐδὲν ἐξ ἀριστερῶν· ἐδ' ἕνωσις Υἱῷ καὶ Πνεύματος ὁ Πατὴρ, ἐδ' ἀγεννήτε καὶ γεννητῷ μέσον τὸ Πνεῦμα τὸ ἅγιον, ἐδ' ὅλα ἐν ὅλοις. Καὶ τὸ ἴσα δὲ πρὸς ἄλληλα εἶναι τοῖς ἅπασιν ἄπεστι, καὶ ἐδὲ τὸ ἐν τοῖς λογισμοῖς ἀκόλεθον διασώζεσιν, οἱ διὰ πάντων δίηκειν τῷ Υἱῷ μὴ διδόντες, μηδὲ τῷ Πνεύματι. ἐδὲ μέμνηνται τῦ Προφήτε λέγοντος· „ πῦ πορεύθω ἀπὸ τῦ „ Πνεύματός σε, καὶ ἀπὸ τῦ προσώπε σε πῦ φύγω; ἐὰν „ ἀναβῶ εἰς τὸν ἐρανὸν σὺ ἐκεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν „ ᾅδην, πάρει. τί δὲ τινὶ πρὸς τὰς γραφὰς μάχιν καὶ ἐναντίωσιν αὐτῶν παραμυθήσεται; τὸ, κάθε ἐκ δεξιῶν „ με, καὶ τὸ, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν τοῖς „ ὑψηλοῖς, λεγόμενον περὶ τῦ Υἱῦ· καὶ τὸ, Κύριος ἐκ δε- „ ξιῶν σε σινέθλασεν, ἐν ἡμέρᾳ ὀργῆς αὐτῦ βασιλεῖς, πε- „ ρὶ τῦ Πνεύματος εἰρημένον; τὸ γὰρ ἐκ δεξιῶν, ἀ τινὶ κάτω χώραν δηλοῖ, ὡς ὁ τέτων βέλεται λόγος, ἀλλὰ τινὶ πρὸς τὸ ἴσον ἐνταῦθα χέσιν διαρρήδιν ἐμφαίνει, ἐκ τῶν τιμίων τῆς σινεδρείας ὀνομάτων, τὸ μεγαλοπρεπὲς τῆς περὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τιμῆς, παρισῶντος τῷ λόγῳ. Οἶμαι γὰρ τινὶ μὲν στάσιν καὶ καθίδρυσιν, τὸ πανάγιον τῆς Φύσεως, καὶ πάντη ἑτῶς ὑποφαίνειν· τινὶ δεξιὰν δὲ χώραν δηλῦν, τὸ τῆς ἀξίας ὁμότιμον· ἔτοι δὲ ἵνα μόνον τὸ οἰκεῖον δόγμα σωιστᾷν δόξωσιν, ἔτ' ὤπως τὰ θεῖα ἐν ἑαυτοῖς φαντάζονται πρόσωπα, ὡς καὶ ὁ αὐτῶν δῆθεν λόγος ἐκτίθεται, καὶ τάδε τὰ χήματα διατυπέμενα δείκνυσιν. (Ὅρα Σχ. Β'.)

Ἰδὲ γῦν τῆς Τριάδος, μέσον μὲν τὸν Υἱὸν Πατρός τε καὶ Πνεύματος, ἄκρα δὲ, τὸν μὲν Πατέρα ἀνώτερον, τὸ δὲ Πνεῦμα κατώτερον διαγράφεσιν· ὡς εἶναι τὸν μὲν ἀμφοῖν

ἀμφοῖν ἀμέσως καὶ προσεχῶς, τὰ δὲ ἐμμέσως καὶ πόρρω πρὸς ἄλληλα· καὶ πάντα ἄνωθεν κάτω, καὶ ἁπλῶς εἰπεῖν τάξιν καὶ ὑπαρίθμησιν, καὶ οἷον τοπικήν τινα χέσιν τόδε τὸ χῆμα δείκνυσιν ἐπὶ τῶν θείων, καὶ πρότερον καὶ ὕστερον ὑποφαίνει, καὶ ὅσα πρὸ μικροῦ σεσημείωται· ἔτω γὰρ αὐτοῖς ἀναπλάττεται. Ἀλλὰ σὺ τάτων περιφρονήσας ἔχε τῆς ἀληθείας σεβρῶς, καὶ πρόσεχε ἀκριβῶς, τί περὶ τοῦ προκειμένου τοῖς θεολόγοις δοκεῖ. Φησὶ γὰρ Γρηγόριος, „καὶ τοῦτο κοινὸν καὶ ἰδιωμένον, ἢ οὐ ἐστὶ τῇ ὅλῃ θεότητι, τὸ πᾶσαν αὐτὴν ὅλην ὑφ' ἑκά- “
σε τῶν μετεχόντων μετέχεσθαι, καὶ ὑπ' ἄδενος ἐν ἄδενι “
μέρει· καθάπερ κέντρε σημεῖον ὂν μέσω κύκλε, πρὸς “
πασῶν ἐκ τοῦ κύκλε περικειμένων ἀθείων. καὶ ὥσπερ σφραγίδος ἐκτυπώματα πολλὰ μετέχει τῆς ἀρχετύπε σφραγίδος· καὶ ὂν ἑκάστω τῶν ἐκτυπωμάτων, ὅλης καὶ ταύτης ἔσης, καὶ ὂν ἀδενὶ κατ' ἄδεν μετέχει· καὶ μάλα εἰκότως, φαίην ἂν ἔγωγε· ὡς γὰρ ὁ ἐφαψάμενος τοῦ πάντοθεν ἴσε, ὅθεν ἂν ἅψηται ἄδεν διαφέρει, κέντρε λέγω σφαίρας, κύκλε, καὶ τῶν τοιάτων ἁπλῶν· ἔτως ὁ τινὶ πάσης ἰσότητος ὑπερέχουσαν ἀσυγκρίτως Τριάδα θεολογῶν, ὅθεν ἂν ἄρξηται, ἐδὲν λυμανεῖται τῇ εὐσεβείᾳ· μόνον λαλείτω ἐχ ὡς αὐτὸς βέλεται, ἀλλ' ὡς ὁ Θεὸς περὶ ἑαυτοῦ διὰ τῶν ἁγίων ἐλάλησε. Πρὸς δὲ καὶ ὁ ἅγιος Μάξιμος πάλιν περὶ τῆς ἁγίας τριάδος θεολογῶν, καὶ οἷον σημαίνει πῶς αὐτὴ διαιρεῖται ἀδιαιρέτως, καὶ διῃρημένως σωάπλεται, φησὶν, „εἷς Θεὸς ὅτι μία θεότης, ἄναρχος, καὶ ἁπλῆ, καὶ ὑπερούσιος, ἀμερής τε “
καὶ ἀδιαίρετος· ἡ αὐτὴ μονὰς καὶ τριὰς, ὅλη μονὰς ἡ “
αὐτὴ, καὶ ὅλη τριὰς ἡ αὐτή· μονὰς ὅλη κατὰ τὴν ἐ- “
σίαν ἡ αὐτὴ, καὶ τριὰς ὅλη κατὰ τὰς ὑποστάσεις ἡ αὐ- “
τή· Πατὴρ γὰρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα ἡ θεότης. “
καὶ ὂν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι ἡ θεότης· ὅλη ὂν ὅλῳ τῷ Πατρὶ ἡ αὐτὴ, καὶ ὅλος ὂν ὅλῃ τῇ αὐτῇ ὁ Πατήρ· ὅλη ὂν ὅλῳ τῷ Υἱῷ ἡ αὐτὴ, καὶ ὅλος ὂν ὅλῃ τῇ αὐτῇ ὁ Υἱός· ὅλη ὂν ὅλῳ τῷ ἁγίῳ Πνεύματι ἡ αὐτὴ, καὶ ὅλον ὂν ὅλῃ τῇ αὐτῇ τὸ Πνεῦμα τὸ ἅγιον. ἐ γὰρ ἐκ

μέρες

μέρος ἡ θεότης ἐν τῷ Πατρὶ, ἢ ἐκ μέρους Θεὸς ὁ Πατήρ· ἔτε ἐκ μέρους ἡ θεότης ἐν τῷ Υἱῷ, ἢ ἐκ μέρους Θεὸς ὁ Υἱός· ἔτε ἐκ μέρους ἡ θεότης ἐν τῷ Πνεύματι, ἢ ἐκ μέρους Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον. Οὔτε γὰρ μεριστὴ ἡ θεότης, ἔτε ἀτελὴς Θεὸς, ἢ ὁ Πατὴρ, ἢ ὁ Υἱὸς, ἢ τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλ' ὅλη ἐστὶν ἡ αὐτὴ τελεία τελείως ἐν τελείῳ τῷ Πατρί· καὶ ὅλη τελεία τελείως ἐν τελείῳ τῷ Υἱῷ· καὶ ὅλη τελεία τελείως ἐν τελείῳ τῷ ἁγίῳ Πνεύματι. ὅλος γὰρ ἐν ὅλῳ τῷ Υἱῷ καὶ τῷ Πνεύματι τελειως ἐστὶν ὁ Πατήρ· καὶ ὅλος ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Πνεύματι, τελείως ἐστὶν ὁ Υἱός. καὶ ὅλον ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Υἱῷ τελείως ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον. Μία γὰρ καὶ ἡ αὐτὴ φύσις καὶ ἐσία τῆ Πατρὸς καὶ τῆ Υἱῆ καὶ τῆ ἁγίε Πνεύματος· ἐκ ὄντος ἐδενὸς καθ' αὐτὸ κατ' ἐσίαν κεχωρισμένε τοῖν δυοῖν, ἐδὲ νοεῖσθαι ἢ λέγεσθαι κατ' ὀσεβῆ λόγον δυναμένε παράτινος.

Ἀλλὰ ταῦτα μὲν τοῖς ἀμφιγνοῦσι περὶ μεσότητος καὶ ἀκρότητος, τὶ ἑκάστε εἰς ὅλον τῶν ἐν τῇ θείᾳ τριάδι προσώπων, ἐπὶ τῆ παρόντος ἀρκεῖ· δεῖ δὲ τὰ ἐχόμενα τέτων ταμιεύεσθαι εἰς ἑτέραν ἀκρόασιν, ἐκεῖνο παρακαλέσαντας πρότερον τὸν ὑμετέραν ἀγάπην, προηγεμένως μὲν ἐχαζεσθαι τῶν τῆς ψυχῆς ἀγαθῶν, καὶ τἄλλα τῆς ψυχῆς ἕνεκα πράτειν, τῆ δὲ σώματος ἐπιμελεῖσθαι ἀναφέροντας τὸν αὐτῆ ἐπιμέλειαν ἐπὶ τὸν τῆς ψυχῆς ὑπηρεσίαν· καὶ τὰ χρήματα κτᾶσθαι διὰ τὸ σῶμα, πάντα δὲ τῆς ψυχῆς ἕνεκα διατάτειν, καὶ τῶν τῆς ψυχῆς ἀρχεσῶν δυναμένων· τῶν ἡμετέρων γὰρ κτημάτων, μετὰ Θεὸν, ψυχὴ τὸ θειότατον. Τὰ δ' ἡμέτερα διτλᾶ πάντα ἐστὶ πᾶσι, τὰ μὲν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δὲ ἥττω καὶ χείρω δῆλα· τὰ δεσπόζοντα ἓν προτιμητέον τῶν δηλεόντων· ἔτω τε τὸν ψυχὸν μετὰ Θεὸν τῶν ἄλλων προτιμητέον πάντων. Τιμᾷ δὲ αὐτὸν ἐχ ὁ χείρονα ἐκ βελτίονος ἀπεργαζόμενος, ἐδ' ὁ κακῶν καὶ μεταμελείας ἐμπιπλῶν, ἐδ' ὁ φεύγων τὸς ἐπαινεμένς πόνς· ἄτιμον γὰρ αὐτὸν ἐργάζεται ὁ τοιῆτος·

τοιῶτος· ἐδ' ὁ φεύγων τὸν ἐπαινετὸν θάνατον· τλὼ γὰρ λύσιν τλὼ ἀπὸ τᾶ σώματος, καὶ τᾶς ψυχᾶς τλὼ καθ' ἑαυτλὼ ζωλὼ, δυχεραίνοι ἂν ὁ τοιῶτος· ἐδ' ὁ τᾶς ἀρετᾶς προτιμῶν, κάλλος, ἢ χρήματα· τῶν γὰρ χειρόνων ἔτω τλὼ κρείττονα ψυχλὼ καταδεεστέραν ἀποφαίνει· μία τοίνιω ἐστὶ τιμὴ τᾶς ψυχᾶς, ἡ κατὰ τὸν ὀρθὸν λόγον ζωὴ, καὶ ἡ κατὰ νᾶν τᾶς ψυχᾶς τελειότης· τὸ δὲ γενοίτ' ἂν τῷ ἰσχεῦσαι καὶ λαβεῖν τὸ πάντων ἄριστον, καὶ ἑλόντα, τέλειον αὖ κοινῇ ξωοικεῖν τὸν ἐπίλοιπον βίον· τᾶτο δὲ ἐδὲν ἄλλο ἐστὶν, ἢ δεόντως φιλοσοφεῖν· ἦγεν τὸν Θεὸν, ἔργοις μὲν σέβειν, λόγοις δὲ ὑμνεῖν, ἐννοίαι δὲ τιμᾶν, καὶ νᾶν προσκτᾶσθαι ἀεί· νοήσεως γὰρ καὶ νᾶ τὰ πάντα αἱρετὰ τοῖς ἀνθρώποις. εἴπερ αἰσθήσεως μὲν καὶ νᾶ ἀφαιρεθεὶς ἄνθρωπος, φυτῷ γίνεται παραπλήσιος· νᾶ δὲ μόνον ἀφῃρημένος ἐκπηρίττεται· ἀλογίας δὲ ἀφαιρεθεὶς, καὶ μένων ἐν νῷ ὁμοῖτται Θεῷ.

Καταργητέον ἓν εἰς δυάμιν τᾶς ἀλογίας τὰ πάθη, ταῖς δὲ τᾶ νᾶ καθαραῖς ἐνεργείαις, καὶ εἰς ἑαυτὸν, καὶ τὸ θεῖον ἀφορώσαις χρηστέον· καὶ ταῖς διεξόδοις τᾶ νᾶ ζλῦ μελετητέον, πᾶν τὸ τᾶς προσοχᾶς ὄμμα καὶ τὸν ἔρωτα εἰς τᾶτο σωάψαντας· καὶ τὰς πράξεις καὶ πάντα τἄλλα, πρὸς νᾶν καὶ τὸν Θεὸν σωτακτέον. Ὑπερβάλλει δὲ τὸ τᾶς χρήσεως ταύτης ὠφέλιμον, πᾶσαν χαλεπότητα καὶ πόνον· τλὼ γὰρ χαλεπότητα τᾶς κτήσεως, ὑποδεεστέραν ἔχει τᾶ μεγέθες τᾶς ὠφελείας. Οὐδὲ δεῖ χρημάτων μὲν ἕνεκα πλεῖν ἐπ' Αἴγυπτον, καὶ Τάναϊν, καὶ Ἡρακλείας στήλας, καὶ πολλάκις κινδυνεύειν, διὰ δ' αὐτὸ τ' ἀγαθὸν μηδὲν πονεῖν, μηδὲ δαπανᾶν· ἢ, τᾶς μὲν ἀνδραποδώδες ζωᾶς, ἢ τᾶ μὴ εὖ ζλῦ, ἢ κατὰ Θεὸν, γλίχεσθαι, καὶ τὰ μὲν χρήματα ζητεῖν, τῶν δὲ καλῶν μηδεμίαν ἐπιμέλειαν ποιεῖσθαι παράπαν. Ἡ τοίνιω ἐπιμελητέον τᾶς ψυχᾶς, ἢ χαίρειν εἰπᾶσι τᾷ ζλῦ ἀπιτέον ἐντεῦθεν· ὡς τἄλλαγε πάντα φλυαρία τις ἔοικεν εἶναι καὶ λῆρος· οἷον χρήματα καὶ κτήματα, δόξαι, τιμαὶ, καὶ ὅσα τούτοις ταὐτά· καὶ λέγω τὸ πᾶς, ὅτι πάντα διπλᾶ

δέδωκεν

δέδωκεν ἡμῶν ὁ Θεὸς τῇ φύσει, δύο ὀφθαλμὲς, δύο ὦτα, δύο ῥῖνας, δύο χεῖρας, δύο πόδας, ἐὰν ὁπότερον τέτων βλαβῇ, διὰ τὸ ἑτέρε, τλὼ χρείαν παραμυθέμεθα· ψυχλὼ δὲ μίαν δέδωκεν ἡμῖν, ἂν ταύτλιν ἀπολέσωμεν, μετὰ τίνος ἐμβιωτόσομεν; ἀνάγκη γὰρ τλὼ ἐρημωθεῖσαν ψυχλὼ τῆς οἰκειώσεως τὸ Θεὸ, οἰκητήριον γενέθαι πνευμάτων ἀκαθάρτων· καὶ γὰρ ψυχῆς φέγγος ἐστὶν ἡ ἁγία γνῶσις, ἣ στερηθεὶς ὁ ἄφρων ἐν σκότει διαπορεύεται.

Ὅτι ὁ νὸς μὲν κεφαλὴ τῆς ψυχῆς ὀνομάζεται, αἱ δὲ ἀρεταὶ τρχῶν ἐπέχεσι λόγον, ὧν στερηθεὶς, ὡς ἄλλος Σαμψὼν ὁ χρισιανὸς τῆς γνώσεώς τε χωρίζεται, καὶ δέσμιος ὑπὸ τῶν δαιμόνων εἰς πέταυρον ἅδε παραπέμπεται. ὡς γὰρ ὑγία καὶ νόσος πρὸς τὸ σῶμα θεωρεῖται τὸ ζώε, καὶ φῶς καὶ σκότος πρὸς τὸν ὀφθαλμὸν, ἕτως ἀρετὴ καὶ κακία πρὸς τλὼ ψυχλὼ, καὶ γνῶσις καὶ ἄγνοια πρὸς τὸν νὸν. Καὶ ὥσπερ σῶμα μὲν ἔκτισεν ὁ Θεὸς, ἐχὶ δὲ νόσον, ἕτω καὶ ψυχλὼ, ἐχ ἁμαρτίαν. κακῦται δὲ ἡ ψυχὴ παρατρεπομένη τὸ κατὰ φύσιν. Τί δέ ἐσιν αὐτῇ τὸ προηγέμενον ἀγαθόν; ἡ προσεδρία τὸ Θεὸ, ἧς ἐκπίπλσα τοῖς ποικίλοις πάθεσι δελῦται· ὡς γὰρ ὁ τῆς ὑγίας ἐκπίπλων, ὅσῳ μᾶλλον βαρυτέρως νοσεῖ, τοσέτῳ μακρύεται μὲν τῆς ζωῆς, πλησιάζει δὲ τῷ θανάτῳ, ἕτω καὶ ἡ τῆς ἀρετῆς ἀφισαμένη ψυχὴ, ὅσῳ ταύτης ἀφίσαται, πόῤῥω μὲν γίνεται τὸ Θεὸ, πλησίον δὲ τὸ ἐχθρῦ· διὸ καὶ ὅσα πάθη ψυχῆς, τοσῦτοι ταύτης δεσπόται φασί. Καὶ καθάπερ παιδίον μικρὸν καὶ ἀπόνηρον φανταισιοποιὸν βλέπων, ἤδη καὶ ἐξακολεθεῖ τέτῳ ἐξ ἀκακίας, ἕτω καὶ ἡ ψυχὴ ἡμῶν ἁπλήτις ἔσα καὶ ἀγαθὴ, ἕτως ὑπὸ τὸ ἀγαθὸ δεσπότε αὐτῆς κτιθεῖσα, ἥδεται ταῖς φανταικαῖς προσβολαῖς τὸ ἀντικειμένε, καὶ ἀπατωμένη προσρέχει ὡς καλῷ τῷ χείρονι. καὶ ὡσὰν εἴτις ἡλίε φαίνοντος, καὶ πάσης τῆς γῆς τῷ φωτὶ τότε καταλαμπομένης καταμύων τὸς ὀφθαλμὸς, σκότος ἑαυτῷ ἐπινοεῖ, ἐκ ὄντος σκότες, καὶ λοιπὸν ὡς ἐν σκότει πλανώμενος περιπατεῖ, πολλάκις πίπλων κατὰ κρημνῶν· ἕτω καὶ ἡ ψυχὴ τὸν διορατικὸν αὐτῆς ὀφθαλμὸν

μὸν καταμύσασα, δι' οὗ τὸν Θεὸν ὁρᾶν δύναται ἑαυτῇ τὰ κακὰ ἐπινοεῖ, ἐν οἷς κινουμένη, οὐκ οἶδεν ὅτι δοκοῦσά τι ποιεῖν, οὐδὲν ὅλως ποιεῖ. τὰ οὐκ ὄντα γὰρ ἀναπλάττει· καὶ οὐχ ὁποῖα γέγονε, τοιαύτη μένει, ἀλλ' ὁποίοις ἑαυτὴν συμφύρει, τοιαύτη καὶ φαίνεται· γέγονε μὲν γὰρ ἵν' ὁρώῃ τὸν Θεὸν, καὶ ὑπ' αὐτοῦ φωτίζοιτο· ἡ δ' ἀντὶ τοῦ Θεοῦ, τὰ φθαρτὰ καὶ τὸ σκότος ζητεῖ. Καὶ λοιπὸν ὥσπερ ὁ καταμύσας τοὺς ὀφθαλμοὺς οἰκεῖον ἔχει τὸ σκότος, οὕτως ὁ τοῦ ἀληθινοῦ φωτὸς μακρυνθεὶς, ἔξω γενόμενος τοῦ φωτίζοντος, ὑπὸ τῆς κατὰ ψυχὴν ἀορασίας συγκέχυται. καὶ καθάπερ ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, θάνατος ἐστὶ τοῦ σώματος, οὕτως ὁ χωρισμὸς τοῦ Θεοῦ ἀπὸ τῆς ψυχῆς, θάνατος ἐστὶ τῆς ψυχῆς· καὶ ὥσπερ τὸ σῶμα ζῇ παρούσης τῆς ψυχῆς, οὕτω καὶ ἡ ψυχὴ παρόντος τοῦ θείου Πνεύματος, οὗ χωρὶς ἀπόλλυσιν, ὡς ἔφημεν, καὶ αὐτὴν τὴν μακαρίαν ζωήν· οὐκ εἰς τὸ μὴ εἶναι ἀναλυομένη, ἀλλὰ θανάτου παντὸς χαλεπωτέραν βιοῦσα ζωήν· καὶ ὥσπερ τὸ σῶμα κατὰ φύσιν ἡ ψυχὴ ζωοποιεῖ, οὕτω καὶ τὴν ψυχὴν ἡ ἀρετὴ καὶ ἡ γνῶσις· καὶ ὥσπερ τὸ σῶμα φαίνεται καλὸν χρυσοῖς ἱματίοις περιβεβλημένον, οὕτω καὶ ἡ ψυχὴ καλὴ φαίνεται καὶ ὑπέρκαλος ἐνδεδυμένη τὸν Χριστόν· „ὅσοι γὰρ εἰς Χρι- “
στὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε φησί· Χριστοῦ δὲ τὶ “
γένοιτ' ἂν ὡραιότερον;

Οὐκοῦν διεγερθῶμεν πρὸς τὴν τῆς ψυχῆς ἐπιμέλειαν· λυπηθῶμεν ἐπὶ τῇ ματαιότητι τοῦ προλαβόντος βίου· ἀγωνισώμεθα ὑπὲρ τῶν μελλόντων. Οὗτος ὁ αἰὼν τῆς μετανοίας, ἐκεῖνος ὁ τῆς ἀνταποδόσεως· οὗτος τῆς ἐργασίας, ἐκεῖνος τῆς μισθαποδοσίας· οὗτος τῆς ὑπομονῆς, ἐκεῖνος τῆς παρακλήσεως· νῦν βοηθὸς τῶν ἀποστρεφόντων ἀπὸ ὁδοῦ κακῆς ὁ Θεὸς γίνεται, τότε φοβερὸς καὶ ἀπαραλόγιστος τῶν ἀνθρωπίνων πράξεων, καὶ ῥημάτων, καὶ νοημάτων ἐξεταστής. Ὅτι ὅσον ἡ ψυχὴ τιμιωτέρα τυγχάνει τοῦ σώματος, τοσοῦτον ὁ λογικὸς ἄνθρωπος κρείττων τοῦ παντὸς κόσμου ἐστί. μὴ οὖν τὰ μεγέθη τῶν

ἐν αὐτῷ κτισμάτων καταγοῶν, τιμιώτερά σε ταῦτα εἶναι νόμιζε· ἀλλὰ πρὸς τὴν δοθεῖσάν σοι χάριν ἀποβλέψας, καὶ τῆς νοερᾶς καὶ λογικῆς ψυχῆς τὴν ἀξίαν, ἀνύμνει τὸν ὑπὲρ τὰ ὁρώμενα ἅπαντα τιμήσαντά σε Θεόν. Καὶ γὰρ ἡ Ἀσία, ἡ Λιβύη, ἡ Εὐρώπη, γωνίαι τῆς κόσμε· Ὠκεανὸς, Ἐρυθρὰ, Κασπία, Πόντος, Αἰγαῖον, καὶ πᾶν πέλαγος, σαγὼν τῆς κόσμε. Ἄτλας καὶ Καύκασος, Αἷμος καὶ Ἄλπις, Λίβανος, Ὄλυμπος, βωλάρια τῆς κόσμε· πᾶν τὸ διάστημα τῆς προσκαίρε αἰῶνος, σιγμὴ τῆς παντὸς, καὶ ἀπείρε αἰῶνος· πάντα μικρὰ καὶ εὐτρεπῆ· σὺ δὲ μετὰ Θεὸν καὶ τὰς Ἀγγέλας, ὄντως μέγα καὶ μόνον ψυχή· καὶ διὰ τῆτο γέγονε καὶ σωτὴρ ὁ ἄνθρωπος, πρὸς τὸ θεωρῆσαι τὸν λόγον τῆς τῆς ὅλης φύσεως, καὶ ἑαυτὸν γνῶναι, καὶ ἐπιγνῶναι Θεόν· καὶ χρὴ τὸν θέλοντα ζῆν ὡς ἄνθρωπον,
» ἔχειν εἰ μήτι ἄλλο, αἴσθησιν ἑαυτῆ. Ὅθεν τοῖς παλαιοῖς
» ἐκεῖνο πεφιλοσόφηται, εἰ βέλει γνῶναι Θεὸν, προλαβὼν
» γνῶθι σαυτόν· καὶ πάλιν, ὅς τις ἀναλύσαι οἷός τέ ἐστι
» πάντα τὰ γίνεται, ὑπὸ μίαν τε καὶ τὴν αὐτὴν ἀρχὴν,
» καὶ πάλιν σωθεῖναί τε καὶ σωαριθμήσασθαι, ἔτος δο-
» κεῖ μοι καὶ σοφώτατος ἦμεν καὶ παναληθέστατος. ἐπεὶ
» δεῖ καὶ καλὰν σκοπιὰν ἀρήκεναι, ἀφ' ἂς δυνατὸς ἐσεῖ-
» ται τὸν Θεὸν κατοψεῖσθαι, καὶ πάντα τὰ ἐν τῷ σοι-
» χεῖα τὰ ἐκείνε κατακεχωρημένα, καὶ ταύταν ἁρματή-
» λατον ὁδὸν ἐκπορισάμενον τῷ νῷ, κατ' ἀθείαν ὁρμαθῆ-
» μεν, καὶ τελεοδρομῆσαι τὰς ἀρχὰς τοῖς πέρασι σωά-
» ψαντα καὶ ἐπιγνῶντα. διότι ὁ Θεὸς ἀρχάτε καὶ τέ-
» λος καὶ μέσον ἐσὶ πάντων τε τῶν κατὰ δίκαν, καὶ τὸν
» ὀρθὸν λόγον περαινομένων.

Ἀλλὰ ταῦτα μὲν, εἰ καὶ ἀληθῆ, σομάτων σαπρῶν εἰσὶ ῥήματα καὶ ὀδωδότων· τὰ δὲ ἡμέτερα οἷα; εἰ ὁ Χριστὸς ἐν ταῖς καρδίαις ἡμῶν κατοικεῖ διὰ τῆς πίστεως, ὃ λέγει ὁ θεῖος Ἀπόστολος, πάντες δὲ οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἐν αὐτῷ εἰσι· πάντες ἄρα οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἐν ταῖς καρδίαις ἡμῶν

εἰσὶν

εἰσὶν ἀπόκρυφοι. Ὡς γὰρ ὁ ἥλιος ἀνατέλλων, καὶ τὸν κόσμον φωτίζων, δείκνυσί τε ἑαυτὸν καὶ τὰ ὑπ' αὐτῦ φωτιζόμενα πράγματα, ἕτω καὶ ὁ τῆς δικαιοσύνης ἥλιος τῷ καθαρῷ νῷ ἀνατέλλων, καὶ ἑαυτὸν δείκνυσι, καὶ πάντων τῶν ὑπ' αὐτῦ γεγονότων καὶ γενησομένων τὰς λόγους.

Ὅτι δεινὸν ἄγνοια Θεῦ, καὶ πέρα δεινῶν· αὐτόχρημα σκότος ἔσα ψηλαφητὸν, καὶ τὰς ψυχὰς ἐν αἷς ἂν ἐγγενήται ζοφερὰς ἀποτελοῦσα, εἰς πολλά τε τὸ λογιζόμενον διαιροῦσα, καὶ ἀπὸ τῆς πρὸς Θεὸν ἑνώσεως αὐτὰς ἀποτέμνουσα. καὶ ᾧ μὲν δέδοται γνῶσις Θεῦ, δέδοται φῶς νοερόν· ὃς δὲ λαβὼν ἀτιμάζει, ὄψεται σκότος αἰώνιον. Ἡ κατὰ Θεὸν γνῶσις βασιλὶς ἐστὶ πασῶν τῶν ἐπιθυμιῶν· καὶ τῇ καρδίᾳ τῇ δεχομένῃ αὐτὴν, πᾶσα γλυκύτης ἡ ἐν τῇ γῇ ἔσιν αὐτῇ περιτή. Ὁ μὲν αἰσθητὸς ἥλιος ξενίας τὰς ἑαυτῦ ἀκτίνας ἐξ οἰκίας κεκλεισμένης καθίησιν, ἐκ δὲ τὰς γλυκείας ὁ νοητὸς ἐπαφήσει προσδεχομένῃ, τῇ μὴ κεκλεισμένας ἐχέσῃ τὰς νοερὰς αἰσθήσεις ἀπὸ τῶν ὁρωμένων ψυχῇ. καὶ διὰ τῦτο μακάριος ὁ φθάσας εἰς τὴν ἀπέραντον ἀπειρίαν· ἐκεῖνος δὲ ἔφθασεν ὁ τὰ πεπερασμένα περάσας.

Ὅτι ὁ Θεὸς ἡ μονὰς καὶ τριὰς, ἀπὸ μονάδος ἀρχόμενος εἰς ἑαυτὸν, οἷα δὴ δεκὰς κυκλικῶς τελειῦται. Οὗτος τὰς πάντων ἀρχὰς, καὶ τὰ τέλη ἐντὸς ἔχει· ἔσι δὲ πάντων ἐκτὸς, ὡς ὑπερκείμενος τῶν ὅλων. τέτε ὁ ἐντὸς γενόμενος, ἢ ἑαυτὸν ἔνδον αὐτῦ χὼν, ἐντὸς τὰς λόγους τῶν ὄντων ἐχώρησεν· ἔξω δὲ πάντων ἑστὼς, ἐντὸς ἀπάντων αὐλίζεται, τὰς ἀρχὰς εἰδὼς καὶ τὰ τέλη τέτων· ὡς μετὰ Πατρὸς διὰ τῦ Λόγε σωφρέναν νοερὰν ἐχήκως, καὶ τελειωθεὶς ἐν τῷ Πνεύματι, αὐτῇ τῇ ὑπερθέῳ Τριάδι· ᾗ πρέπει παρ' ἡμῶν πίστις, εὐχαριστία, προσκύνησις, εἰς τὰς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ
ΛΟΓΟΣ Γ.
ΠΕΡΙ ΤΗΣ ΥΠΕΡΘΕΟΥ ΤΡΙΑΔΟΣ.

Ῥηθεὶς ἐν τῷ αὐτῷ παλατίῳ πάντων τῶν ἐν τῇ πόλει παρατυχόντων, ἐξ Ἰταλίας τοτηνικαῦτα συγκαθημένων Ῥωμαίοις, εἰς τὴν τούτου ἀκρόασιν.

Θεοῦ τῆς ὑπερθέου Τριάδος κινοῦντος ἡμᾶς, Θεοῦ τὸν λόγον ἡμῖν κατευθύνοντος, Θεοῦ περαίνοντος τοῦτον ἐπ' ὠφελείᾳ τῶν ἡμετέρων ψυχῶν, ἀπὸ Θεοῦ τε ἀρχόμεθα, καὶ περὶ Θεοῦ διέξιμεν, ἅτε δοῦλοι Θεοῦ, ὡς ἐπὶ Θεοῦ. Ἐπεὶ πᾶσα προαίρεσις καὶ πᾶσα πρᾶξις, καὶ μέθοδος, καὶ τέχνη, καὶ ἐπιστήμη, ἐξ ἀγαθοῦ τὴν ἀρχὴν ἐσχηκυῖα, τούτου πάντως ἐφίεται, καὶ πρὸς αὐτὸ νεύει, καὶ σπεύδει, καὶ φέρεται, καὶ εἰς αὐτὸ καταντᾷ· ὅθεν καλῶς ἅπαντες τἀγαθὸν ἀπεφήναντο, οὗ πάντα ἐφίεται· τοῦτο γάρ ἐστιν ὄντως τῶν ὀρεκτῶν τὸ ἀκρότατον. Διαφόρων δὲ προαιρέσεων καὶ προθέσεων οὐσῶν, μεθόδων τε καὶ τεχνῶν καὶ ἐπιστημῶν, διάφορα γίνεται τὰ τούτων τέλη. Προθέσεως μὲν γὰρ ἐγχείρημα, πράξεως δὲ σχολή· καὶ μεθόδου μὲν εὐδοκίμησις, τέχνης δὲ εὐτυχία· ἐπιστήμης δὲ κατάληψις ἀληθείας τῆς ἐν τοῖς πράγμασι κεκρυμμένης· καὶ ἄλλοις ἄλλοτι τέλος ἐστίν. Εἰ δέ τις ἐστὶν ἐπιστήμη ἀνωτέρα πασῶν, καὶ κατ' ἐξοχὴν ἀκροτάτην τελεωτέρα, τὴν δι' αὐτὴν μόνην εἰδέναι βουλόμεθα, τὰς ἄλλας δὲ διὰ ταύτην, καὶ μὴ πάσας δι' ἑτέραν αἱρούμεθα, δῆλον ὡς αὕτη ἂν εἴη πασῶν ἡ ἀρίστη, πρός τε θεογνωσίαν

μέγα

μέγα συμβάλλεται· καίγε τὸ ταύτης τέλος ἐστὶν ἀπέραντος ἀπειρία, καὶ θεωρίας ἀνάπαυσις. Εἰ δ' ἔστω, πειρατέον τύπῳ περιλαβεῖν αὐτιλύ· καὶ ὅσον οἷόν τε γνῶναι τίς ποτε ἡ μέθοδος αὕτη, ἢ τίνος τῶν ἐπισημῶν ἢ τεχνῶν, καρπὸς ἢ τέλος ἐστί. Μεθόδε μὲν ἓν τινὸς ἢ ἐπισήμης τέλος ἢ τέχνης ἐστὶν ἀδεμιᾶς, καρπὸς δὲ πασῶν, μεθ' ὧν ἐκ ἂν εἴη ἄλλος· καὶ χάρις ἄνωθεν κατιοῦσα πρὸς τὸ τῶν φώτων Πατρὸς, τοσοῦτον πασῶν ὑπερέχουσα τῶν ἀνθρωπίνων ἐπισημῶν καὶ τεχνῶν, ὅσον τὸ ταύτης τέλος, τέλους παντὸς, καὶ πάντων ὑποκειμένων τὸ ὑποκείμενον κατ' ἀσύγκριτον λόγον ὑπέρκειται· διεξιτέον δὲ καὶ ἄλλως περὶ αὐτοῦ.

Ἄλλος ἐστὶν ὁ ἔμπειρος, καὶ ἄλλος ὁ τεχνίτης· καὶ ἕτερος ὁ πεπαιδευμένος ἀνὴρ, καὶ ἕτερος ὁ φρόνιμος· ἄλλος ὁ πολυίστωρ, καὶ ἕτερος πολυμαθής· ἕτερος πάλιν ὁ πρακτικὸς, καὶ ἄλλος ὁ θεωρητικός· ὥσπερ ἄλλος ὁ χρήσιμος, καὶ ἄλλος ὁ καλός. Ἔτι ἄλλος ὁ εὐγλωττος, καὶ ἄλλος ὁ λόγιος· ἄλλος ὁ νοήμων, καὶ ἄλλος ὁ ἐπιστήμων· ἄλλος ὁ σιωετὸς, καὶ ἄλλος ὁ γνωστικός· ἄλλος ὁ φιλόσοφος, καὶ ἄλλος ὁ σοφός· ἄλλος ὁ πεπαιδαῖος ἀνὴρ, καὶ ἄλλος ὁ μεγαλοπρεπής. Καὶ ἐξ ὑπαρχῆς πρὸς ἄνδρας πείραν ἔχοντας τῶν λεγομένων, λέγω, ἄλλος ὁ γραμματιστὴς, καὶ ἄλλος ὁ ποιητικὸς, καὶ ἕτερος ὁ ῥήτωρ· ἄλλος ὁ σοφιστικὸς, καὶ ἄλλος ὁ διαλεκτικὸς, καὶ ἄλλος ὁ ἀποδεικτικός· ἄλλος ὁ ψηφιφορικὸς, καὶ ἄλλος ὁ λογιστικὸς, καὶ ἄλλος ὁ ἀριθμητικός· ἄλλος ὁ γεωδέτης, καὶ ἄλλος ὁ γεωγράφος, καὶ ἄλλος ὁ γεωμέτρης· ἄλλος ὁ μελῳδὸς, καὶ ἄλλος ὁ μελοργὸς, καὶ ἄλλος ὁ μουσικός· ἄλλος ὁ μετεωρολόγος, καὶ ἄλλος ὁ ἀστρολόγος, καὶ ἄλλος ὁ ἀστρονόμος· καὶ παρὰ τούτους ἄλλος ὁ ἠθικὸς φιλόσοφος, καὶ ἄλλος ὁ φυσικός· καὶ ἁπλῶς ὅσαι μεθόδων καὶ τεχνῶν καὶ ἐπισημῶν, καὶ χαρίτων πρὸς ἀλλήλας διαφοραὶ, τοσαῦται καὶ τῶν ταύτας μετιόντων ἀπ' αὐτῶν εἰσὶν αἱ παρωνυμίαι· ἀνὴρ δὲ ἐκ εἰδήμων, τὸν σὺν τῶν εἰρημένων μετεχηκότα, μετέχειν πάντων οἰήσεται. Τούτων

ἓν πάντων, διὰ τὴν θείαν χάριν ὁ θεολόγος ἀσυγκρίτως ὑπέρκειται· τί δήποτε; ὅτι τῶν ἐπιστημόνων ἑκάστῳ τῆς ἑαυτῦ ἐπιστήμης ἐστὶν ἰδία ἀρχή· τῷ μὲν ἀριθμητικῷ ἡ μονὰς, τὸ σημεῖον τῷ γεωμέτρῃ, ὁ φθόγγος τῷ μουσικῷ, καὶ ὁ πόλος τῷ ἀστρονόμῳ. Ὁμοίως δὲ καὶ τὰ ὑποκείμενα, ἀλλήλων μὲν διάφορα, οἰκεῖα δὲ ἑκάστῳ. τῷ μὲν γὰρ οἱ ἀριθμοὶ, καὶ αἱ ἀναλογίαι· τῷ δὲ ἡ γῆ, καὶ τὰ χήματα· τῷ δὲ οἱ ἐν τῷ ἀέρι ψόφοι, καὶ αἱ τούτων διαθέσεις· τῷ δὲ τῶν ἄστρων οἱ σπειρισμοὶ, καὶ αἱ κινήσεις εἰσίν· αὐτὸ δὲ τοῦτο καὶ πᾶσι τεχνίταις ἑπόμενον ἴδοιτις ἄν· καὶ γὰρ κἀκείνοις καὶ τὰ τέλη διάφορα. Ταῦτα μὲν δὴ πάντα τοῖς τε τεχνίταις, καὶ τοῖς ἐπιστήμοσιν ἔπεται. καὶ χρὴ τούτων ἕκαστον ἀπὸ μικρᾶς ἀρχόμενον τῆς ἀρχῆς, καὶ κατὰ μικρὸν προϊόντα ἐν καταλήψει ἁπλοῦν τοῦ ἰδίου ὑποκειμένου ὀψέποτε γίνεσθαι. Τῆς δὲ τέχνης τῶν τεχνῶν, καὶ τῆς τῶν ἐπιστημῶν κατ' ἐξοχὴν ἐπιστήμης, καὶ ἀρχὴ καὶ ὑποκείμενον καὶ πέρας αὐτός ἐστιν ὁ Θεός· εἰ δὲ ταῦτα ἀληθῆ, ἡμεῖς δὲ περὶ Θεοῦ προεθέμεθα λέγειν, πρέπον ἡμῖν τοῦ τῆς θεολογίας πάλιν ἐκεῖθεν ἄρξασθαι λόγου, ἔνθα πρὶν αὐτὸν κατελίπομεν.

Ἐγὼ δὲ καὶ αὐτῶν ὑμᾶς ὑπομνήσω τῶν λέξεων· ἀλλὰ ταῦτα μὲν τοῖς ἀμφιγνοοῦσι περὶ μεσότητος καὶ ἀκρότητος, τῆς ἑκάστου εἰς τὰ λοιπὰ τῶν ἐν τῇ θείᾳ τριάδι προσώπων τοῖς ὀρθοδόξοις ἀρκεῖ. ἔτω μὲν εἶχον αἱ πρὸς τῷ τέλει τῆς θεολογίας τιμιώταται ῥηθεῖσαι λέξεις ἡμῖν· νυνὶ δὲ ἀκόλουθα τοῖς ῥηθεῖσι τάδε διέξιμεν. Ὡς τῆς θεοσεβείας ἡ γνῶσις, ἀφ' ἑαυτῆς τὸ γνώριμον κέκτηται, καὶ ἡλίου λαμπρότερον ἑαυτὴν ἐπιδείκνυται. διὸ καὶ Δαβὶδ ὁ προφήτης, οἱ οὐρανοὶ, φησὶ, διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα. εἶτα ἐπάγει, οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Καὶ ὁ θεῖος Παῦλος κέκραγε, τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθο-

καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ θεότης καὶ δύναμις. οὐ γὰρ καθάπερ ἐστὶν αὐτὸς ὁ Θεὸς ὑπεράνω πάντων, οὕτω καὶ ἡ πρὸς αὐτὸν τῆς θεογνωσίας ὁδὸς, πόῤῥωθεν ἢ ἔξωθεν ἡμῶν ἐστίν· ἀλλ' ἐν ἡμῖν, καὶ ἀφ' ἡμῶν ταύτην εὑρεῖν τὴν ἀρχὴν δυνατόν, καθὰ καὶ Μωϋσῆς ἐδίδασκε λέγων, „τὸ ῥῆμα τῆς πίστεως ἐντὸς τῆς καρδίας σου ἐστί. καὶ ὁ Σωτὴρ βεβαιῶν ἔλεγεν· „ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ἡμῶν ἐστίν. Ἡνίκα γὰρ ὁ ἀνθρώπινος νοῦς τοῖς ὑλικοῖς οὐ συνομιλεῖ, μόνῳ δὲ σύνεστιν ἑαυτῷ καθάπερ γέγονεν ἐξ ἀρχῆς, πρῶτον μὲν συνορᾷ ὅτι τὰ ἐνταῦθα καὶ ἀνώμαλα καὶ ἄτακτα· τὰ δὲ ἐν τοῖς ἄστρασιν, ἀνώμαλα καὶ τεταγμένα· τὰ δὲ τούτων ἄνωθεν καὶ τεταγμένα καὶ ὁμαλά. ἔπειτα πάντα τὰ αἰσθητὰ διαβὰς, καὶ τὰ πεπερασμένα περάσας, ἁπάντων μετάρσιος γίνεται· καὶ τὸν Λόγον ὁρῶν, ὁρᾷ ἐν αὐτῷ καὶ τὸν τοῦ λόγου Πατέρα, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. δι' αὐτοῦ γὰρ μόνον δύναται ἄνθρωπος τὸν Θεὸν καὶ νοεῖν καὶ θεωρεῖν, καὶ πιστεύειν ὀρθῶς εἰς αὐτόν.

Καθάπερ γὰρ εἴτις πόῤῥωθεν ἀκούει κιθάρας, ἐκ πολλῶν καὶ διαφόρων νευρῶν συγκειμένης, θαυμάζει τούτων τὴν ἁρμονίαν τῆς συμφωνίας, ὅτι μὴ μόνον ἡ βαρεῖα τὸν ἦχον ἀποτελεῖ, μηδὲ μόνον ἡ ὀξεῖα, μηδὲ μόνη ἡ μέση, ἀλλὰ πᾶσαι κατὰ ἴσην ἀντίστασιν ἀλλήλαις συνηχοῦσι· καὶ πάντως ἐκ τούτων ἐννοεῖ, οὐχ ἑαυτὴν τὴν κιθάραν κινεῖν, ἀλλ' οὐδὲ ὑπὸ πολλῶν αὐτὴν τύπτεσθαι· ἕνα δὲ εἶναι μουσικὸν τὸν τῆς ἑκάστης νευρᾶς, τὸν ἦχον πρὸς τὴν κοινὴν καὶ ἐναρμόνιον συμφωνίαν κεράσαντα τῇ ἐπιστήμῃ, κἂν μὴ τοῦτο βλέπῃ· ἐκ γὰρ τῶν ἔργων, καὶ μὴ ὁρώμενος ὁ τεχνίτης γινώσκεται· οὕτω παναρμονίου τῆς τάξεως οὔσης ἐν τῷ κόσμῳ παντὶ, καὶ μήτε τῶν ἄνω πρὸς τὰ κάτω, μήτε τῶν κάτω πρὸς τὰ ἄνω στασιαζόντων, ἀλλὰ μιᾶς τῶν πάντων ἀποτελουμένης τάξεως, ἕνα καὶ μὴ πολλοὺς εἶναι συνάγει ὁ λογικώτατος νοῦς, τὸν ἄρχοντα πάσης τῆς κτίσεως. Οὔτε γὰρ ἔδει πολλοὺς θεοὺς ἕνα κατασκευάζειν κόσμον· οὔτε τὸν ἕνα Θεὸν πολλοὺς δημιουργῆ-

σαι κόσμους. εἴπερ γὰρ ἦσαν κόσμοι πολλοί, πολλοὺς ἐχρῆν καὶ θεοὺς δοξάζειν. καὶ αὖ εἴπερ ὑπῆρχον θεοὶ πολλοί, πολλοὺς ἔδει καὶ τοὺς κόσμους εἶναι. ἐπεὶ δὲ εἷς ἐστὶν ὁ κόσμος, ἀνάγκη καὶ τὸν τούτου δημιουργὸν ἕνα πιστεύειν εἶναι. ὃς τῆς μὲν πολυθείας ἡμᾶς ἀπάγων, περὶ ἑαυτοῦ ἀποφαίνεται· „ἄκουε Ἰσραὴλ Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστί. Τρισυπόστατον δὲ εἶναι καὶ λόγῳ καὶ ἔργῳ ἑαυτὸν ἡμῖν παρίστων, ἐν Ἰορδάνῃ παρέδειξε βαπτιζομένου τοῦ Λόγου σαρκί. ὁ μὲν Πατὴρ ἄνωθεν, διαῤῥήδην τοῖς πᾶσιν ἐπιφωνῶν, „οὗτος ἐστὶν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε· ὁ δὲ Υἱὸς διὰ τοῦ προσλήμματος τοῖς παροῦσιν ὁρώμενος, καὶ τίνι ἐκεῖθεν μαρτυρίαν ἔλκων ἐφ' ἑαυτόν· τὸ μέν τοι Πνεῦμα τὸ ἅγιον ἐπὶ τὸν Υἱὸν κατιὸν ἐκ Πατρὸς, ἐν εἴδει περιστερᾶς, ἵνα μὴ μόνον ἐξ ἀκοῆς, ἀλλὰ καὶ δι' ὄψεως, ἄλλως πιστωθῶμεν τὸ τρισυπόστατον τῆς θεότητος.

Τριῶν δ' ὄντων τῶν τῆς θείας Τριάδος προσώπων, Πατρὸς Υἱοῦ τε καὶ Πνεύματος· τούτων, τὸ μὲν Πατὴρ λεγόμενον πρόσωπον, ὁ Πατὴρ ἐστὶ καὶ λέγεται μόνον, ἀλλὰ καὶ προβολεύς. ὅτι τὸν μὲν Υἱὸν ἀχωρίστως, καθάπερ πῦρ ἀπαύγασμα γεννᾷ θεοπρεπῶς· τὸ δὲ Πνεῦμα προβάλλει ἀῤῥήτως ἕτερον τρόπον ἀνέκφραστον, καθὼς τῷ Δαμασκόθεν Ἰωάννῃ δοκεῖ. πάλιν· τὸ μὲν Υἱὸς λεγόμενον πρόσωπον, οὐχ Υἱὸς λέγεται μόνον, ἀλλὰ καὶ λόγος· ὡς φησὶν Ἀθανάσιος ὁ πολύτλας, αὐτὸς ὁ παντοδυνάμος καὶ παντέλειος τοῦ Πατρὸς λόγος, ἐπιβὰς τοῖς πᾶσι καὶ πανταχοῦ τὰς ἑαυτοῦ δυνάμεις ἐφαπλώσας, καὶ φωτίσας τότε φαινόμενα καὶ τὰ ἀόρατα, πάντα εἰς ἑαυτὸν συνέχει καὶ συσφίγγει, μηδὲν ἔρημον τῆς ἑαυτοῦ δυνάμεως ἀπολελοιπώς. Καὶ ἵνα μὴ καθ' ἕκαστον ἐπὶ φανεροῖς ὀνομάζων ἐνδιατρίβω· οἷον εἴτις λύραν μουσικὸς ἁρμοσάμενος, καὶ τὰ βαρέα τοῖς ὀξέσι, καὶ τὰ μέσα τοῖς ὅλοις τῇ τέχνῃ συναγαγών, οὗ τὸ σημαινόμενον μέλος ἀπολελοίπει· ἔστω καὶ ὁ τοῦ Θεοῦ λόγος τὸ ὅλον ὡς λύραν ἐπέχων, καὶ τὰ ἐν ἀέρι τοῖς ἐπὶ γῆς συναγαγών,

καὶ

καὶ τὰ ἐν ἐρανῷ τοῖς ἐν ἀέρι, καὶ τὰ ὅλα σωμάτων τοῖς μέρεσι, καὶ περιάγων τῷ ἑαυτοῦ θελήματι, ὅλα τὸν κόσμον, καὶ μίαν τινὰ ἑαυτοῦ τάξιν ἀποτελεῖ.

Καὶ ἵν' ἐκ παραδείγματος νοηθῇ τὸ τοιοῦτον, ἔστω τὸ λεγόμενον, ὡς ἐν εἰκόνι χορὸς μεγάλος· ὡς τοίνυν χορὸς συνεστῶτος, ἐκ διαφόρων ἀνθρώπων, παίδων, γυναικῶν, καὶ γερόντων, καὶ νέων, καὶ ἑνὸς τοῦ καθηγεμόνος σημαίνοντος, ἕκαστος μὲν κατὰ τινὰ φύσιν ἑαυτοῦ καὶ δύναμιν φωνεῖ· ὁ μὲν ἀνὴρ, ὡς ἀνήρ· ὁ δὲ παῖς, ὡς παῖς· ὁ δὲ γέρων, ὡς γέρων· καὶ ὁ νέος, ὡς νέος· πάντες δὲ μίαν ἀποτελοῦσιν ἁρμονίαν· ἡ ὡς ἡ καθ' ἡμᾶς ψυχὴ, ἓν ταὐτῷ τὰς ἐν ἡμῖν αἰσθήσεις κινεῖ, κατὰ τινὰ ἑκάστης ἐνέργειαν· ὥστε παρόντος πράγματος ἑνὸς, τὰς πάσας ὁμοῦ κινεῖσθαι· καὶ τὸν μὲν ὀφθαλμὸν ὁρᾶν, τινὶ δ' ἀκοὴ ἀκούειν, τινὶ δὲ χεῖρα ἅπτεσθαι, τινὶ δ' ὀσφρησιν ἀντιλαμβάνεσθαι, ἢ τινὶ γεῦσιν γεύεσθαι· πολλάκις δὲ καὶ τὰ ἄλλα μέρη τοῦ σώματος, ὥστε καὶ τοὺς πόδας περιπατεῖν. ἢ ἵνα καὶ τρίτῳ παραδείγματι τὸ λεγόμενον σημανθῇ, ἔοικεν οἰκοδομηθείσῃ μάλιστα μεγάλῃ πόλει, καὶ οἰκονομουμένῃ ἐπὶ παρουσίᾳ τοῦ καὶ ταύτην οἰκοδομήσαντος ἄρχοντος καὶ βασιλέως· ἐκείνου γὰρ παρόντος καὶ προστάττοντος, καὶ πρὸς πάντα τὸν ὀφθαλμὸν τεινόντος ἑπόμενοι πάντες, οἱ μὲν ἐπὶ τινὶ γεωργίαν, οἱ δὲ ἐπὶ τοὺς ὑδραγωγοὺς ὑδρευόμενοι σπεύδουσιν, ἄλλοι δὲ σιτιζόμενοι προέρχονται· καὶ ὁ μὲν ἐπὶ τινὶ βαλανεῖον βαδίζει, ἄλλος δὲ ἐπὶ τινὶ ἐκκλησίαν εἰσέρχεται· καὶ ὁ μὲν δικαστὴς ἐπὶ τὸ δικάζειν, ὁ δὲ ἄρχων ἐπὶ τὸ θεσμοθετεῖν· καθίσαται δὲ εὐθέως ὁ μὲν τεχνίτης ἐπὶ τινὶ ἐργασίαν, ὁ δὲ ναύτης ἐπὶ τινὶ θάλασσαν κατέρχεται· ὁ τέκτων ἐπὶ τὸ τεκτονεύειν, ὁ ἰατρὸς ἐπὶ τινὶ θεραπείαν, ὁ οἰκοδόμος ἐπὶ τινὶ οἰκοδομίαν· καὶ οἱ μὲν περὶ τινὶ πόλιν ἀναστρέφονται, οἱ δὲ ἀπὸ τῆς πόλεως ἐξέρχονται, οἱ δὲ εἰς αὐτὴν ἐπανέρχονται· ταῦτα δὲ πάντα τῇ παρουσίᾳ τοῦ ἑνὸς ἄρχοντος καὶ τῇ τότε διατάξει γίνεται· κατὰ ταῦτα δὴ καὶ ἐπὶ τῆς συμπάσης κτίσεως, κἂν μικρὸν ᾖ

τὸ παράδειγμα, ὅμως μείζονι διανοίᾳ χρὴ νοεῖν. Ὑπὸ γὰρ μιᾶς ῥοπῆς νεύματός τινος τοῦ Θεοῦ λόγου, ὁμοῦ τὰ πάντα διακοσμεῖται, καὶ τὰ οἰκεῖα παρ' ἑκάστου γίνεται, καὶ παρὰ πάντων ὁμοῦ μία τάξις ἀποτελεῖται· ἐρανὸς μὲν περιῤῥέφεται, τὰ δὲ ἄστρα κινεῖται· καὶ ὁ μὲν ἥλιος φαίνει, ἡ δὲ σελήνη περιπολεῖ· καὶ ὁ ἀὴρ μὲν ὑπ' αὐτῶν φωτίζεται, αἰθὴρ δὲ θερμαίνεται· ἄνεμοι πνέουσι, τὰ ὄρη εἰς ὕψος ἀνατεταμένα ἵστανται· ἡ θάλασσα κυμαίνει, καὶ τὰ ἐν αὐτῇ ζῶα τρέφεται· ἡ γῆ ἀκίνητος μένουσα καρποφορεῖ, καὶ ὁ ἄνθρωπος διαπλάττεται, καὶ ζῇ πάλιν καὶ θνήσκει· καὶ ἁπλῶς ἅπαντα κινεῖται, ὡς ἕκαστον ἔχει φύσεως καὶ δυνάμεως· τὸ πῦρ καίει, τὸ ὕδωρ ψύχει, πηγαὶ ἀναβλύζουσι, ποταμοὶ πλημμυροῦσι, καιροὶ καὶ ὧραι παραγίνονται, ὑετοὶ κατέρχονται, τὰ νέφη πληροῦνται, χάλαζα γίνεται, χιὼν καὶ κρύσταλλος πήγνυται, πετεινὰ ἵπανται, ἑρπετὰ πορεύονται, ἔνυδρα νήχεται, φυτὰ αὔξει, καὶ τὰ μὲν νεάζει, τὰ δὲ γηράσκει καὶ φθίνει. Ταῦτα δὲ πάντα καὶ ἔτι πλείω τούτων, ἃ διὰ τὸ πλῆθος ἐκ ἰσχύομεν λέγειν, ὁ παραδοξοποιὸς τοῦ Θεοῦ λόγος τῷ ἑαυτοῦ νεύματι κινεῖ καὶ διακοσμεῖ ἕνα τὸν κόσμον ἀποτελῶν, ὅθεν καὶ λόγος λέγεται.

Αὖθις τὸ μὲν Πνεῦμα λεγόμενον πρόσωπον, οὐχὶ Πνεῦμα λέγεται μόνον, ἀλλὰ καὶ πρόβλημα· ὅτι ἐ γεννητῶς ἐκ τοῦ Πατρὸς πρόεισιν, ἀλλ' ἐκπορευτῶς· ὡς ἂν μὴ δύο Υἱοὶ πιστεύοιντο ἐκ Πατρός· καὶ ὅτι μηδενὸς παρεμπίπτοντος, ἔχεται πάντα ἀλλήλων τῆς παναγίας Τριάδος τὰ πρόσωπα· καὶ οὐχὶ μόνον ὁ Πατὴρ τοῦ Υἱοῦ, καὶ ὁ Υἱὸς τοῦ Πατρός· ἀλλὰ καὶ ὁ Πατὴρ τοῦ Πνεύματος, καὶ τὸ Πνεῦμα τοῦ Πατρός· καὶ ὁ Υἱὸς τοῦ Πνεύματος, καὶ τὸ Πνεῦμα τοῦ Υἱοῦ ἀδιασπάστως ἔχεται.

Χρὴ μέντοι καὶ ἐκεῖνο σκοπεῖν, ὅτι τὸ γεννᾶν καὶ τὸ ἐκπορεύειν, ἐνεργείας σημασίαν ἔχοντα κατὰ τὴν ἐκφώνησιν, τὸ δὲ γεννᾶσθαι καὶ ἐκ πορεύεσθαι πάθος, ὥσπερ ἐ συμπάσχει τι ὁ γεννήτωρ τῷ λόγῳ, οὐ τῷ τὸν λόγον γεννᾶ-

γεννᾶσθαι, οὐδ' ὁ προβολεὺς τῷ προβλήματι, ἐν τῷ τὸ πρόβλημα ἐκπορεύεσθαι, οὕτως οὔτε τῷ Πατρὶ συνεργεῖ ὁ Υἱὸς πρὸς τὴν γέννησιν, οὔτε τὸ Πνεῦμα τῷ ἑαυτοῦ προβολεῖ, πρὸς τὴν ἰδίαν ἐκπόρευσιν· οὔτ' αὖ τὸ Πνεῦμα τῷ Πατρὶ πρὸς τὴν τοῦ λόγου γέννησιν, οὔτε ὁ λόγος τῷ προβολεῖ, πρὸς τὴν προσωπικὴν τοῦ Πνεύματος πρόοδον. Ἐπεὶ ὥσπερ παντὸς πάθους ἀνώτερον, ἐν τῷ Υἱῷ τὸ γεννᾶσθαι, καὶ τὸ ἐκπορεύεσθαι ἐν τῷ Πνεύματι, οὕτως ἐν τῷ τούτων αἰτίῳ Πατρὶ, τό, τε γεννᾷν καὶ τὸ ἐκπορεύειν, πάσης ὁποιασοῦν ἐνεργείας ὑπέρτερον. Εἰ οὖν τὸ Πνεῦμα τὸ ἅγιον ἥκιστα συνεργεῖ τῷ Πατρὶ πρὸς τὴν τοῦ Υἱοῦ γέννησιν, οὐδὲ ὁ Υἱὸς τῷ Πατρὶ, πρὸς τὴν τοῦ Πνεύματος πρόοδον· ὁ Πατὴρ ἄρα καὶ μόνος τοῦ λόγου Πατὴρ, καὶ μόνος προβολεὺς τοῦ ἁγίου Πνεύματος. Εἰ δὲ τολμᾷτις προτεῖναι, ὡς ἄρα ἐν μὲν τῷ προβάλλειν δεῖται τῆς τοῦ Υἱοῦ συνεργίας ὁ Πατὴρ, ἐν δὲ τῷ γεννᾷν οὐδαμῶς τοῦ Πνεύματος, αὐτὸς μὲν τῆς ἰδίας δόξης ἀγαγέτω τοὺς μάρτυρας· ἡμεῖς δ' ἐπὶ τὸ κατεπεῖγον τὸν λόγον ἰθύομεν.

Ὅτι πρόβλημά τις δύσλυτον, καὶ πέρα τῶν ἀπόρων δοκοῦν πρὸς ἡμᾶς νῦν ἐνταῦθα προὔτεινεν, οὗ τὴν ἔννοιαν δίημι κατὰ φράσιν ἐμήν. Ἰδοὺ φησὶν αὐτὸς, καθὰ καὶ νοῶ, καὶ φρονῶ, καὶ οἰκείοις ὀφθαλμοῖς σχεδὸν, ἅτε ἄνθρωπος διακρίνειν ἰσχύω, εἰ μὴ κοιμῶμαι, εἰ μὴ μεθύω, εἰ μὴ ἐξέστην, τοῦτο, εἰ μήτι ἄλλο, καὶ ἐπίσταμαι καὶ γινώσκω σαφέστατα· ὅτι ὥσπερ σὺ, ἄλλος μὲν ἄνθρωπος εἶ παρὰ τοῦτον, καὶ οὗτος ἕτερος ἄνθρωπος ἐστὶ παρὰ σὲ, κἀγὼ πάλιν ἄλλος εἰμὶ παρ' ὑμᾶς· καὶ διὰ τοῦτο, οὔτε εἷς ἐσμὲν, οὔτε δύο, ἀλλὰ τρεῖς πάντως ἄνθρωποι· οὕτως ἄρα καὶ ὁ ἐν τῇ τριάδι δοξαζόμενος Πατὴρ, αὐτὸς καθ' αὑτὸν ἴδιον ἐστὶ πρόσωπον, καὶ ὁ Υἱὸς, αὐτὸς καθ' αὑτὸν ἴδιον ἐστὶ πάλιν πρόσωπον, ὅ, τε παράκλητος, αὐτὸς καθ' αὑτὸν ἴδιον αὖθις πρόσωπον· καὶ ἄλλος ἐστὶν ὁ Πατὴρ παρὰ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, καὶ οὐχ ὁ αὐτὸς τῷ Υἱῷ ἢ τῷ Πνεύματι· καὶ ὁ Υἱὸς ὁμοίως, ἄλλος ἐστὶ

παρὰ

παρὰ τὸν Πατέρα, καὶ τὸ Πνεῦμα, καὶ ἐχ ὁ αὐτὸς τῷ Πατρὶ ἢ τῷ Πνεύματι· καὶ παρ' ἐκείνες ὡσαύτως, ἄλλος ἐστὶν ὁ παράκλητος παρὰ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ ἐχ ὁ αὐτὸς τῷ Πατρὶ ὅλως ἢ τῷ Υἱῷ· καὶ κυρίως Θεὸς ἐστὶν ὁ Πατὴρ, κυρίως Θεὸς ἐστὶν ὁ Υἱὸς, κυρίως Θεὸς ἐστὶν ὁ παράκλητος· καὶ ἄλλος ἐκ ἔστν. Πῶς ἓν τέτων ἔτως ἐχόντων, ἃ τρεῖς εἰσὶν ἐκεῖνοι Θεοὶ, ὥσπερ ἡμεῖς τρεῖς ἐσμὲν ἄνθρωποι; Ἀλλ' ἐκεῖνοι μὲν εἷς Θεὸς, ἡμεῖς δὲ τρεῖς ἄνθρωποι; ἐκεῖνος μὲν ἔτω πρᾶτεινεν· ἡμῖν δὲ καὶ ἑτοίμη πρὸς τᾶτο καὶ σαφὴς ἡ ἀπάντησις.

Ὅτι ἡμεῖς μὲν οἱ τρεῖς, τρεῖς λεγόμεθα ἄνθρωποι, καὶ ἐχ εἷς, ἐπεὶ τιὺ τᾷ ἑνὸς ἡμῶν ὁποίαν ἂν εἴποις ἐνέργειαν, ἔτε οἱ λοιποὶ δύο ἅμα, ἔτε ὁ εἷς ἡμῶν ἀποιοσῦν ἰδίᾳ ἔχει καθάπερ ἐκεῖνος· ἔτε χεῖν ταύτιν, τινὶ τρόπῳ δυώαται· ἔτε γὰρ ἐργαζομένε αὐτᾷ συνεργάζεται, ἔτε πεπαυμένε τῆς ἐνεργείας συγκαταπαύει· καὶ ἡ ἀπόδειξις πρόχειρος. Οὔτε γὰρ λαλᾶν τόνδε τινὰ τὸν λόγον ἐμᾶ, καὶ ὑμεῖς τὸν αὐτὸν συλαλεῖτέ μοι, ἔτε σᾶ γράφοντος τόδέτι γράμμα, ἐγώτε καὶ ἔτος τὸ αὐτό σοι ἐξ ἀνάγκης συγγράφομεν· ἔτε τέτε μελετᾶντος ὁποίαν εἴπης μελέτιν, καὶ ἡμεῖς ταύτιν ἅμα συμμελετῶμεν αὐτῷ. Ὁ δὲ Θεὸς ἡμῶν ἡ ἁγία Τριὰς, εἷς Θεὸς λέγεται καὶ ἃ τρεῖς· ὅτι τῶν δύο ὁποιωνᾶν προσώπων τῶν ἐκεῖ, τιὺ ἀΐδιον καὶ μίαν ἐνέργειαν ἐξ ἧς Θεὸς ὀνομάζεται ἴσιν κέκτηται τὸ λοιπὸν, καὶ μόνιμον, καὶ ὁλόκληρον, καὶ διαφορὰ ἐν αὐτοῖς ἐνεργείας ἐκ ἔστι.

Πάλιν τρεῖς ἡμεῖς ἄνθρωποι καὶ ἐχ εἷς, ὅτι τᾷ ἑνὸς ἡμῶν ἐπινοεμένε, ἢ ὑφισαμένε, ἢ ἀναιρεμένε, ἔτε συνεπινοᾶνται, ἔτε συνυφίσανται, ἔτε συναναιρᾶνται οἱ λοιποὶ, καὶ ὁ ἔλεγχος ἔγγισα· ἐδὲ γὰρ εἴτις νοήσει τᾶτον, ἐξ ἅπαντος τρόπε καὶ ἡμᾶς αὐτὰς συνοεῖ· ἐδὲ σᾶ ὑφισαμένε ἐκ μὴ ὄντος εἰς τὸ εἶναι, καὶ ἡμεῖς σοι συνυφισάμεθα· ἢ ἐμᾶ χωρᾶντος ἐπινοίας, ἢ καὶ ἀληθείας εἰς τὸ μὴ εἶναι, ἀθύς μοι καὶ αὐτοὶ συναπόλυσθε· εἷς

δὲ

δὲ Θεὸς τὰ τρία τῶν θείων προσώπων, ἐ τρεῖς· ὅτι Πατρὸς ἐπινοεμένε, ὑθὺς συνεπινοεῖται τέτῳ καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ Υἱῦ ὑφισαμένε ταῖς ἐπινοίαις, καὶ Πατὴρ ἅμα συνυφίσαται τέτῳ, καὶ ὁ παράκλητος· καὶ τῦ παρακλήτε ἀναιρεμένε τῇ ἐπινοίᾳ, συναναιρεῖται τέτῳ αὐτίκα Πατὴρ ὁμῦ καὶ Υἱός· τῦτο δὲ καὶ ἐπὶ τῆς τῶν τριῶν ὁμολογίας συμβαῖνον ἴδοι τις ἄν· ὁ γὰρ τὸν Πατέρα ὀνομάσας, συνεσήμανε τέτῳ καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ὅτι ὁ αὐτὸς Πατὴρ, καὶ τῦ Υἱῦ ἐσὶ Πατὴρ, καὶ προβολὴς τῦ ἁγίε Πνεύματος. ὁμοίως καὶ ὁ τὸν Υἱὸν ἀναγγείλας, τὸν τῦ ἀκέσαντος νεῦν αὐτίκα παρέπεμψεν ἐπὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἐπεὶ ὁ αὐτὸς Υἱὸς καὶ τῦ Πατρὸς καθ' ὑπόστασιν, καὶ τῦ ἁγίε Πνεύματος κατὰ τὸ ὁμοούσιον, λόγος ἐσίν. ὡσαύτως καὶ ὁ τὸ Πνεῦμα εἰπὼν, συμπεριέλαβε τῇ διανοίᾳ καὶ τὸν αὐτῦ προβολέα καὶ τὸν λόγον, ὑθύς· διότι τὸ αὐτὸ Πνεῦμα, καὶ προβολέως πρόβλημα, καὶ Πνεῦμα λόγε ἐσίν.

Ἔτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, εἷς ἐσὶ Θεὸς, καὶ ἐ τρεῖς· ὅτι ὅλος ὁ Πατὴρ ἐν ὅλῳ τῷ Υἱῷ καὶ τῷ Πνεύματι καθορᾶται· καὶ ὅλος ὁ Υἱὸς ἐν ὅλῳ τῷ Πατρὶ καὶ τῷ Πνεύματι θεωρεῖται· καὶ ὅλον τὸ Πνεῦμα ἐν ὅλῳ τῷ Πατρὶ ἢ τῷ Υἱῷ κατοπλάνελαι· καὶ ἑνὶ λόγῳ, ὅλα ἐν ὅλοις ἐσίν· ἡμεῖς δὲ τρεῖς ἐσμὲν ἄνθρωποι, καὶ ἐχ εἷς· ὅτι ἑδεὶς ἡμῶν ὁρᾶται ἐν τῷ ἑτέρῳ, ἔτε μερικῶς, ἔτε ὁλικῶς, ἔτε τινὶ τρόπῳ προσωπικῶς, ἑδεμιᾷ μηχανῇ. Οὔτε γὰρ ἐγὼ ἐν σοὶ, ἔτε σὺ ἐν ἐμοὶ· ἔτε σὺ ἐν τέτῳ, ἔθ' ἕτος ἐν σοί· ἔτ' ἐγὼ ἐν αὐτῷ, ἔτ' αὐτὸς ἐν ἐμοί. μόνον δὲ καθ' ἑαυτόν ἐσιν ἡμῶν ἕκαστος, καὶ ἐν αὐτῷ περιγράφεται. καὶ πρὸς τέτοις, ὅτι ἡμεῖς μὲν καὶ τόποις διιζάμεθα, καὶ τρόποις διαφέρομεν, καὶ χρόνοις, καὶ δυνάμεσι, καὶ θελήμασι, καὶ ἐπιτηδεύμασι, καὶ ἀξίαις, καὶ πλείοσιν ἄλλοις· ὁ μὲν γὰρ τῶν ἀνθρώπων, ὡς ἅπαντες ἴσε, ἔσιν ὅτε διάγων ἐν Βρεττανίαις, ὁ δὲ μένει ἐνθάδε, ὁ δὲ περιάγει εἰς Δαμασκόν· καὶ

καὶ ὁ μὲν ἀνδρεῖος ἐστὶν, ὁ δὲ πᾶν τἐναντίον δειλὸς, ὁ δὲ μέσος· καὶ ὁ μὲν νεώτερος, ὁ δὲ ἀνὴρ, ὁ δὲ πρεσβύτης· καὶ ὁ μὲν ὀξὺς πρὸς μάθησιν, ὁ δὲ ἀλογίας ἐγγὺς, ὁ δὲ ἐπαμφοτερίζει· καὶ ἕτος μὲν ἀγαθὸς εἶναι βέλεται, ἐκεῖνος δὲ τἐναντίον, ὁ δὲ ποτὲ μὲν τᾶτο, ποτὲ δὲ ἐκεῖνο· καὶ ὁ μὲν ἔμπορος ἴσως, ὁ δὲ μελωδὸς, ὁ δὲ γηπόνος ἐστί· καὶ ὁ μὲν μείζων, ὁ δὲ ἐλάττων, ὁ δὲ μέτριος· ἢ ἡλικία, ἢ ἀξία, ἢ καὶ ἀμφότερα. Τὰ δὲ θεῖα πρόσωπα πρὸς τῷ μηδενὶ τῶν εἰρημένων ὑποκεῖθαι, ἄκρα καὶ ἀῤῥήτῳ ἑνώσει σωδέδεται· τὶς ἦν καθ' ἡμᾶς ἔτι τόμα διάραι τολμήσει, εἰ μὴ πάντη ἔσαι ἠλίθιος;

Ἀλλὰ πῶς φησὶν, εἶπερ εἷς καὶ εἷς, οὐχὶ δύο θεοί; τᾶτο ὁ μέγας Βασίλειος ἐρωτηθεὶς πρὸ ἡμῶν ἀπεκρίνατο· εἰπὼν ὅτι βασιλᾶς λέγεται καὶ ἡ τᾶ βασιλέως εἰκὼν, καὶ ἐ δύο βασιλεῖς· ἅτε γὰρ τὸ κράτος ἔχισαι, ἅτε ἡ δόξα μερίζεται· ὡς γὰρ ἡ κρατᾶσα ἡμῶν ἀρχὴ καὶ ἐξσία μία, ἅτω καὶ παρ' ἡμῶν δοξολογία μία, καὶ ἐ πολλαί· διότι ἡ τῆς εἰκόνος τιμὴ ἐπὶ τὸ πρωτότυπον διαβαίνει· ὃ ἦν ἐστὶν ἐνταῦθα μιμητικῶς ἡ εἰκὼν, τᾶτο ἐκεῖ φυσικῶς ὁ Υἱός· καὶ ὥσπερ ἐπὶ τῶν τεχνιτῶν κατὰ τὶὼ μορφὶὼ ἡ ὁμοίωσις, ἅτω καὶ ἐπὶ τῆς θείας καὶ ἀσιωθέτε φύσεως ἐν τῇ κοινωνίᾳ τῆς θεότητος ἐστὶν ἡ ἕνωσις· ὧ δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον καὶ αὐτὸ μοναδικῶς ἐξαγγελόμενον, καὶ δι' ἑνὸς Υἱᾶ τῷ ἑνὶ Πατρὶ σωαπλόμενον, καὶ δι' ἑαυτᾶ συμπληρᾶν, τὶὼ πολυύμνητον καὶ μακαρίαν Τριάδα· ὥσπερ γὰρ τὸ Πνεῦμα ὁ Θεὸς κατὰ τὸ ναὸς Θεᾶ ἐστὲ, καὶ τὸ Πνεῦμα τᾶ Θεᾶ οἰκεῖ ὧ ἡμῖν· ἅτω καὶ ὁ Θεὸς τὸ Πνεῦμα, τῆς τριάδος μὴ διακοπλομένης, μηδὲ χωριζομένης τὶὼ Φύσιν, εἰ καὶ τὰ ὀνόματα χωρίζοιτο· διόπερ καὶ ἑνὸς ὄντος Θεᾶ τᾶ Πατρὸς, Θεὸς ὁ Υἱὸς Πατρικῇ Φύσει, καὶ Πατρικῷ ὀνόματι· καὶ ἑνὸς ὄντος Κυρίε τᾶ Υἱᾶ, Κύριος ὁ Πατὴρ τῷ τῆς εἰκόνος ὀνόματι καλέμενος, ὡς πρωτότυπος αὐτῆς καὶ γεννήτωρ· ἅτω καὶ τὸ Πνεῦμα Κύριος ἀπὸ τᾶ Κυρίε τὶὼ ἐπωνυμίαν ἔχον, ἀφ' ἧ καὶ μεταδίδοται· καὶ ὁ

Κύριος

Κύριος ἀπὸ τῆς εἰκόνος Πνεῦμα, ἐπεὶ καὶ ὁ Θεὸς Πνεῦμα ἀπ' αὐτῆ προσηγόρευται· ἐδὲ τρεῖς Θεὸς, ἐδὲ τρεῖς Κύριος, ἐδὲ τρία Πνεύματα διὰ τῆτο ποιητέον· ἀλλὰ τῆς τριάδος τὴν ἕνωσιν, ἐν τῇ κοινωνίᾳ τῶν ὀνομάτων ἐπιγνωστέον· καὶ ὧδε μὲν ὁ ἀρανοφάντωρ, ἅτε ἀρανοφάντωρ, θαυμασίως πρὸς τὴν πεῦσιν ἀπεκρίνατο.

Ὡς ἂν δὲ καὶ ἐν ἡμῖν αὐτοῖς τὸν ἡμέτερον ἐπιγνῶμεν Θεόν· ὅτι μονὰς καὶ τριὰς ὁ αὐτὸς, ἐξ εἰκόνος καὶ αὐτῷ προσφιλὲς καὶ ἡμῖν συμφυὲς, τῆτο τοῖς νῦν ἔχεσιν ἀποδεῖξαι πειράσομαι· ἀλλὰ προσέχετε ἀξιῶ. Ἐπεὶ εἰκὼν τῆ Θεῆ ὁ ἄνθρωπος καὶ λέγεται καὶ ἐστὶ, κατὰ τὴν τῆς ψυχῆς διάπλασιν ἢ κατὰ τὴν τῆ προσώπε μορφὴν, δεῖ πάντα τὰ ἐν τῇ εἰκόνι ταύτῃ κατὰ χάριν φαινόμενα, κατὰ φύσιν πιςεύειν ὑπάρχειν ἐν τῷ ἀρχετύπῳ. Ἀρχέτυπον γάρ ἐστιν, ἀρχὴ καὶ παράδειγμα ὑφεσηκὸς, τῆ ἀπ' αὐτῆ χαρακτηριζομένε εἴδες, καὶ τῆς μορφῆς τῆ προσεοικότος αἴτιον. καὶ εἰκὼν ἐστιν ὁμοίωμα ἀρχετύπε, ὅλον ἐν ἑαυτῇ τῆ ἐντυπεμένε τὸ εἶδος, διὰ τῆς ἐμφερείας ἀναπομπλομένη, τῷ διαφόρῳ τῆς ὑσίας κατὰ τὴν ὕλιν μόνῳ παραλλάττεσα. Ἐν τῇ ἀνθρωπείᾳ τοίνυν ψυχῇ, νῆς θεωρεῖται καὶ λόγος καὶ πνεῦμα, ἅμα μονὰς τὰ αὐτὰ, καὶ ἅμα τριὰς τὰ αὐτὰ ἀληθείᾳ· καὶ τρία ταῦτα καὶ ὄντα ἓν· καὶ ἔτε τὸ εἶναι τρία κωλύει τὸ καὶ ἓν εἶναι ταῦτα, ἔτε τὸ ἕμπαλιν, τὸ ἓν εἶναι ταῦτα, παρεμποδίζει τὸ καὶ τρία ὑπάρχειν· ἀλλ' ὅλον ἐστὶ καὶ ἕκαστον ἐν ὅλοις, καὶ ὅλα ἑλικῶς ἐν ἑκάστῳ· νῆς γὰρ καὶ λόγος καὶ πνεῦμα ἐστὶν ἡ ψυχὴ, καὶ ἐν νοῖ καὶ λόγῳ καὶ πνεύματι ἐστὶν ἡ ψυχή· ἔτε νῆς καθ' αὐτὸν, ἔτε λόγος ἰδίως, ἔτε πνεῦμα χωρὶς, ἀλλ' ὁμῆ τὰ τρία μία ψυχή· ὅλη ἐν ὅλῳ τῷ νῷ ἡ αὐτὴ, καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ νῆς, καὶ ὅλη ἐν ὅλῳ τῷ λόγῳ ἡ αὐτή· καὶ ὅλος ἐν ὅλῃ τῇ αὐτῇ ὁ λόγος· ὅλη ἐν ὅλῳ τῷ πνεύματι ἡ αὐτὴ, καὶ ὅλον ἐν ὅλῃ τῇ αὐτῇ τὸ πνεῦμα· ἐ γὰρ ἐκ μέρες ἡ ψυχὴ ἐν τῷ νῷ, ἢ τῷ λόγῳ, ἢ τῷ πνεύματι πέφυκεν, ἀλλ' ὅλη ἐστὶν ἡ αὐτὴ

τὴ

τὴ τελεία τελείως ἐν τοῖς τρισί· καὶ ὅλα τὰ τρία τέλεια τελείως ἐστὶν ἐν ὅλῃ τῇ ψυχῇ· μᾶλλον δὲ ταῦτα ἐστὶν ἡ ψυχή· ὅλος γὰρ ἐν ὅλῳ τῷ λόγῳ καὶ τῷ πνεύματι τελείως ἐστὶν ὁ νοῦς· καὶ ὅλος ἐν ὅλῳ τῷ νοΐ καὶ τῷ πνεύματι τελείως ἐστὶν ὁ λόγος, καὶ ὅλον ἐν ὅλῳ τῷ νῷ καὶ τῷ λόγῳ τελείως ἐνυπάρχει τὸ πνεῦμα· διὸ καὶ μία ψυχὴ ὁ νοῦς ὁ λόγος καὶ τὸ πνεῦμα ἐστί· καὶ γὰρ ὁ τὸν νοῦν εἰρηκὼς, σιωπήρηκέπως καὶ τὸν λόγον καὶ τὸ πνεῦμα εὐθύς· ὅτι ὁ αὐτὸς καὶ εἷς νοῦς διαφόρως τότε λόγε ἐστὶ καὶ τῦ πνεύματος αἴτιος· τῦ μὲν γὰρ ἄτε γεννήτωρ, ὡς προϊὼν ὁ λόγος δηλώσει, τῦ δὲ καθὸ προβολεύς· ἀπαθῶς μέντοι ἀῤῥεύτως καὶ ἀκαμάτως ἀμφοῖν· καὶ ὁ τὸν λόγον δηλώσας, καὶ τὸν νοῦν καὶ τὸ πνεῦμα, τότω σαφῶς σιωεδήλωσεν· ὅτι ὁ αὐτὸς καὶ εἷς λόγος, τῦ νῦ καὶ τῦ πνεύματος ἐστὶ λόγος· ἀλλὰ τῦ μὲν νῦ, ὡς ἐξ αὐτῦ γεννηθείς· τῦ δὲ πνεύματος, καὶ καθὸ λόγος ἔμπνεος, καὶ ὡς αὐτῷ συμφυής· καὶ ὁ τὸ πνεῦμα ἐξαγγείλας, καὶ τὸν νοῦν αὐτῷ καὶ τὸν λόγον ὁμῦ σιωεξήγγειλεν, ὅτι τὸ αὐτὸ καὶ σὺ πνεῦμα, καὶ τῦ νῦ καὶ τῦ λόγε πνεῦμα ἐστίν· ἀλλὰ τῦ μὲν νῦ ὡς ἐξ αὐτῦ προϊὸν, τῦ δὲ λόγε καὶ καθὸ σιωαιτιατὸν αὐτῷ ἐκ τῦ νῦ, καὶ ὡς αὐτῷ συμφυές· ἔχει γὰρ καὶ ὁ νοῦς συμφυῆ καὶ σιωάναρχον λόγον, ἅμα καὶ τὸ πνεῦμα, ἵνα μὴ ἄπνεος καὶ ἄλογος ᾖ· πλατεῖ καὶ ὁ λόγος νῶν τε καὶ πνεῦμα, ὡς ἂν μὴ ἄνους καὶ ἄπνους νομίζηται· διμοιρεῖ καὶ τὸ πνεῦμα λόγε δήπε καὶ νῦ, ἵνα μὴ ἄνευ καὶ ἄλογον λέγηται. Μηδεὶς δὲ λόγον ἀκέων τὸν προφορικὸν τῦτον οἰέσθωμε λέγειν, τὸν διὰ τῶν φωνητικῶν ὀργάνων ἠχέμενον· ἢ πνεῦμα πάλιν τιὼ εἰσπνοιὼ καὶ ἐκπνοιὼ ἡμῶν ταύτιω, τιὼ διὰ τῦ πνεύμονος ἐνεργεμένιω· ἀλλὰ λόγον τὸ λογιστικὸν τῆς ψυχῆς μέρος ἐκεῖνο, καθ' ὃ πάντες λογικοὶ λεγόμεθα, καὶ πνεῦμα πάλιν τὸ μόνιμον ταύτης μέρος, καὶ νοητῶς ἠρεμῶν καὶ ἀδιασκέδαστον· πλιὼ εἰ καὶ ἄλλος ἐστὶν ὁ νοῦς, ἄλλος ὁ λόγος, ἄλλος τὸ ἑδετέρως ὅτω λεγόμενον πνεῦμα· ἀλλ' ὅτω πρὸς ἄλληλα κατ' ἄκραν σύνσιν ἰῶνται, ὡς τῦ ἑνὸς ἐπινοεμένυ

νοημένα ὅλα τῷ ἑνὶ συνεπινοεῖσθαι· καὶ τὰ ἑνὸς ἀναιρεμένα, συναναιρεῖσθαι καὶ τὰ λοιπά· καὶ τὰ ἑνὸς ὑφισαμένα, καὶ τἆλλα ὑθὺς συνυφίσασθαι· καὶ μήτε τὸν νῶν ἄνευ τῆς λόγου χωρὶς, ἢ τῆς πνεύματος, μήτε τὸν λόγον δίχα τῆς νῶ, ἢ τῆς πνεύματος, μήτε τὸ πνεῦμα ἀνεὺ τῆς νῶ, ἢ τῆς λόγου ποτὲ, ἀλλ' ἅμα νῶς λόγος πνεῦμα ἐστὶ, καὶ ἑνῶται διηρημένως, καὶ διαιρεῖται οὐ μεμερισμένως.

Πάλιν εἰ καὶ ἔντι πέφυκεν ἡ τῆς Θεῆς εἰκὼν αὕτη, τοῖς καθαρὸν νῶν ἔχουσι θεωρέμενον, νῶς, λόγος, πνεῦμα· ἑνιζόμενον καθ' αὑτὸ, ταυτιζόμενον, συναιρέμενον, ἀλλ' ἡ ἑκάστε ἰδιότης τῶν λοιπῶν δύο, τέτων ἕκαστον διαιρεῖ· ὅτι ὁ νῶς γεννᾷ μὲν τὸν λόγον, ἔστι δ' ἀγέννητος· καὶ ὁ λόγος, γεννᾶται μὲν ὑπὸ τῆς νῶ, γεννᾷ δὲ ὁ αὐτὸς ἁπάντα· καὶ τὸ πνεῦμα πρόεισι μὲν καὶ αὐτὸ ἐκ τῆς νῶ, ἔτε δὲ γεννᾷ, ἔτε γεννᾶται ποσῶς· ἀλλ' ὥσπερ τὸ κοινὸν τοῖς τρισὶν ἄτμητον μένει καὶ ἀδιαίρετον, ἔτω καὶ τὸ ἴδιον ἑκάστε τοῖς λοιποῖς δυσὶ, πάντῃ φυλάττεται ἄμικτον· ἔτε γὰρ ὁ νῶς ἐκ νῶ γεννᾶται, καθάπερ ὁ λόγος· ἔτε πρόεισιν ὅλως, ὃν τρόπον τὸ πνεῦμα παράτινος, ἀλλὰ μόνος ἀγέννητος μένει, ἄτρεπτον πάντῃ τιὼ ἰδίαν τηρῶν ἰδιότητα· ἔτε μιὼ ὁ λόγος ἀγέννητος ἐστὶ, καθάπερ ὁ νῶς, ἔτε καθ' ὃν τρόπον τὸ πνεῦμα, τέτον πρόεισι καὶ αὐτὸς ἐκ τῆς νῶ, ἀλλὰ μόνος γεννᾶται ἀπαθῶς παρ' αὐτῆς, καὶ ἀναλλοίωτον ὅλως φυλάττει τὸ ἴδιον ἑαυτῆς· ἔτε τὸ πνεῦμα ἀγέννητόν ἐστι κατά γε τὸν νῶν, ἔτε γεννᾶται κατὰ τὸν λόγον ἐκ νῶ, ἀλλὰ πρόεισι μόνον ἀρρήτως καὶ αὐτὸ ἐκ τῆς νῶ, ἄλλον τρόπον ἀνέκφρασον, καὶ ἀμιγὲς τὸ οἰκεῖον ἰδίωμα κατὰ πάντα τηρεῖ. Εἰ γῶν ταῦτα ἀμυδρῶς θεωρεῖται ὡς ἐν εἰκόνι ἐν τῇ εἰκόνι, πολλῷ μᾶλλον ἀναγκη ἐν τῷ ἀρχετύπῳ τὰ πάντα προϋφεσάναι· πλιὼ ὧδε μὲν κατὰ τὸν τῆς ποιήσεως λόγον· „ ποιήσωμεν γὰρ φησὶν ἄνθρωπον κατ' εἰκόνα ἡμε- „
τέραν καὶ καθ' ὁμοίωσιν· ἐκεῖ δὲ ὑπὲρ ἅπαντα λόγον καὶ „
νῶν. Πλιὼ ἐπεὶ ἐδὲν τῶν τῆς Θεῆς ἀνυπόστατον, ἐνυπόστατα λέγομεν τὰ ἐκεῖ ἐπὶ τῆς θεότητος θεωρέμενα, καὶ

πρόσωπα τρία ἐνέρνεια φύσει μιᾷ· ἡ ταῦτα ἐστὶν ἡμῖν ὁ Πατὴρ, ἡ ὁ Υἱὸς, ἡ τὸ ἅγιον Πνεῦμα· ἐ Θεὸν ἡ Θεὸν ἡ Θεὸν, ἄπαγε, δογματίζεσι, πολυθεΐα γὰρ ἄντικρυς τοῦτο καὶ ἄλλος ἑλλωισμὸς, ἀλλὰ τὰ τρία ἐκεῖνα τῆς ὑποστάσεως δοξάζομεν ἕνα τῇ φύσει Θεόν· καθὰ δήπε καὶ ἐν ἡμῖν θεωρεῖται καὶ εἶναι πιςεύεται, νοῦς καὶ λόγος ἡ πνεῦμα, ἐ ψυχὴ καὶ ψυχὴ καὶ ψυχή· ἀλλὰ τὰ τρία ταῦτα ταῖς ἰδιότησι, μία τῇ φύσει ψυχή.

Οὐκοῦν ὁ Θεὸς ἡμῶν, μονάς τε ἐστὶν ὁ αὐτὸς, καὶ τριὰς ἀληθέσατα, ὅπερ καὶ ἡμῖν ἔδει δεῖξαι, καὶ δέδεικται καθ' ὅσον ἡμῖν ἐφικτὸν ἐν εἰκόνι· καὶ πᾶσιν ἐχρὴν ἀνθρώποις τοῦτο πιςεύεσθαι, ὡς ἄρα τοῖς ὀρθοδόξοις πιςεύεται. Τῷ μέντοι τολμήσαντι ἀπαντῆσαι, ὅτι τριμερὲς τῆς ψυχῆς, λογισμὸς καὶ θυμός ἐσι καὶ ἐπιθυμία, ἃ νοῦς καὶ λόγος καὶ πνεῦμα, ἀρκεῖ ἀποφήνασθαι, ὡς ὁ θυμὸς καὶ ἡ ἐπιθυμία τὰ ἀλογωτέρα μέρεα εἰσὶ τῆς ψυχῆς, ὥσπερ καὶ φαντασία καὶ αἴσθησις· καὶ συμελόντα φράσαι, καθὰ τοῖς ἀλόγοις ζώοις κοινωνοῦμεν· ἅπερ τῆς ὑπὲρ πᾶσαν ἀπάθειαν ἀπαθεσάτης τριάδος, ἐκ ἔστιν εἰκών. Εἰ δέτις λέγοι πρὸς ταῦτα, μὴ αἴσθησιν ἔχειν τῶν παρ' ἡμῶν λεγομένων, καὶ ἐν αὐτῷ φυσικῶς πεφυκότων, οἰκειότερον δὲ εἰπεῖν ἑαυτῷ, ὅτος ἢ ἐγγύς ἐστιν ἀλογίας, ἢ πόρρω νοῦ καὶ φρενῶν· εἰ γὰρ ἑαυτὸν ἐκ ἐπίσαται, πῶς ἄλλοτι τῶν ὄντων ἐννοήσει, ἢ τὸν τῶν ὅλων δεσπότην Θεὸν ἐπιγνώσεται; ἡμεῖς μέντοι ἀνδράσι νοῦν ἔχουσι καὶ λόγε μετόχοις τῷ Αὐτοκράτορι παρεσῶτες ταῦτα διαλεγόμεθα, πρὸς δὲ τὰς ἀλογίας συζῶντας, ἡμῖν λόγος ἐδείς· πλὴν ὡς ἂν εἴτις ἀνδρῶν, τινὸς τῶν ἐγκυπλόντων κατόπλρω ἱσάμενος ὄπιθεν, αὐτὸν μὲν εἰς πρόσωπον, διὰ τὸ κατόπιν ἑσάναι, ὁποῖος ἐκ ἔχει βλέπειν, πᾶσαν δὲ καθὰ διαπλάσεως ἔχει τὴν ἐκείνε μορφὴν διαρρήδην ἐν αὐτῷ καθορᾷ τῷ κατόπλρῳ, ἕτω τοῖς ἔχουσι νοῦν, καὶ εἰς τὴν ἀνθρωπίνην ἐνορῶσι ψυχὴν, εἰκονικῶς πάντα ἐκεῖ τὰ θεῖα πρόσωπα κατοπλόμενα. Καὶ γὰρ τοῦντι κάτοπλρον ἐναργὲς τῆς ὑπερθέε Τριάδος ἡ ἀνθρωπίνη ψυχὴ.

ψυχὴ, ἀνεξαλείπ[τ]ες ἀ ἑαυτῇ τὰς θείας ἀκτῖνας ἐμφάνεσα, καὶ τὰς ἐκεῖσε χαρακτῆρας, ὧδε σαφεῖς παρισῶσα· καὶ πρωτότυπον μὲν φύσει, κἂν ὕστερον πέπλασται, τἄλλα γοῦν τῶν ζώων ἔχε τὸν ἄνθρωπον, θείᾳ δὲ χάριτι ἄνθρωπος ἀρχέτυπον ἑαυτῷ τιὼ ἀνωτάτω Τριάδα ἠυμοίρησε. Καὶ ὃν τρόπον τὸ τῆς σελιώης τό δε στοιχεῖον, οἰκεῖον μὲν ἐ κέκτηται φῶς, ᾗ γὰρ ἂν ἄλλος ἥλιος ἰῶ· ἐξ ἡλίε δὲ τᾶτο δεχόμενον αὐτότε φωτίζεται, καὶ πᾶν τὸ περίγειον κατ' ἀνταναίκλασιν περιλάμπει, καὶ δᾶτερος ἐσὶν ἥλιος νυκτὸς ἀνταγωνισὴς, ἕτω καὶ τὸ λογικὸν τετὶ ζῶον ὁ ἄνθρωπος, οἴκοθεν μὲν, θεῖον ἐ κέκτηται φῶς· ἰῶ γὰρ ἂν ἄλλος ἔτος Θεός· Θεοδόχος δὲ χάριτι θείᾳ, καὶ φωτοδόχος ὑπάρχων, θεόθεν καταλάμπεται, καὶ κατὰ δᾶτέραν διάδοσιν πολλὰς περιλάμπει, καὶ Θεὸς δᾶτερος γίνεται, τῆς ἁμαρτητικῆς σκοτομιώης ἀντίπαλος. Καὶ καθάπερ ἠράνιος αἴγλη κατὰ καιρὲς, ὕλῃ τινὶ περιγείῳ κρυσαλώδειτε καὶ διαφανεῖ εἰς ταὐτὸν ἀχωρίτως σιωερχομένη, καὶ οἷον συμπηγνυμένη, ἀειφανῆτε καὶ τίμιον λίθον σιωίτησιν, ἐξ αὐτᾶ οἱονεὶ φεγγοβόλες ἀκτῖνας ἐκπέμποντα, ἕτως ἐκ τᾶ Πατρὸς ἄρα τῶν φώτων ἀκαμάτως ἀκτὶς προϊᾶσα, καὶ φθάνεσα μέχρις ἀνθρώπων, κεκαθαρμένας ἐνοικᾶσα καρδίας, ἀκτινοβόλες αὐτὰς καὶ φωταυγεῖς ἀποδείκνυσιν· ἃ μένον ἐν τῷ φθειρομένῳ τέτῳ αἰῶνι ἁπλῶς, ἀλλὰ καὶ πολλαπλῶς ἐν τῷ μέλλοντι, κατὰ τὸ ὑπὸ τᾶ Κυρίε εἰρημένον, τότε οἱ δίκαιοι ἐκλάμψεσιν ὡς ὁ ἥλιος· καθὼς ἄρα καὶ τοῖς ἁγίοις πατράσι δοκεῖ.

Ὅτι ἡ τελεία τᾶ Πνεύματος ἔλλαμψις, ἐχ οἷον νοημάτων μόνον ἐσὶν ἀποκάλυψις, ἀλλ' ὑποστατικὲ φωτὸς ἐν ταῖς ψυχαῖς βεβαία καὶ διηνεκὴς ἔλλαμψις· τὸ γὰρ „ὁ εἰπὼν ἐκ σκότες φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν· καὶ τὸ, φώτισον τὰς ὀφθαλμές με μή ποτε ὑπνώσω εἰς θάνατον· καὶ τὸ, ἐξαπόστειλον τὸ φῶς σε, καὶ τιὼ ἀληθειάν σε, αὐτά με ὡδήγησαν, καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σε, καὶ εἰς σκιώματα

„ δόξης σε· καὶ τὸ, ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τῦ προ-
„ σώπε σε· καὶ πάνθ' ὅσα τύτοις παραπλήσια, τὸ αὐ-
τὸ παρίσησι. Καὶ ὥσπερ ἀπὸ πυρὸς ἄπλονται λύχνοι
πολλοὶ, καὶ εἰσὶν αἱ λαμπάδες καιόμεναι, ἀπὸ μιᾶς φύ-
σεως δηλονότι φάνσαι τῦ πυρὸς, ἕτω καὶ οἱ χρισιανοὶ
ἀπὸ μιᾶς φύσεως τῦ θείε πυρὸς τῦ Υἱῦ τῦ Θεῦ ἀνά-
πλονται, καὶ ἔχσι τὰς λαμπάδας αὐτῶν καιομένας ἐν
ταῖς καρδίαις αὐτῶν, ἢ φάνσι κατενώπιον αὐτῦ, Χρι-
„ σοὶ ὄντες αὐτὸς καὶ αὐτοί· λέγει γὰρ „ διὰ τῦτο ἔχρι-
„ σέ σε ὁ Θεὸς ὁ Θεός σε ἔλαιον ἀγαλλιάσεως παρὰ τὺς
„ μετόχες σε· Χρισὸς γὰρ ἐπεκλήθη, ἵνα τῷ αὐτῷ ἐλαίῳ,
ᾧ αὐτὸς ἐχρίσθη, καὶ ἡμεῖς δι' αὐτῦ χρισθέντες γενώμε-
θα Χρισοὶ, μιᾶς ὡς εἰπεῖν ἐσίας, καὶ ἐν σῶμα ὄντες·
„ λέγει γὰρ πάλιν, „ ὅ, τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι
„ ἐξ ἑνὸς πάντες· καὶ περὶ Ἰωάννε δὲ λέγει ὁ Κύριος,
ἐκεῖνος λῷ ὁ λύχνος ὁ καιόμενος, διὰ τὸ Πνεῦμα τὸ ἅγιον
τὸ ἄπλον ἐν αὐτῷ, καὶ ἐκκαῖον αὐτῦ τὴν καρδίαν. Καὶ
καθάπερ ἡλίε βολαὶ φωτίσασαι νέφος ἐκλάμπειν αὐτὸ
ποιῆσι χρυσοειδῆ ὄψιν ποιῆσαι, ἕτω καὶ Πνεῦμα ἅγιον
ἐπελθὸν εἰς ἀνθρώπε ψυχὴν, ἔδωκε μὲν ζωὴν, ἔδωκε δὲ
ἁγιασμὸν, ἔδωκε δὲ ἀθανασίαν, ἤγειρε δὲ νέκρον· τὸ
δὲ κινηθὲν ὑπὸ Πνεύματος ἁγὶς κίνησιν ἀΐδιον, ζῶον
ἅγιον ἐγένετο· ἔχε δὲ τὴν ἀξίαν ἄνθρωπος Πνεύματος
εἰσοικισθέντος, Προφήτε, Ἀποσόλε, Ἀγγέλε, Θεῦ.
Καὶ ὥσπερ τῦ ἡλίε ἐν μεσημβρίᾳ λάμποντος, τὸ ἐκ-
πεμπόμενον μὲν ἐξ αὐτῦ φῶς τρανῶς καθορῶμεν, ἐκεῖνον
δὲ ἀναργῶς κατιδεῖν καὶ καταμαθεῖν ἐκ ἰσχύομεν, ὅμως
δὲ βλέπειν αὐτὸν ἐπ' ἀληθείας λέγομεν, ἕτω καὶ οἱ ἄγ-
γελοι καὶ οἱ ἅγιοι τὴν ἀτρέπλεσαν δόξαν καθορῶντες
τῦ Πνεύματος, ἐν αὐτῇ καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα
ὁρῶσιν· ἐχ ἕτω δὲ καὶ οἱ ἁμαρτωλοὶ καὶ οἱ ἀκάθαρτοι·
ἐκεῖνοι γὰρ τυφλοῖς καὶ ἀναισθήτοις ἐοίκασιν. Ὥσπερ γὰρ
οἱ τυφλοὶ τὸ φῶς τῦ αἰσθητῦ ἡλίε λάμπον ἐ βλέπεσιν,
ἕτω δὴ καὶ αὐτοὶ τὸ θεῖον φῶς ἀεὶ φαῖνον ἐ καθορῶσιν,
ἅτε μὴ ἐπαισθάνονται τῆς θέρμης αὐτῦ.

Ὅτι

Ὅτι ὁ κατ' οὐσίαν ἀληθῶς φῶς ὑπάρχων Θεὸς, ἐν τοῖς ἐν αὐτῷ διὰ τῶν ἀρετῶν περιπατοῦσιν ἐστὶν, ἀληθῶς φῶς γινόμενος. Ὥσπερ οὖν τὸ κατὰ μέθεξιν φῶς, οἱ ἅγιοι πάντες διὰ φιλοθεΐαν ἐν τῷ κατ' οὐσίαν γίνονται φωτὶ, οὕτω τὸ κατ' οὐσίαν, ἐν τῷ κατὰ μέθεξιν φωτὶ διὰ φιλανθρωπίαν γίνεται φῶς. Ἐὰν οὖν ὦμεν κατὰ τὸν ἀρετὸν καὶ τὸν γνῶσιν ὡς ἐν φωτὶ τῷ Θεῷ, καὶ αὐτὸς ὁ Θεὸς, ὡς φῶς ἐν φωτὶ ἐστὶν ἐν ἡμῖν· ὁ γὰρ Φύσει φῶς Θεὸς, ἐν τῷ μιμήσει γίνεται φωτὶ, ὡς ἐν εἰκόνι ἀρχέτυπον· κἂν βίον παρέχοι τις αὐτῷ καθαρὸν, μένει διὰ παντὸς οἰκεῖν ἔνδον· τὸ γὰρ, „ ὁ ἀγαπῶν ἐμὲ τὰς ἐντολάς μου τηρήσει, καὶ ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν· καὶ τὸ, ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· τὸ, φῶς δικαίοις διὰ παντός· τὸ, ἐν τῷ φωτὶ σου ὀψόμεθα φῶς· τὸ, ὡς τέκνα φωτὸς περιπατεῖτε, ἵνα Υἱοὶ φωτὸς γένησθε· τὸ, ὁ Θεὸς φῶς ἐστὶ, καὶ ἐὰν ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτὶ, καὶ ὅσα τοιαῦτα, καὶ πρὸς τὸ φῶς ἡμᾶς ὁδηγεῖ, καὶ φῶς γενέσθαι παρακαλεῖ. Οἱ γὰρ χριστιανοὶ ἄλλο αἰῶνος εἰσὶ γέννημα καινόν· κολυμβήθρας ἁγίας, καὶ Πνεύματος ἁγίου τέκνα φωτεινά· Υἱοὶ τοῦ Πατρὸς αὐτῶν τοῦ Ἀδὰμ τοῦ πνευματικοῦ τοῦ φωτεινοῦ· ἐκείνης τῆς πόλεως, ἐκείνου τοῦ γένους, ἐκείνης τῆς δυνάμεως· ἐκ εἰσὶ τοῦ κόσμου τούτου, ἄλλου κόσμου εἰσὶν· αὐτὸς γὰρ ὁ Κύριος λέγει, „ ὑμεῖς ἐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου.

Ἀλλ' ὢ τῆς ζημίας ἐμοί! πῶς παρεπρεσβεύμην τοσαύτην χάριν; πῶς τοιούτου φωτὸς ἐστερήθην; βαβαί! εἰ τυφλῷ μεγάλη ζημία τὸ μὴ βλέπειν τὸν ἥλιον, πόση ἐμοὶ τῷ ἁμαρτωλῷ συμφορὰ τοῦ ἀληθινοῦ ἐστερῆσθαι φωτός; ὅσοι γὰρ πνευματοφόροι φῶς φορεῦσι, καὶ οἱ φορεῦντες φῶς, Χριστόν εἰσιν ἐνδεδυμένοι· καὶ οἱ ἐνδεδυμένοι Χριστὸν, τὸν Πατέρα ἐνδέδωται· „ δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν· “ οἱ γὰρ φορεῦντες τὸ Πνεῦμα

τȣ̃ Θεȣ̃ ἀφθαρσίαν φορȣ̃σιν· ἀφθαρσία δὲ ἐςὶν ὁ Θεός. Ταῦτα δὲ πάντα μοι εἴρηται ȣ̓χ ἁπλῶς, ἀλλ' ὡς ἂν τȣ̃ ἀρχετύπȣ ἐκείνȣ τῆς πανταιτίȣ λέγω Τριάδος, τὴν πρὸς τὴν αὐτῆς εἰκόνα παραθήσω ἑνότητα· τὴν ἀληθῆ τωόντι ἀνθρώποις καὶ μόνην εὐγένειαν. Καὶ ὅτι ὥσπερ
„ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σὰρξ ἐςὶ πάντως, καὶ τὸ
„ γεγεννημένον ἐκ τȣ̃ Πνεύματος Πνεῦμα· ȣ̓τω καὶ τὸ γεγεννημένον ἐκ τȣ̃ Φωτὸς Φῶς ἐςὶ καὶ αὐτὸ κατὰ μέθεξιν· διὸ καθ' ὑπεροχὴν ἄπειρον. Πρῶτον μὲν Φῶς ἐςὶν ὁ Θεός· δεύτερον δὲ Φῶς ἄγγελος· καὶ τρίτον Φῶς τȣτὶ τὸ θεοφιλέςατον ζῶον ὁ ἄνθρωπος.

Ἐπιγνῶμεν τοίνυν ἐκτȣ́των ἡμᾶς αὐτȣ̀ς ἄρχοντες, οἰκειότερον δὲ εἰπεῖν ἄνθρωποι· μάθωμεν τὶ ἐςὶν ἄνθρωπος· τὶς ἡ ἀνθρωπίνη ψυχή· καὶ τὶ τὸ ἀνθρώπινον ἀγαθόν· καὶ ὡς ἔτι καιρὸν ἔχομεν, σπεύσωμεν τȣ̃το προσκτήσασθαι, καὶ ζῆσαι κατὰ ψυχὴν, καὶ τὴν θείαν εἰκόνα τιμῆσαι, ἢν πολλαχῶς, ἀλλὰ σιγάσθω τὸ βλάσφημον. Ταῦτα καὶ ἐμοὶ λέγω, ȣ̓ μόνον ὑμῖν, καὶ μᾶλλον ἐμοί. Ὅτι ἡ ψυχὴ ἐὰν λόγον μὲν ἔχῃ, ἔργον δ' ȣ̓κ ἔχῃ, ἔοικε δένδρῳ φύλλα μὲν ἔχοντι, καρπὸν δ' ȣ̓· εἰ δὲ ἔργον μὲν ἔχει, λόγον δ' ȣ̓κ ἔχει, ἔοικε δένδρῳ καρπὸν μὲν ἔχοντι, φύλλα δὲ μή. Ὥσπερ τοίνυν φυτῷ εὐθαλεῖ ὥριμος ἐπιπρέπει καρπὸς, ȣ̓τω ψυχῇ λογίᾳ ἔργον θεοφιλές· καὶ ὥσπερ δένδρῳ πλήρει καρπȣ̃ εὐθαλῆ πρέπει φύλλα, ȣ̓τως ἁρμόζει ψυχῇ λόγος ἐχȣ́σῃ ἀγαθὴν ἐργασίαν· καὶ ἄνθρωπος διδάσκων, καὶ μὴ ποιῶν ἃ διδάσκει, ἔοικε πηγῇ, ἥτις πάντας μὲν ποτίζει καὶ πλύνει, ἑαυτὴν δὲ καθάραι ȣ̓ δύναται· ἀλλὰ πᾶσα ῥυπαρία παρ' αὐτῇ ἐςίν· ἢ παρόμοιος λύχνῳ, πολλȣ̀ς μὲν φωτίζοντι, ἑαυτὸν δὲ καίοντι. Ἄλλως τε ὁ πρός τινας ὀρθῶς διαλεγόμενος, ὀφείλει καὶ αὐτὸς ὡς παρὰ Θεȣ̃ λαμβάνων τȣ̀ς λόγȣς, συνακροᾶσθαι ἡδέως τοῖς ἀκȣ́ȣσιν αὐτȣ̃· ἡ γὰρ ἀλήθεια ȣ̓ τȣ̃ λαλȣ̃ντος ἐςὶν, ἀλλὰ τȣ̃ ἐνεργȣ̃ντος Θεȣ̃. Καὶ ὥσπερ ὁ ἐν χερσὶ φέρων καιομένην λαμπάδα φωτίζει τȣ̀ς παρόντας, ȣ̓τω καὶ ὁ λόγȣς ἀγαθȣ̀ς διαπορθμεύων πρὸς

τȣ̀ς

τὸς πλησίον, καταλάμπει τὰς τέτων ψυχάς. Καὶ ὡς ὁ ἐπιφερόμενος μῦρα μυρίζει τὸς ἐγγίζοντας, ἕτω καὶ ὁ ἀρετὴν κεκτημένος ὠφελιάζει τὸς ἐντυγχάνοντας. Προσῆκε τοιγαρῦν ὥσπερ ἐκείνων, ὁ μὲν ἑαυτῷ πρῶτον φαίνει, ὁ δὲ πρὸ τῶν ἄλλων ἑαυτὸν μυρίζει· ἕτω καὶ τὸν τὰ καλὰ διηγέμενον καὶ ὑποτιθέντα, καὶ αὐτὸν καλὸν εἶναι· εἶγε μὴ μέλλει ἀκέειν πρὸς τῆ Κυρίᾳ, „ ἰατρὲ θεράπευσον σεαυτὸν, καὶ ὁ διδάσκων ἕτερον σεαυτὸν ὐ διδάσκεις; „ καὶ ἵνα τὶ σὺ ἐκδιηγῇ τὰ δικαιώματά μὲ, καὶ ἀναλαμβάνεις τὶὼ διαθήκιω μὲ διὰ σόματός σε; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τὸς λόγες μὲ εἰς τὰ ὀπίσω.

Καταναοῆσωμεν ἓν, ὅτι τὸ τῆ ἀνθρώπε ἀγαθὸν, ὡς ἥπερ ἀνθρώπε, ψυχῆς ἐσὶν ἐνέργεια κατ' ἀρετὴν τὶὼ ἀρίςιω καὶ τελειοτάτιω ἐν βίῳ τελείῳ· καὶ ψυχὴ ἐσὶν, ὐχ ἡ τῆ αἵματος ζωτικὴ θερμαντικὴ καὶ κινητικὴ διὰ πνεύματος ὑλικῆ ἐνέργεια· αὕτη γὰρ τῶν ἀλόγων ἐσίν· ὐδὲ ἐντελέχεια ἡ πρώτη σώματος φυσικῆ ὀργανικῆ δυναμει ζωὴν ἔχοντος· αὕτη γὰρ ἡ τῆ ἁπλῶς ἀνθρώπε λεγομένε ψυχή· ἀλλὰ ψυχὴ ἐσὶν ὐσία λεπτὴ, ἀόρατός τε καὶ ἀσχημάτις, εἰκὼν Θεῆ καὶ ὁμοίωσις· καὶ μέρη ταύτης ὐ τὰ τρεπτὰ κατ' ἐνέργειαν μόνον, λογισμὸς, θυμὸς, καὶ ἐπιθυμία· ἀλλὰ πολλῷ μᾶλλον τὰ ὄντα ταύτῃ καθ' ὕπαρξιν, νῆς καὶ λόγος καὶ πνεῦμα ἐσί· καὶ ἄνθρωπος ἐσὶν, ὐ ζῶον λογικὸν θνητὸν νῆ καὶ ἐπιςήμης δεκτικὸν, καθ' ἕλλιυας, μόνον· ἀλλ' ἄνθρωπός ἐσι κατ' ἀλήθειαν ζῶον νοερὸν καὶ ἀἰδητὸν, θείε νῆ καὶ ζωῆς αἰωνίε δεκτικὸν, καὶ τῇ ταύτης σερήσει θνητόν· ἄνθρωπος ἐσὶ ποίημα Θεῆ λογικὸν, κατ' εἰκόνα γενέμενον τῆ κτίσαντος αὐτόν· ἄνθρωπος ἐσὶ σαρκοφόρος ἄγγελος, καὶ διὰ τῆτο θνητός· ἄνθρωπος ἐσὶν ὅς τις εὐσέβειαν καὶ ἀρετὴν μετὰ παῤῥησίας ἀσκεῖ· ἄνθρωπος ἐσὶ κατάσκοπος βίε· ἄνθρωπος ἐσὶ νῆς σεσαρκωμένος· ἄνθρωπος ἐσὶ πνευματικὸν ἀγγεῖον· ἄνθρωπος ἐσὶν ὁ τὸν Θεὸν φοβέμενος καὶ τὰς ἐντολὰς αὐτῆ φυλάττων· καὶ ἐπὶ

πᾶσι τȣ́τοις μόνος ἐκεῖνος ἐςὶν ἀληθὴς ἄνθρωπος ὁ τὴν εἰκόνα σώζων, καὶ τὸ πρωτότυπον κάλλος μὴ ἀφανίζων. Ὡς γὰρ προσώπȣ χαρακτὴρ, καὶ τȣ̃ λοιπȣ̃ τεκμήρια σώματος, τῷ ὁμοιώματι διδάσκȣσιν ἐνίοτε τὶς τίνος Υἱὸς, ȣ̓́τως ἀγωγὴ βίȣ δηλοῖ, τὶς τίνος ἐςὶ καὶ Υἱὸς καὶ φοιτητὴς καὶ μιμητὴς, λόγῳ μὲν τὸν θεωρητικὸν, ἔργῳ δὲ τὸν πρακτικὸν ἑρμηνεύȣσα διδάσκαλον ἢ Πατέρα. Χαρακτηρίζει δὲ Θεὸν, καὶ ἄνθρωπον ζηλȣ̃ντα Θεὸν, τὸ συμπαθὲς, τὸ χρηςὸν, τὸ ἀόργητον, τὸ εὐεργετικὸν, τὸ ἀνεξίκακον, τὸ φιλάγαθον, τὸ κηδεμονικὸν, καὶ συνελόντα εἰπεῖν, οἷς τὸ δαψιλὲς τῆς ἀγαθότητος Θεὸς ἐπιδείκνυται, τȣ́τοις γράφεται τοῖς χρώμασιν ἡ τῆς θείας ὁμοιώσεως εἰκών· ȣ̓̃τοι χαρακτῆρες τῆς ἀσωμάτȣ μορφῆς· τȣ́τοις ἐπιγινώσκεται ψυχὴ συγγενὴς ȣ̃σα Θεῷ. Καὶ ὥσπερ ὁ θεῖος χαρακτὴρ τῷ κατ' ἀρετὴν ἐντυπȣ̃ται βίῳ, ȣ̓́τως ἡ κατὰ κακίαν ζωὴ, μορφὴ καὶ πρόσωπον τȣ̃ ἀντικειμένȣ γίνεται· καὶ ὃν τρόπον Ἕλλην καὶ Ῥωμαῖος καὶ Σκύθης, ἐκ τῆς μορφῆς καὶ τȣ̃ ἤθȣς καὶ τῆς γλώττης γνωρίζεται, ȣ̓́τω πρᾶξις ἀγαθὴ, καὶ λόγος χρηςὸς, καὶ ςάσιμον ἦθος χριςιανῷ κατορθȣ́μενα, τῆς ὑπερθέȣ Τριάδος εἰκόνα χαρακτηρίζȣσιν.

Ἐνθυμηθῶμεν τοίνυν πȣ̃ τὸ τῆς ψυχῆς ἡμῶν ἀρχέτυπον, καὶ οἷον, καὶ καθ' ὅσον ἡμῖν ἐφικτὸν σπȣδάσωμεν τȣ̃το μιμήσασθαι. Γίνεται δὲ τȣ̃το ῥᾴδιον τὸν τρόπον τȣ̃τον. Ἐὰν γένῃ φιλάδελφος, ἀμνησίκακος, συμπαθὴς, ὡμοιώθης Θεῷ· ἐὰν ἀφῇς τῷ πλησίον ἀπὸ καρδίας τὴν ἔχθραν, ὡμοιώθης Θεῷ· ἐὰν οἷος ἐςὶν ἐπὶ σὲ ὁ Θεὸς τοιȣ̃τος γένῃ ἐπὶ τὸν εἰς σὲ πεπλημμεληκότα ἀδελφὸν τῇ πρὸς αὐτὸν εὐσπλαγχνίᾳ, ὡμοιώθης Θεῷ· ȣ̓κ ἐμὸς ȣ̓̃τος ὁ λόγος, ἀλλὰ τȣ̃ μέλλοντος κρίναι πᾶσαν τὴν γῆν·
„ γίνεσθε γάρ φησιν οἰκτίρμονες, καθὼς ὁ Πατὴρ ἡμῶν ὁ
„ ȣ̓ράνιος οἰκτίρμων ἐςί· καὶ ὅπως γένησθε ὅμοιοι τῷ Πα-
„ τρὶ ἡμῶν τῷ ἐν τοῖς ȣ̓ρανοῖς.

Ἐπὶ πᾶσι τῶν τριῶν τȣ́των ἀναμνησθῶμεν ἐν συναισθήσει ψυχῆς· τίνος Υἱοὶ κατὰ χάριν γεγόναμεν; ποία

ἡμῶν

ἡμῶν ἐστὶν ἡ πατρὶς; καὶ τὶς ἡ ἡμετέρα κληρονομία; Τὸ πρῶτον ὁ τῆς βροντῆς Υἱὸς Ἰωάννης ἡμᾶς διδάσκει, λέγων, „ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἱ ἐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Τὸ δεύτερον, ὁ θειότατος ἡμῖν Παῦλος δείκνυσιν ὅτω γράφων, „ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει· ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν· καὶ αὖθις, προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει· καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς· καὶ πάλιν, οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Τὸ τρίτον ὁ ὑπὲρ ἡμῶν τῶν κατακριτῶν σαρκὶ θανὼν πρὸς τὸν ἑαυτοῦ Πατέρα φησὶ „Πάτερ οὓς δέδωκάς μοι θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν· οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνων, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων δι' αὐτῶν εἰς ἐμὲ, ἵνα καὶ αὐτοὶ ἓν ὦσι, καθὼς ἐγὼ Πάτερ ἐν σοὶ, καὶ σὺ ἐν ἐμοί· ἧς δόξης γένοιτο ἀναμορφωσαμένους τὸ κατ' εἰκόνα, καὶ εἰς τὸ ἀρχέτυπον θᾶττον παλινδρομήσαντας κάλλος, ἀξιωθῆναι πάντας ἡμᾶς τῇ εὐδοκίᾳ τοῦ παντοκτίστου Πατρὸς, τῇ δυνάμει τοῦ θέλοντος τοῦτο παντοδυνάμου Υἱοῦ, καὶ τῇ χάριτι τοῦ παντεργοῦ Πνεύματος, τῆς ὑπερθέου καὶ μακαρίας Τριάδος· ᾗ πρέπει πᾶσα δόξα, τιμὴ, καὶ προσκύνησις, εἰς ἀπείραπλέτους αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ

ΛΟΓΟΣ Δ.

ΡΗΘΕΙΣ ΕΝ ΤΩ ΠΑΛΑΤΙΩ ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΤΡΙΑΔΟΣ.

Ἀφορᾷ δὲ εἰς τὸ περὶ τῆς τ̃ ἁγίε Πνεύματος ἐκπορεύσεως ζήτημα. Σαφηνίζων πλατύτερον περὶ τῆς ὁμωνυμίας τ̃ Πνεύματος, καὶ τῆς τ̃ ἐκπορεύεται φωνῆς.

Ἄνδρες ἠγαπημένοι, γνήσιοι φίλοι καὶ ἀδελφοὶ ἐν Χριστ̃, ἀκέσατέ με τῆς φωνῆς· οἱ τὸ μὲν γένος Ῥωμαῖοι, τὸ δὲ σέβας ὀρθόδοξοι, πρόσεχετε τοῖς ῥήμασι τ̃ σώματός με· τὰ τ̃ υἱὸς Θε̃ θέσει ἔκγονα, καὶ τῆς ἁγίας κολυμβήθρας γνήσια τέκνα, ἀνωτίσασθέ με τ̃ λόγε, καὶ θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν διώαμιν τούτων καὶ κραταιώθητε· ἀληθείαν γὰρ ἡ καρδία με μελετήσει, καὶ δικαιοσύνῃ ὁ λάρυγξ με φθέγξεται, καὶ σοφίαν ἰδὲ ταῦτα τὰ χείλη ἀναγγελεῖ. Ἐμοὶ μὲν ὦ ἄνδρες τῆς ἐλπιζομένης ἐκείνης μακαριότητος τοῖς πιστοῖς σαφές τι προοίμιον καὶ ἀραβὼν εἶναι δοκεῖ, τὸ, ἐν ταύθα τινὰ τῶν τ̃ κόσμε θορύβων ἀφέμενον, καὶ τὰς ἐν τῷ μέσῳ λιπόντα διατριβὰς, ὡς μυρίων κακῶν ἀφορμὰς, ὦ ἐρημίαπε καὶ μονώσει ἀπολαύειν ὡς οἷόν τε τῆς Ἰησ̃ θεωρίας. Καὶ τὶ γὰρ ἀθρώπῳ βέλτιον γένοιτ' ἄν, ἢ πάντων μὲν ὀλιγωρεῖν τῶν ματαίων, καὶ σκιᾶν ταυτὶ καὶ

καὶ ὄναρ ἠγεῖθαι, καθὰ καὶ πεφύκασιν, ἔρωτι δὲ θείῳ προσετηκόναι, καὶ τῇ τοῦ Θεοῦ ἐφέσει καὶ θεωρίᾳ καθαίρεσθαί τε τὸ σῶμα, καὶ τιὼ ψυχιὼ ἄνω αἴρεσθαι; Ἐνθεντοι καὶ πολλάκις καὶ προτιμᾶν εἴωθα, τιὼ σὺ τῇ κέλῃ μόνωσιν τῆς μετὰ πολλῶν σωναναστροφῆς. Ἀλλ' ἐπεὶ μὴ τοῖς δόθοσι λογισμοῖς μόνον καὶ ταῖς χρησταῖς πράξεσιν ὁ πάντων δεσπότης, ἀλλὰ δὴ καὶ τοῖς πρὸς τὸν πλησίον χρησίμοις λόγοις διαρεσεῖθαι βέλεται παρ' ἡμῶν· καὶ νιὼ μὲν πονηρὸν δοῦλον ἀποκαλεῖ τὸν τὸ τάλαντον κρύψαντα, νιῷ δὲ μὴ τὸ ἑαυτοῦ ζητεῖν ἕκαστον ἐπιτάττει, ἀλλὰ τὸ τοῦ πλησίον, ὡς ἀδιώατον ἄλλως τῆς σωτηρίας τυχεῖν· τιὼ ποθεινιὼ λιπὼν καὶ αὐτὸς ἡσυχίαν, Φέρων ἐμαυτὸν τῇ ἐκκλησίᾳ ταύτῃ παρέχω τήμερον· ἐχ ὥς τι ἀναγκαῖον ἢ χρήσιμον, ἤ τι τῶν καλῶν, ὡς εἰκὸς, ἐκεῖθεν ἐπιφερόμενον, ἀλλ' ὡς δοῦλον οἰονεὶ καὶ χρεώστιν ὡς ἔμοιγε σωήθες προτροπῇ βασιλείας, τάτε τροφεῖα ἡμῖν, καὶ τὰ χρέα ἀποδιδόντα. Ἐπεὶ δὲ καὶ λόγος προτιθέναι γενναίως, εἰπέρ τι ἄλλο τὸν ἡμέτερον ῥυθμίζοντας βίον ἐπιτατόμεθα, καίγε ὀρθόδοξα δόγματα διαγγέλλειν, Φέρε ὅσατε καιρὸς ἀπαιτεῖ, καὶ ἃ διψῶσιν οἱ πολλοὶ τῶν παρόντων μαθεῖν, εἰς μέσον προθέμενοι ἱερῶς περὶ τέτων διέλθωμεν.

Περὶ μὲν ἓν ἑτέρων δογμάτων, ἐν ἄλλοις καιροῖς τε καὶ λόγοις, ὡς οἶοιτε ἦμεν ἐσκεψάμεθα καὶ διετρανώσαμεν. Ἐπεὶ δὲ κατὰ τὸ ἑνεχὼς ἔτος τέτο, πρὸς δὲ καὶ τὰ ἐπιὼν, παρά τε τῶν ἐκ τῆς δύσεως σωελθόντων, καὶ παρὰ τῶν ἐνταῦθα σωετωτέρων, ἐδὲν χεδὸν ἄλλο, ἢ τέτο καὶ ζητεῖται καὶ ζητηθήσεται, πῶς ἂν εἴποιτις, εἰ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεται μόνε, ἢ τυχὸν καὶ ἐκ τοῦ Υἱοῦ; Περὶ τέτε λοιπὸν τινὰ διελθεῖν ἀναγκαῖον ὠήθημεν, ἅπερ ἰδὲ καὶ προτιθέαμεν· ἐν οἷς εἴσονται πάντες (σιὼ Θεῷ δ' εἰρήθω) ὡς ἐχ ἡμῖν αὐτοῖς χαριζόμενοι, δοξάζομέν τε καὶ ὁμολογῦμεν πεπαρρησιασμένῃ ψυχῇ καὶ γλώττῃ, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνε τοῦ Πατρὸς ἐκπορεύεθαι, ἀλλὰ τῇ τῶν ἁγίων πάντων

τῶν ἀκολουθοῦντες διδασκαλίαι τῶν μετὰ τὸ Πνεύματος περὶ τοῦ Πνεύματος εἰρηκότων. Ἔσω δὲ τοῦτο προειλημμένον ἐν ταῖς ἡμετέραις ψυχαῖς, ὅτι ἔστε διὰ τὸ πλῆξαί τινα ὁπωσοῦν, ἔστε διὰ τὸ ἀρέσαι τινὶ, ἀλλ' ὡς θέλοι μόνον τοῦ λόγου τῆς ἀληθείας καὶ φίλοι, τιλὼ ἀλήθειαν ταύτιλω ὑμῖν διαγγέλομεν. Πρῶτον μὲν ἔν τίνες αἱ τῆς παρεκτροπῆς αἰτίαι κατὰ δύναμιν δηλωτέον· ἔπειτα δὲ καὶ εἰ ὀρθόδοξος αὕτη ἡ ἡμετέρα περὶ τοῦ Πνεύματος δόξα, ἐκ τῶν τοῦ θείου Πνεύματος λόγων ἀποδεικτέον· ὡς ἂν καὶ τιλὼ εὐσέβειαν ὁποία τις ἐστὶ γνῶμεν, καὶ τὰς παρεκτροπὰς ταύτης, ὡς οἷόν τε διαφεύξωμεν.

Περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως τοίνιν τοῦτο πρὸ πάντων ὑμῖν ἰστέον ὦ φίλοι, ὅτι τὸ Πνεῦμα ὄνομα, ὃ μόνον ἐπὶ πολλῶν ἄλλων, ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ Πνεύματος λεγόμενον, ὁμώνυμός ἐστι φωνή. Σημαίνει γὰρ τάτε χαρίσματα τοῦ Πνεύματος, πολλὰ καὶ διάφορα ὄντα· Πνεῦμα γὰρ ἀληθείας, ὑιοθεσίας, χάριτος, σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς, ἰσχύος, φόβου, καὶ ὅσα τοιαῦτα λέγεται, ὡς τῷ Δαμασκόθεν Ἰωάννῃ, Γρηγορίῳτε τῷ πάνυ, καὶ Ἡσαΐᾳ τῷ προφήτῃ δοκεῖ. Σημαίνει δὲ καὶ αὐτὸν ἐκεῖνον τὸν παράκλητον, τὸν τῆς Τριάδος ὄντα, τὸ Πνεῦμα τὸ ἅγιον δηλαδή. Οὐ μὴν ἀλλὰ καὶ ἡ τοῦ ἐκπορεύεσθαι φωνὴ, εἰ καὶ ἰδιοτρόπως τῷ ἁγίῳ Πνεύματι ἀποκεκλημένη, ἐξῃρημένως τιλὼ πρόοδον αὐτοῦ δηλοῦσα τιλὼ ἄῤῥητον, ἀλλὰ καὶ ταύτιλω κοινιλὼ καὶ ἄλλοις ἴσμεν ἐν τῇ γραφῇ· καὶ γὰρ καὶ πάσαις ταῖς ῥηθείσαις αὐτοῦ ἐνεργείαις αὕτη ἁρμόζει, ὡς παρὰ πάσης τῆς ἁγίας γραφῆς ὡμολόγηται. Καὶ τῇ τοῦ Υἱοῦ δὲ γεννήσει προσήκει τοὔνομα· φασὶ γὰρ οἱ ἐν Νικαίᾳ θεῖοι Πατέρες, λέγει περὶ τοῦ Υἱοῦ ἡ γραφὴ, κλινεῖ ἐπ' αὐτὸν ὡς πολεμὸς εἰρήνης, ἐκπορευόμενος ἐκ τῆς ἀληθοῦς ζωῆς τῆς τοῦ Πατρὸς θεότητος. Καὶ οἱ ὄχλοι ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος τοῦ Κυρίου, τὸ θεῖον φησὶν εὐαγγέλιον. Καὶ ὁ ψαλμῳδὸς δὲ, ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον

πιον τῦ λαῦ σε, λέγει. Καὶ ἤρξατο Πνεῦμα Κυρίε συ- α
νεκπορδύεθαι τῷ Σαμψὼν, ἄλλος τίθησι Καὶ εἴτις ὀρ- α
θῶς θεωροίη τῶν εἰς αἰτίαν ἀνηκόντων τὸν τῆς ἐκπορδύ- α
σεως λόγον δύρήσει ὄντα κοινότερον· ὥσπερ ἡ γραμμὴ ἐκ- α
πορδύεται ἐκ τῦ σημείε, τὸ ἀπαύγασμα ἐκ τῦ πυρὸς,
καὶ ἡ ἀκτὶς ἐκ τῦ ἡλίε, τὸ ῥεῦμα ἐκ τῆς πηγῆς, καὶ
ἐκ τῶν ὑγρῶν σωμάτων, ἡ ἀτμὶς ἡ ὑγρὰ ἐκπορδύεται.
Ὅταν ἓν ἀκέητε ἐν τῇ γραφῇ, ὅτι πηγάζει ὁ Υἱὸς τὸ
Πνεῦμα, ἢ πέμπει, ἢ δίδωσιν, ἢ τοιῦτόν τι, μὴ τλιὼ
ὑπόσασιν τῦ Πνεύματος νοεῖτε προάγειν αὐτὸν, ἤτοι
αὐτὸ τῦ Πνεύματος τὸ πρόσωπον· ἐκεῖνο γὰρ μόνον ἐκ
τῦ Πατρὸς ἐκπορδύεται, ἦγεν ὑφέσηκεν· ἀλλὰ ταὶς τῦ
Πνεύματος δωρεαὶς, ὡς ὁμοθελῆς αὐτῷ καὶ ὁμοσσίε,
παρέχειν πιστύετε. Καὶ πάλιν, ὅταν τῶν ἁγίων τὸν δεῖ-
να καὶ τὸν δεῖνα εὕρητε λέγοντας, τὸ Πνεῦμα τὸ ἅγιον
ἐκ τῦ Πατρὸς δι' Υἱῦ ἐκπορδύεθαι, τέτῳ χρώμενοι τῷ
κανόνι, κατανοήσατε ὅτι τὸ ἐκπορδύεθαι, ὡς τὸ διϊέναι,
καὶ πέμπεθαι, καὶ δίδοθαι ἐνταῦθα ἐξείληπται· ἢ
καὶ πρόῤῥιζον αἵρεσιν ἄλλιν ἀναπτῶντες ἐκεῖνοι, τλιὼ τῦ
Υἱῦ ἀλλοτριῦσαν τὸ Πνεῦμα, καὶ τλιὼ πρὸς τὸν Πατέ-
ρα καὶ τὸν Υἱὸν συμφυίαν καὶ γνησιότητα τῦ Πνεύμα-
τος παραξῆσαι βελόμενοι, ταῦθ' ὡς ἄντις εἴποι ἀναγ-
καίως εἰρήκασι. Τῦτο δ' ἀκριβῶς προσέχειν ὑποτίθεμαι
καὶ παρατηρεῖν, ὅτι πολλοῖς τῶν ἁπλεστέρων αὐτὸ δὴ
τῦτο παροραθὲν, καὶ ὡς μὴ ἔδει ἐννοηθὲν, παρεκτρο-
πιὼ τῆς πίστεως προεξένησε, τὸ χάρισμα ὑπόσασιν, καὶ
τλιὼ πέμψιν ὕπαρξιν, ὡς μὴ ὤφελον οἰηθεῖσι. Σωήκατε
τῶν ῥηθέντων τλιὼ δλώαμιν, ἢ δεῖ ταῦτ' ἐπεξεργάσαθαι;
πλιὼ πλατύτερον διὰ τὸ σαφέστερον, καὶ πλήρης μαρ-
τυριῶν διὰ τὸ πιστότερον ἡμῖν ὁ λόγος γενέθω.

Πάντα φημὶ τὰ τῦ ἁγίε Πνεύματος χαρίσματα,
καλεῖται Πνεῦμα, ὁμωνύμως τῷ ταῦτα παρέχοντι Πνεύ-
ματι. Ὅθεν ἐπεισδύνι τινὶ χαρίσηται τὸ Πνεῦμα τὸ ἅγιον
δῶρον ἁγιασμῦ, ὥστε ἅγιον ἔχειν τὸ σῶμα καὶ τλιὼ ψυ-
χλιὼ, ἡ δωρεὰ ἡ δοθεῖσα καλεῖται Πνεῦμα ἁγιωσιύης·

ὡς

ὡς λέγει Παῦλος „ ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ, ὃ
„ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ, κατὰ Πνεῦ-
„ μα ἁγιωσύνης. Ἐάντις λάβῃ δύναμιν καὶ δωρεὰν τοῦ
ἁγίου Πνεύματος πιστεύειν τῇ ἐπαγγελίᾳ τῶν διδομένων
ἀγαθῶν οὐ τῷ μέλλοντι, ἔλαβε Πνεῦμα ἐπαγγελίας·
διὸ φησὶν ὁ Παῦλος „ ἐσφραγίσθητε τῷ Πνεύματι τῆς
„ ἐπαγγελίας τῷ ἁγίῳ. Ἐὰν δὲ δῷ τὸ Πνεῦμα τὸ ἅγιον
δωρεάντινι, καὶ μὴ εἰδότι γραφὰς πιστεύειν αὐταῖς, κα-
λεῖται ἡ δωρεὰ ἐκείνη Πνεῦμα πίστεως· ὡς λέγει Παῦλος,
„ ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως. Λέγεται Πνεῦ-
μα ὑοθεσίας, ὡς ὁ αὐτὸς φησὶ Παῦλος „ οὐ γὰρ ἐλάβε-
„ τε Πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε
„ Πνεῦμα ὑοθεσίας ἐν ᾧ κράζομεν ἀββᾶ ὁ Πατήρ. Ἐάν τις
πρᾶος ᾖ καὶ ταπεινὸς τῷ καρδίαν, δῶρον ἔλαβεν ὁ τοιοῦ-
τος Πνεῦμα πραότητος, ὡς λέγει Παῦλος „ ὑμεῖς οἱ
„ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν Πνεύματι πραό-
τητος. Πνεῦμα καλεῖται ζήλε, ὡς φησὶ Παῦλος „ ἐπεὶ
„ καὶ ὑμεῖς ζηλωταί ἐστε πνευμάτων, τουτέστι χαρισμάτων.
Ἔστι δῶρον ἀγάπης, ὡς λέγει Παῦλος „ ὅτι ἐλάβετε Πνεῦ-
„ μα ἀγάπης, καὶ δυνάμεως, καὶ σωφρονισμοῦ. Καὶ ὁ
Ἡσαΐας δὲ φησὶν „ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσ-
„ σαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπανα-
„ παύσεται ἐπ' αὐτὸν Πνεῦμα Θεοῦ, ὧδε τὸ ὄνομα τῆς
ὑποτάσεως αὐτοῦ τοῦ Πνεύματος, τὰ δὲ τῶν χαρισμάτων
λοιπὸν ὀνόματα ἐφεξῆς. „ Πνεῦμα σοφίας καὶ συνέσεως,
„ Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα βουλῆς καὶ
„ ἰσχύος, Πνεῦμα φόβου Θεοῦ. Ἀναπλύσει τις γραφὴν, ἐὰν
ᾖ ἀπόκρυφον τὸ νόημα καὶ ἀσαφὲς, δῶ δὲ τὸ Πνεῦμα
τὸ ἅγιον, ὥστε τὰ κεκρυμμένα τῶν νοημάτων ἀποκα-
λυφθῆναι αὐτῷ, ἔτος ἔλαβε Πνεῦμα ἀποκαλύψεως, ὡς
„ λέγει Παῦλος· „ εὐχόμαι τῷ Θεῷ ἵνα δῴη ὑμῖν Πνεῦμα
„ σοφίας καὶ ἀποκαλύψεως. Βουλόμενος δὲ ὁ Θεὸς δεῖξαι,
ὅτι ὥσπερ πέμπει τῷ διδάσκοντι Πνεῦμα σοφίας, ἔτω
καὶ τῷ μανθάνοντι Πνεῦμα συνέσεως, ἵνα νοήσῃ τὰ τοῦ
Θεοῦ· σοφίας χάριν ἔχει στόμα κηρύττον καὶ διδάσκον,
συνέσεως χάριν ἔχει καρδία μανθάνουσα· λέγει Δαβὶδ

„ τὸ

τὸ ςόμα μȣ λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μȣ σύνεσιν. Πνεῦμα γνώσεως εἴληφεν ὁ μετὰ γνώσεως πράττων, καὶ Πνεῦμα εὐσεβείας πλȣτεῖ, ὁ λόγοις καὶ ἔργοις θεοσεβής.

Ὅτι φέγγος ψυχῆς ἡ ἀληθὴς γνῶσις ἐςὶ, καὶ πάσης γνώσεως φύσει, ἔργον ἐςὶν ἡ βεβαίωσις. Ἐνίοτε δὲ ὁ διδάσκων γνώμην ȣ̓κ οἶδε δȣ̃ναι, ȣ̓ γὰρ ἔλαβεν· ȣ̓ πάντα γὰρ λαμβάνει τις, ἵνα μὴ φύσει τὴν χάριν ἔχειν νομίσῃ· λαμβάνει τις διδασκαλίας χάριν, καὶ ἵνα μὴ ἐπαίρηται ἐν πραγμάτων βȣλῇ εὑρίσκεται ἀτονῶν· ἄλλος διδάσκειν μὴ δυνάμενος, συμβȣλεύει καλῶς· καὶ εὑρίσκεται ὁ δανείζων ἄλλοις, ἀλλαχȣ̃ δανειζόμενος· Πνεῦμα βȣλῆς δίδοται τῷ γνωμοδοτȣ̃ντι, Πνεῦμα ἰσχύος τῷ τὴν γνώμην δεχομένῳ· ὅτι ὥσπερ λαμβάνει χάριν ὁ γνωμοδότης εἰπεῖν τι χρηςὸν, ȣ̓τω λαμβάνει χάριν ἰσχύος ὁ τὴν γνώμην δεχόμενος ἐπιτελέσαι τὸ συμφέρον· Πνεῦμα φόβȣ Θεȣ̃· ἕκαςον τȣ́των τῶν χαρισμάτων πρὸς τὴν ὑποκειμένην δίδοται χρείαν. Ἀλλαχȣ̃ ἐπαγγέλεται ὁ Θεὸς διδόναι χάριν φιλανθρωπίας· καὶ λέγει, „ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαβὶδ Πνεῦμα χάριτος καὶ οἰκτιρμȣ̃· τȣτέςι δωρεὰν φιλανθρωπίας. Πάλιν δωρεῖται χάρισμα ταπεινοφροσύνης, διόπερ προσευχόμενοι οἱ τρεῖς παῖδες ἔλεγον πρὸς τὸν Θεὸν ἑαυτȣ̀ς ἁμαρτωλȣ̀ς, καίτοι τὴν φλόγα πεπατηκότες, ἅτε δίκαιοι· καὶ ἐχόρευον, ὡς ἅγιοι· καὶ ἐξωμολογȣ̃ντο, ὡς ἁμαρτωλοί. Ἐπεὶ ȣ̓ν δίκαιοι ὄντες ἑαυτȣ̀ς ἐταπείνȣν, ἔλαβον Πνεῦμα ταπεινώσεως, χάρισμα ταπεινοφροσύνης· διὰ τȣ̃το εἰδότες τὴν χάριν λέγȣσιν, „ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. Ὅταν δὲ πληρωθῇ χάριτος ὁ λαμβάνων ὁλόκληρον τὸ δῶρον, πνεῦμα πληρώσεως λέγεται εἰληφέται· ȣ̓τως εἶχον πνεῦμα πληρώσεως οἱ Ἀπόςολοι, καθὼς γέγραπται· „τότε ὁ Παῦλος πληρθεὶς Πνεύματος ἁγίȣ. Ὁ δὲ Δαβὶδ αἰτεῖ Πνεῦμα εὐθὲς, τὸ εἰς εὐθύτητα φέρον, καὶ Πνεῦμα πάλιν ἡγεμονικὸν, χάρισμα ἡγεμονεῦον τῶν παθῶν, καὶ ποιȣ̃ν τὴν ψυχὴν

μὴ

μὴ δηλοῦσιν πάθεσιν. Ἀλλὰ ταῦτα μὲν ἱκανὰ περὶ τῆς ὁμωνυμίας τῦ Πνεύματος, περὶ δὲ τῆς τῦ ἐκπορεύεσθαι φωνῆς, ἐξῆς δηλωτέον.

Διτλῶ μὲν ἦν ἡμεῖς ἴσμεν καὶ ἐχ ἁπλῶ τλὼ τῦ ἁγίε Πνεύματος πρόοδον, ἄνωθεν ἔτω παρὰ τῶν γραφῶν τῦ Πνεύματος ταὶς ἀφορμαὶς εἰληφότες· τλὼ μὲν γὰρ ὥσπερ ἀπερινόητον καὶ ἀπόῤῥητον, ἔτω δῆτα καὶ ἄναρχον, τλὼ δὲ ἐν χρόνῳ· φησὶ γὰρ ὁ θεῖος Ἰωὴλ, καὶ μλὶ καὶ ὁ μακάριος Πέτρος, παρ' ἐκείνε λαβών· „ ἔσαι „ ἐν ταῖς ἐχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τῦ Πνεύματός με „ ἐπὶ πᾶσαν σάρκα· καὶ τλὼ μὲν ἀναίτιον, ὥσπερ καὶ τλὼ τῦ Υἱῦ γεννησιν, περὶ ἧς φησὶν ὁ θεολόγος Γρηγό- „ ριος· „ ἀ ἀρχῇ λῶ ἀναιτίως· τὶς γὰρ αἰτία Θεῦ; καὶ „ πάλιν, περὶ τῦ αὐτῦ· ἐκ τῦ ἀεὶ ὄντος ὑπὲρ αἰτίαν καὶ λόγον· τλὼ δὲ ἑτέραν πρόοδον δι' αἰτίαν· φησὶ γὰρ ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννλν εὐαγγελίῳ· „ ὅταν ἔλθῃ „ ἐκεῖνος, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τλὼ ἀλήθειαν· καὶ ἡμὲν ὥσπερ ἐ δι' αἰτίαν ἐσὶν ἔτως ἐδὲ πρός τινας, ἡδὲ καὶ δι' αἰτίαν καὶ πρός τινας· ὅθεν ὁ Παῦλος Τίτῳ ἐπι- „ στέλλων φησίν· „ ἔσωσεν ἡμᾶς διὰ λετρῦ παλιγγενεσίας „ καὶ ἀνακαινίσεως Πνεύματος ἁγίε, ὃ ἐξέχεεν εἰς ἡμᾶς „ πλεσίως, διὰ Ἰησῦ Χριτῦ τῦ Σωτῆρος ἡμῶν. καὶ ἡμὲν θείας φύσεως ἐ θελήσεως ἔργον ἐσὶν, ὅπερ καὶ περὶ τῆς τῦ Υἱῦ γεννήσεως οἱ θεολόγοι φασίν· ἡδὲ, τῦ Θεῦ δι' ἀγαθότητα θέλοντος, ἡμῖν πρόεισι· δῶρον γὰρ τὸ τοιῦτον· τῦτο δὲ ἐκ ἄνωθ τῆς τῦ διδόντος θελήσεως. Διόπερ „ ὁ θεῖος Παῦλος ἑβραίοις γράφων· „ συνεπιμαρτυρῦντος „ φησὶ τῦ Θεῦ σημείοις καὶ τέρασι, καὶ ποικίλαις δυνάμε- „ σι, καὶ Πνεύματος ἁγίε μερισμοῖς κατὰ τλὼ αὐτῦ θέλη- σιν· καὶ ἡμὲν ἀδιάτατον καὶ ἐκ τῦ Πνεύματος εἶναι, ἀδιάτατον γὰρ τὸ Πνεῦμα ἐξ ἑαυτῦ προσωπικῶς ἐκπο- ρεύεσθαι, ἡδὲ ἐσὶ καὶ ἐκ τῦ Πνεύματος· καθὼς ἐκ μὲν τῶν προφητῶν, ὡς ἐκ προσώπε τῦ Θεῦ, ὁ μὲν Μωϋσῆς „ λέγει, „ ἀφελῶ ἀπὸ τῦ Πνεύματός με τῦ ἐπὶ σοὶ καὶ „ θήσω ἐπ' αὐτές· ὁ δὲ Ἰωὴλ, „ ἐκχεῶ ἀπὸ τῦ Πνεύμα-

„ τός με

τός μȣ ἐπὶ πᾶσαν σάρκα. ἐκ δὲ τῶν Ἀποςόλων ὁ κορυ- «
φαῖος λήψεσθε τὴν δωρεὰν τȣ̃ ἁγίȣ Πνεύματος· καὶ Ἰω- «
άννης, ἐν τȣ́τῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ «
αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τȣ̃ Πνεύματος αὐτȣ̃ δέδωκεν ἡμῖν· «
καὶ τὸ τȣ̃ Χριςȣ̃ ςόμα ὁ Παῦλος, ἡ ἀγάπη τȣ̃ Θεȣ̃ φησὶν «
ἐκκέχυται εἰς τὰς καρδίας ἡμῶν, διὰ Πνεύματος ἁγίȣ «
τȣ̃ δοθέντος ἡμῖν. «

Ὅτι περὶ ταύτης τῆς προόδȣ τοῖς Ἀποςόλοις ὁ λόγος, περὶ ἧς καὶ οἱ Προφῆται φασὶ, φανερὸν μὲν καὶ ἐκ τῶν εἰρημένων, δῆλον δὲ καὶ ἐκ τῶν ἐφεξῆς ῥηθησομένων τοῖς διδασκάλοις. Ἑρμηνεύων γὰρ ὁ θεῖος Χρυσόςομος τὸ, ȣ̓κ ἐκ μέτρȣ δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα, ȣ̃τωσί πως εἴρηκε· „Πνεῦμα ἐνταῦθα τὴν ἐνέργειαν φησίν· αὕτη γὰρ «
ἡ μεριζομένη· πάντες γὰρ ἡμεῖς μέτρῳ τὴν ἐνέργειαν ἐλά- «
βομεν, ἐκεῖνος δὲ ὁλόκληρον ἔλαβε πᾶσαν τὴν ἐνέργειαν· «
εἰ δὲ ἡ ἐνέργεια αὐτȣ̃ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ ȣ̓σία· «
καὶ ἀλλαχȣ̃ τὸ ψαλμικὸν ἐκεῖνο εἰς ἐξήγησιν προθεὶς,
„ἐξεχύθη χάρις ἐν χείλεσί σȣ· πᾶσα γὰρ ἡ χάρις ἐξε- «
χύθη εἰς τὸν ναὸν ἐκεῖνον φησίν· ȣ̓ γὰρ ἐκ μέτρȣ δίδωσιν «
ἐκείνῳ τὸ Πνεῦμα ὁ Πατήρ· ἡμεῖς δὲ μικρόν τι, καὶ ῥανί- «
δα ἀπὸ τῆς χάριτος ἐκείνης ἔχομεν· ἐκ τȣ̃ πληρώματος «
γὰρ φησὶν αὐτȣ̃ ἡμεῖς πάντες ἐλάβομεν· ὡς ἂν εἴποι τις «
ἐκ τȣ̃ ὑπερβλύζοντος, ἐκ τȣ̃ περιττεύοντος· καὶ μετά «
τινα ὁ Θεὸς φησὶν ἐξέχεε τὴν δωρεὰν αὐτȣ̃· ἡ θεότης ȣ̓κ «
ἐκχεῖται, ἀλλ' ἡ δωρεά· ἐξεχύθη χάρις ἐν χείλεσί σȣ· «
χάρις ἐκχεῖται, ȣ̓χ ὁ δωρȣ́μενος τὴν χάριν· καὶ πάλιν «
ȣ̓κ εἶπε δίδωμι τὸ Πνεῦμα, ἀλλ' ἐκχεῶ ἀπὸ τȣ̃ Πνεύμα- «
τός μȣ ἐπὶ πᾶσαν σάρκα· καὶ ἡ ἐν τοσȣ́τοις τȣ̃ κόσμȣ «
κλίμασι διδομένη χάρις, μέρος τι τῆς δωρεᾶς ἐςὶ καὶ «
ἀραβών· δȣ̀ς γὰρ φησὶ τὸν ἀραβῶνα τȣ̃ Πνεύματος ἐν «
ταῖς καρδίαις ἡμῶν, τὸ μέρος λέγει τῆς ἐνεργείας· ȣ̓ «
γὰρ δὴ ὁ παράκλητος μερίζεται· τὴν γȣ̃ν ἐνέργειαν ταύ- «
τὴν καὶ ὁ ναὸς ἐκεῖνος ἔλαβε, καὶ τοῖς ἀξίοις ὡς ἐκ δε- «
ξαμενῆς παρεῖχε· καὶ ἑτέρωθι· δέον ἐννοῆσαι τȣ̀ς αἱρε- «
τικȣ̀ς, τίνα τὰ ὀνόματα τὰ τὴν φύσιν δηλȣ̃ντα τȣ̃ ἁγίȣ «

„ Πνεύματος, καὶ τίνα τὰ τὴν χάριν ἑρμηνεύοντα, οἱ δὲ,
„ ἐκαπήλευσαν τὴν ἀλήθειαν· σωπέχειαν πάντα· ἐζώκει-
„ λαν τῆς ἀληθείας· ἄλλο γὰρ Πνεῦμα τὸ ἅγιον, ἄλλο τὸ
„ χάρισμα· ἄλλο βασιλεὺς, ἄλλο τὸ δῶρον τῦ βασιλέως.
„ Ἐὰν ἀκούσῃς λέγοντος, ἀποστελῶ ὑμῖν τὸ Πνεῦμα τὸ
„ ἅγιον, μὴ τὴν θεότητα ἐκλάβῃς, Θεὸς γὰρ ἐκ ἀπο-
„ στέλλεται· ὀνόματα ἐστὶ τὴν ἐνέργειαν σημαίνοντα· καὶ ὁ
θαυματεργὸς Γρηγόριος ἐν τῇ ἀποκαλύψει ἔτω μέμνη-
„ ται· ἓν Πνεῦμα ἅγιον ἐκ τῦ Θεῦ τὴν ὕπαρξιν ἔχον, καὶ
„ δι' Υἱῦ πεφηνὸς δηλαδὴ τοῖς ἀνθρώποις· ἐκεῖνο μὲν περὶ
„ τῆς προαιωνίε, περὶ δὲ τῆς χρονικῆς τῦτό γε. Καὶ ὁ τῆς
Ἀλεξανδρείας Κύριλλος, ἐν τῇ ἐξηγήσει τῦ θείε συμβό-
„ λε „ προχεῖται μὲν φησὶν, ἦγεν ἐκπορεύεται τὸ Πνεῦμα
„ τὸ ἅγιον ἐκ τῦ Θεῦ καὶ Πατρὸς, τῦτο περὶ τῆς ἀπορρή-
„ τε προόδε· χορηγεῖται δὲ τῇ κτίσει δι' Υἱῦ, τῦτο περὶ
τῆς εἰς ἡμᾶς· καὶ ὁ ἅγιος Αὐγυστῖνος ἐν τῷ περὶ τῆς
„ Τριάδος· ἀλλ' ἐδεμιᾷ ἐπειδὴ οἱ μὲν διδόασι, τὸ δὲ δίδοται,
„ διὰ ταῦτα ἔλαττον ἐκεῖνο ἐστίν· ἔτω γὰρ δίδοται ὥσπερ
„ τῦ Θεῦ δῶρον, ὡς καὶ αὐτὸ ἑαυτὸ διδόναι ὥσπερ Θεός·
„ ἐδὲ γὰρ δυνατὸν λέγεσθαι μὴ εἶναι τῆς αὐτῦ ἐξυσίας,
„ περὶ ἧ εἴρηται, τὸ Πνεῦμα τὸ ἅγιον ὅπε θέλει πνεῖ.
„ Καὶ παρὰ τῦ Ἀποστόλε, πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν
„ καὶ τὸ αὐτὸ Πνεῦμα διαιρῶν ἰδίᾳ ἑκάστῳ καθὼς βέλεται.
Καὶ ὁ Νύσσης Γρηγόριος ἐν τῷ κατ' Εὐνομίε· τὸ Πνεῦμα
„ τὸ ἅγιον, ἐκ μὲν τῦ Θεῦ τῶν ὅλων, καὶ αὐτὸ τῦ εἶναι
„ τὴν ὕπαρξιν ἔχον, ὅθεν καὶ τὸ ὁμογενὲς ἐστὶ φῶς, διὰ
„ δὲ τῦ ἀληθινῦ φωτὸς ἐκλάμψαν, ἔτε διασήματι, ἔτε
„ φύσεως ἑτερότητι, τῦ Πατρὸς ἢ τῦ μονογενῦς ἀποτέμνε-
ται· ἐνταῦθα ὁ μερισμὸς ὁ διὰ τῶν σωδέσμων, τῷ
μὲν Πατρὶ τὴν καθ' ὕπαρξιν τῦ Πνεύματος πρόοδον, τῷ
δὲ Υἱῷ τὴν πρὸς ἡμᾶς αὐτῦ φανέρωσιν ἐνοεῖν προδηλό-
τατα δίδωσιν· ἃ γὰρ δὴ ταύτῃ κἀκείνῃ, ἐντι καὶ
ταὐτὸν δυναμένῃ ὁ λόγος, ἀλλὰ τὴν μὲν τῦτο σημαίνειν,
τὴν δ' ἐκεῖνο, παρίσησιν. Καὶ ὁ μέγας δὲ Βασίλειος, τὴν
τοιαύτην πρόοδον τῦ Πνεύματος, καὶ ἐκ τῦ Πνεύματος
ἔσαν εἰδὼς, φησὶν ἐν τοῖς πρὸς Εὐνόμιον ἀντιῤῥητικοῖς,

„ τὸ

„τὸ Πνεῦμα τὸ ἅγιον αὔξησιν ἐ ζητεῖ τελειότατον ὂν, „
διὸ καὶ παρ' αὐτῷ πάντα τέλεια, ἀγάπη, χαρὰ, εἰρή- „
νη, μακροθυμία, χρηστότης, σοφία, σύνεσις, βελὴ, „
ἀσφάλεια, εὐσέβεια, γνῶσις, ἁγιασμὸς, ἀπολύτρω- „
σις, πίστις, ἐνεργήματα δυνάμεων, χαρίσματα ἰαμά- „
των, καὶ ὅσα τούτοις παραπλήσια· ἐδὲν ἔχον ἐν ἑαυτῷ „
ἐπίκτητον, ἀλλ' ἀϊδίως πάντα ἔχον ὡς Πνεῦμα Θεῦ, καὶ „
ἐξ αὐτῦ πεφυκὸς· αἴτιον ἑαυτῦ ἔχον ὡς πηγὴν ἑαυτῦ, „
κἀκεῖθεν πηγάζον· πηγὴ δὲ καὶ αὐτὸ τῶν προειρημένων „
ἀγαθῶν. Ἀλλὰ τὸ μὲν ἐκ Θεῦ πηγάζον ἀνυπόστατόν ἐστι, „
τὰ δὲ ἐξ αὐτῦ πηγάζοντα, ἐνέργειαι αὐτῦ εἰσί· καὶ
πάλιν ἐν τοῖς αὐτοῖς· „ὥσπερ διαιρεῖν τὰ ἐνεργήματα „
ἐν τοῖς ἀξίοις τῆς ὑποδοχῆς τῶν ἐνεργημάτων ὁ Πατὴρ „
λέγεται, καὶ διαιρεῖν τὰς διακονίας ὁ Υἱὸς εἰς τὰς τῆς „
διακονίας ἀξίας, ἕτω διαιρεῖν καὶ τὰ χαρίσματα τὸ „
Πνεῦμα τὸ ἅγιον εἰς τὰς ἀξίας τῆς τῶν χαρισμάτων „
ὑποδοχῆς μαρτυρεῖται. Ὁρᾷς πῶς ἐνταῦθα ἡ τῦ ἁγίυ
Πνεύματος ἐνέργεια συντεταγμένη ἐστὶ τῇ τῦ Πατρὸς,
καὶ τῦ Υἱῦ ἐνεργείᾳ; ὅταν γὰρ τὰ πάντα ἐνεργῆται
ὑπὸ τῦ Θεῦ διὰ Ἰησῦ Χριστῦ ἐν ἁγίῳ Πνεύματι, ἀχώρι-
στον ὁρῶ τὴν ἐνέργειαν τῦ Πατρὸς, καὶ τῦ Υἱῦ, καὶ τῦ
ἁγίυ Πνεύματος. Τούτοις συνῳδὰ καὶ Ἀθανάσιος ὁ πο-
λύτλας, καὶ πάντα εἰς ἕνα Θεὸν ἀναφέρων τὸν Πατέ-
ρα, ἐν τοῖς πρὸς Σεραπίονα ἕτω φησί· „τοῦτο εἰδὼς ὁ
μακάριος Παῦλος, ἐ διαιρεῖ τὴν Τριάδα ὥσπερ ὑμεῖς,
ἀλλὰ τὴν ἑνότητα ταύτης διδάσκων, ἔγραφε Κορινθίοις
περὶ τῶν πνευματικῶν, διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ
δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ αὐ-
τὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς
Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν· ἃ γὰρ τὸ Πνεῦ-
μα ἑκάστῳ ἐνεργεῖ, ταῦτα παρὰ τῦ Πατρὸς διὰ τῦ Λό-
γυ χορηγεῖται· πάντα γὰρ τὰ τῦ Πατρὸς τῦ Υἱῦ ἐστὶ,
διὸ καὶ τὰ παρὰ τῦ Υἱῦ ἐν Πνεύματι διδόμενα, τῦ Πα-
τρὸς ἐστὶ χαρίσματα· καὶ τῦ Πνεύματος δὲ ὄντος ἐν
ἡμῖν, ἐν τούτῳ αὐτῷ ἐστὶν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ ἕ-
τως ἐστὶ, τὸ, ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν

παρ' αὐτῷ ποιήσομεν. Καὶ τοῦτο πάλιν ὁ αὐτὸς Ἀπόστολος διδάσκων τοῖς αὐτοῖς ἔγραφε Κορινθίοις ἐν δευτέρᾳ ἐπιστολῇ, ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν· ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ, ἐν Τριάδι δίδοται, παρὰ Πατρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι· ὥσπερ δὲ ἐκ Πατρὸς ἐστὶ δι' Υἱοῦ ἡ διδομένη χάρις, ἕτως ἐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ· τότε γὰρ μετέχοντες ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην, καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ ἁγίου Πνεύματος τὴν κοινωνίαν· μία ἄρα καὶ ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται· ἃ γὰρ ὥσπερ ἑκάστοις διηρημένα καὶ διάφορα τὰ διδόμενα, σημαίνει ὁ Ἀπόστολος, ἀλλ' ὅτι τὰ διδόμενα ἐν Τριάδι δίδοται, καὶ τὰ πάντα ἐξ ἑνὸς Θεοῦ εἰσι· καὶ μὴν καὶ ὁ εὐαγγελιστὴς Λουκᾶς ἐν ταῖς πράξεσιν· ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου φησὶ, περὶ τῆς προόδου ταύτης τὸν λόγον ποιούμενος· καὶ πάλιν, θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον· καὶ αὖθις, ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας· καὶ ὁ θειότατος Παῦλος ἐν τῇ πρὸς Κορινθίους πρώτῃ, ἑκάστῳ, λέγει, δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητείαν, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνείαν γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· καὶ Πέτρος ὁ κορυφαῖος ἐν ταῖς πράξεσι, τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ ἁγίου Πνεύματος λαβὼν τοῦτο ἐξέχεεν,

ὃ νῦν

ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε· καὶ πάλιν, μήτοι τὸ "
ὕδωρ κωλύσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἵ- "
τινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον ὥσπερ καὶ ἡμεῖς; καὶ "
ὁ Κύριος δὲ ἀμφοτέρων τῶν προόδων τοῦ Πνεύματος μνή-
μην ποιούμενος ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ φησίν·
„ὅταν δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ "
τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πα- "
τρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· ἐν μὲν "
οὖν τῷ εἰπεῖν ὅταν ἔλθῃ, τὴν δεσποτείαν τοῦ Πνεύματος
ἔδειξε, καὶ χρόνον ἐνέφηνεν· ἐν δὲ τῷ εἰπεῖν, ὃν ἐγὼ πέμψω
ὑμῖν παρὰ τοῦ Πατρὸς, τό, τε μὴ ἀντίθεον εἶναι τὸ Πνεῦ-
μα τὸ ἅγιον, καὶ ἡμῶν ἕνεκα τὴν πρόοδον ταύτην οὖσαν
παρέστησεν· ἐπέμφθη γὰρ ἡμῖν· τῷ δὲ προσθῆναι, ὃ πα-
ρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τὴν προαιώνιον καὶ ἀναίτιον
ἐκείνην τοῦ θείου Πνεύματος πρόοδον, ὅθεν ἐστὶ, θεοπρε-
πῶς παραδέδωκεν.

Οὕτω τοίνυν διττῆς τῆς προόδου τοῦ Πνεύματος καὶ
οὔσης καὶ λεγομένης, καὶ τῆς μὲν σαφηνείας ἕνεκεν δι-
καίως ἂν κληθείσης καὶ πρώτης καὶ ὑποστατικῆς καὶ
καθ' ὕπαρξιν, τῆς δὲ δευτέρας καὶ μεταδοτικῆς καὶ
κατ' ἐνέργειαν· τῆς μὲν πρώτης ὁ Πατὴρ μόνος αἴτιος,
τῆς δὲ δευτέρας καὶ ὁ Υἱὸς, καὶ αὐτὸ τὸ Πνεῦμα τὸ
ἅγιον· ταύτη τοι καὶ οὐδεὶς τῶν διδασκάλων τῆς καθ'
ἡμᾶς ἐκκλησίας, ἐκ τοῦ Υἱοῦ εἶπε τὸ Πνεῦμα τὸ ἅγιον
προσωπικῶς ἐκπορεύεσθαι, ἢ ἐκ τοῦ Υἱοῦ τὴν ὕπαρξιν
ἔχειν, ἢ τοῦ Υἱοῦ πρόβλημα εἶναι, ἢ τὸν Υἱὸν προβολέα,
ἢ αἴτιον τοῦ ἁγίου Πνεύματος ἀπεφήνατο· προχεῖσθαι δὲ,
καὶ ἀναβλύζειν, καὶ προϊέναι, καὶ ἐκλάμπειν, καὶ πέμ-
πεσθαι, καὶ χορηγεῖσθαι, καὶ δίδοσθαι δι' αὐτοῦ, πάντες
ἀνακηρύττουσιν· οὐκ ἀγνοοῦντες τῇ μεταδοτικῇ τῶν προό-
δων ταῦτα προσήκοντα.

Ἀλλὰ ταὐτὸν, φησὶ, τὸ ἐκ τοῦ Υἱοῦ πηγάζειν τὸ Πνεῦ-
μα, τὸ ἐκχεῖσθαι, τὸ ἐκλάμπειν, τὸ πνέειν, τὸ πέμπε-
σθαι, τὸ χορηγεῖσθαι, τὸ δίδοσθαι, καὶ ὅσα τοιαῦτα, τῷ ἐκ
τοῦ Υἱοῦ αὐτὸ ἐκπορεύεσθαι. Οὐκοῦν εἰ τὸ προβάλλεσθαι τὸ

Πνεῦμα τῷ δίδοσθαι ταὐτὸν, ὁ προβάλλων ἕσαι διδὲς τὸ προβαλλόμενον, καὶ ὁ διδὲς προβάλλων τὸ διδόμενον· ἀλλὰ τὸ μὲν δίδοσθαι τὸ Πνεῦμα ἐνεργείας ἐστὶ, τὸ δὲ προβάλλεσθαι ὑποστάσεως· ὑπόστασις δὲ καὶ ἐνέργεια ἐ ταὐτόν· ἐκ ἄρα τὸ προβάλλεσθαι τῷ δίδοσθαι ταὐτόν. Πάλιν, εἰ ταὐτὸν μετάδοσις ἁγίε Πνεύματος καὶ ἐκπόρευσις, ἢ διὰ τιὼ μεταδόσιν μεθεκτιὼ ἔσαν μεθεκτὴ ἔσαι καὶ ἡ ἐκπόρευσις, ἢ διὰ τιὼ ἐκπόρευσιν ἀμέθεκτον ἔσαν, ἀμέθεκτος ἔσαι καὶ ἡ μετάδοσις· ἀλλαμιὼ ἡ μὲν μετέχεται ἡ ἁγία μετάδοσις, ἡ δὲ μένει ἀμέθεκτος, ἡ ἐκπόρευσις· μεθεκτὸν δὲ καὶ ἀμέθεκτον ἐ ταὐτόν· ἐκ ἄρα τῇ μεθέξει ἡ ἐκπόρευσις ταὐτόν. Αὖθις, εἰ ταὐτὸν ἔκχυσις τῆ ἁγίε Πνεύματος καὶ ἐκπόρευσις, ἢ διὰ τιὼ ἐκπόρευσιν ἀόρατον ἔσαν, ἀόρατος καὶ ἡ ἔκχυσις ἐστὶν, ἢ διὰ τιὼ ἔκχυσιν ὁρατιὼ ἔσαν, ὁρατὴ ἔσαι καὶ ἡ ἐκπόρευσις· ἀλλαμιὼ ἡ μὲν μυρίοις ὡράθη, ἡ δὲ μένει ἀόρατος· ὁρατὸν δὲ καὶ ἀόρατον ἐ ταὐτόν· ἐκ ἄρα τῇ ἐκχύσει ἡ ἐκπόρευσις ταὐτόν. Πρὸς δὲ, εἰ ταὐτὸν δωρεὰ τῆ θείε Πνεύματος ἢ ἐκπόρευσις, ἢ διὰ τιὼ ἐκπόρευσιν ἁπλιῶ ἔσαν, ἁπλῆ ἔσαι καὶ ἡ δωρεὰ, ἢ διὰ τιὼ δωρεὰν ποικίλιω ἔσαν, ποικίλη ἔσαι καὶ ἡ ἐκπόρευσις· ἀλλαμιὼ ἡ μὲν ἐκπόρευσις ἁπλῆ ἐστὶν, ἡ δωρεὰ δὲ ποικίλη· ἁπλῆν δὲ καὶ ποικίλον ἐ ταὐτόν· ἐκ ἄρα ἡ ἐκπόρευσις ταὐτὸν τῇ δωρεᾷ. Ἔτι, εἰ ταὐτὸν ἥτε ἀποστολὴ τῆ Πνεύματος καὶ ἡ ἐκπόρευσις, ἢ διὰ τιὼ ἀποστολιὼ πρὸς ἡμᾶς γινομένιω σὺ χρόνῳ, καὶ ἡ ἐκπόρευσις πρὸς ἡμᾶς ἔσαι σὺ χρόνῳ, καὶ λῦ, καὶ ἔσιν ὅπερ ἐστίν· ἢ διὰ τιὼ ἐκπόρευσιν ἐ πρὸς ἡμᾶς γινομένιω καὶ νῦ καὶ πρὸ τῆς τῆ κόσμε συστάσεως, ἀδὲ ἡ ἀποστολὴ τῆ πνεύματος πρὸς ἡμᾶς ἔσαι· ἀλλαμιὼ ἡ μὲν ἀποστολὴ πρὸς ἡμᾶς γίνεται, ἡ δὲ ἐκπόρευσις καθ' αὑτιὼ καὶ λῦ καὶ ἔστι καὶ ἔσαι ὅπερ λῦ· ἐκ ἄρα τῇ ἀποστολῇ τῆ πνεύματος ταὐτὸν ἡ ἐκπόρευσις. Ἔτι, εἰ ταὐτόν ἐστὶν ἡ προσωπικὴ τῆ πνεύματος ἐκπόρευσις τῇ πρὸς ἡμᾶς αὐτῆ χάριτι, ἢ διὰ τιὼ ἐκπόρευσιν προσωπικιὼ ἔσαν, προσωπικὴ καὶ ἡ χάρις ἔσαι, ἢ διὰ τιὼ χάριν κοινιὼ ἔσαν, κοινὴ ἔσαι καὶ ἡ ἐκπόρευσις·

σις·

σις· ἀλλαμὴν ἡ χάρις ἐκ τῶν τριῶν προσώπων ἐπίσης ἔρχεται, ἡ δὲ τῦ πνεύματος ἐκπόρευσις ἐκ ἔστιν ἐκ τῶν τριῶν· ἐκ ἄρα ἡ ἐκπόρευσις τῇ χάριτι ταὐτόν. Ἔτι, εἰ ταὐτὸν ἡ τῦ Πνεύματος πέμψις καὶ ἡ ἐκπόρευσις, ἢ τῆς πέμψεως διὰ τὶ τῦ Θεῦ ἀγαθότητα δι' ἡμᾶς γινομένης, διὰ τὶ τῦ αὐτῦ ἀγαθότητα, καὶ ἡ ἐκπόρευσις δι' ἡμᾶς ἔσαι, ἢ ἀναιτίε τῆς ἐκπορεύσεως ἔσης δι' ἐδεμίαν αἰτίαν καὶ ἡ πέμψις γενήσεται· ἀλλαμὴν ἡ πέμψις δι' αἰτίαν γίνεται, ὅταν γένηται, ἡ δὲ ἐκπόρευσις τῦ πνεύματος ἀϊδίως, κ) δι' ἐδεμίαν αἰτίαν ἐστίν· ἐκ ἄρα τῇ πέμψει ταὐτὸν ἡ ἐκπόρευσις· εἰ δὲ ταὐτὸν ἐστὶν ἡ πέμψις τῦ Πνεύματος τῇ ἐκπορεύσει, ἀ μέντοι ἄλλο καὶ ἄλλο, πέμπεται δὲ παρὰ τῦ Πατρὸς ἀ μόνον τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ καὶ αὐτὸς ὁ Υἱὸς· καὶ ἡ πέμψις τῦ Υἱῦ ἄρα, καὶ ταὐτὸν ἔσαι τῇ ἑαυτῦ γεννήσει, καὶ ταὐτὸν τῇ ἐκπορεύσει τῦ Πνεύματος· ἀλλαμὴν ὁ Πατὴρ ἀ γεννᾷ τὸν Υἱὸν καθ' ὑπόσασιν ἀ τῷ πέμπειν αὐτὸν καὶ διδόναι καὶ ἐνοικίζειν ἡμῖν διὰ Πνεύματος· ἐκ ἄρα ἀ δὲ τὸ Πνεῦμα, ἀ τῷ πέμπειν καὶ διδόναι καὶ ἐνοικίζειν ἡμῖν δι' Υἱῦ ἐκπορεύει αὐτὸ καθ' ὑπόσασιν. Αὐτὰ δὲ ταῦτα ὡσαύτως καὶ περὶ τῦ Υἱῦ καὶ περὶ τῦ Πνεύματος ἔχομεν λέγειν· ἐπεὶ γὰρ ἀ μόνον τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τῦ Υἱῦ, ἀλλὰ καὶ ὁ Υἱὸς παρὰ τῦ Πνεύματος πέμπεται, εἰ ταὐτὸν πέμψις τῦ Πνεύματος καὶ ἐκπόρευσις, καὶ ἐπὶ τῦ Υἱῦ πάντως ταὐτὸν ἔσαι ἡ πέμψις αὐτῦ καὶ ἡ γέννησις· ἀλλαμὴν τὸ Πνεῦμα τὸ ἅγιον, ἀ γεννᾷ τὸν Υἱὸν ἀ τῷ πέμπειν αὐτὸν καὶ διδόναι καὶ ἐνοικίζειν ἡμῖν· ἐκ ἄρα ἐδὲ ὁ Υἱὸς ἀ τῷ πέμπειν καὶ διδόναι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύει αὐτὸ καθ' ὑπόσασιν· εἰ δὲ καὶ ἡ ἄχρονος τῦ Πνεύματος πρόοδος δι' αἰτίαν, δι' αἰτίαν ἔσαι καὶ ἡ τῦ Υἱῦ ἄχρονος γέννησις· καὶ ἐκ ἀληθεύει ὁ λέγων περὶ αὐτῦ, ἀ ἀρχῇ λῦ ἀναιτίως· εἰ δὲ καὶ τὸ ἕ ἕνεκα τῦ ἕνεκά τε κρεῖττον, δι' ἡμᾶς δὲ τὸ Πνεῦμα τὶ τῦ ὕπαρξιν ἔχει, ὑπερέχομεν ἄρα ἡμεῖς αὐτῦ τῷ τελικῷ αἰτίῳ· καὶ ὅσα δὲ ἄλλα ἔπεται ἄτοπα, τὶ ἂντις ἀριθμοίη;

Καὶ μὴν εἰ τὸ αὐτό ἐστι καὶ πρόσωπον τῆ Πνεύματος ἀϊδίως καὶ ἀδιαιρέτως ὑφεστηκὸς ἀν τῷ Πατρὶ, τὸ αὐτὸ δὲ καὶ χάρισμα δωρέμενον ἡμῖν χρονικῶς καὶ μεταδοτικῶς, καὶ ἡ προαιώνιος αὐτῆ ὕπαρξις ἡ αὐτή ἐστι τῇ πρὸς ἡμᾶς αὐτῆ δόσει· ἐπεὶ ὁ μόνον ὁ Πατὴρ καὶ ὁ Υἱὸς αὐτὸ δίδωσιν, ἀλλὰ καὶ αὐτὸ ἑαυτό· καὶ αὐτὸ ἐξ αὐτῆ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον προσωπικῶς ἐκπορεύεται· εἶτα ὁ μὲν Υἱὸς σὺν τῷ Πατρὶ γεννᾷν ἑαυτὸν, καὶ τῆς ἰδίας γεννήσεως αἴτιος εἶναι, δεδαίμοσι νομισθήσεται, ἡμεῖς δὲ τὸ Πνεῦμα τὸ ἅγιον αὐτὸ ἑαυτὸ προσωπικῶς ἐσιᾶν, καὶ τῆς ἰδίας ἐκπορεύσεως αἴτιον εἶναι πιστεύσομεν; καὶ ποῖος ἅδης τᾶτο ἐρεύξεται; εἰ δὲ ἡ μὲν ἀϊδίος τῆ θείᾳ Πνεύματος πρόοδος ἐκ ἔστιν ἐξ ἑαυτῆ, ἄτοπον γὰρ αὐτὸ ἑαυτὸ προσωπικῶς ἐκπορεύειν, ὡς δέδεικται· ἡ δὲ πρὸς ἡμᾶς αὐτῆ δόσις ἔστι καὶ ἐκ τῆ Πνεύματος· ἄλλο ἄρα τὸ τῆ Πνεύματος πρόσωπον, καὶ ἄλλο τὸ χάρισμα· ἕτερον δόσις τῆ Πνεύματος, καὶ ἕτερον ὕπαρξις.

Ἀλλὰ τὸ πολλὴν ἐμποιᾶν τοῖς πολλοῖς ἐξαπάτην ἐκεῖνο ἐστὶν, ὅτιπερ ἰδίκα περὶ τῆς δόσεως ταύτης, ἢ τῆ χαρίσματος ποιᾶνται λόγον οἱ ἅγιοι, ἐπεὶ μὴ μόνον παρὰ τῆ Πατρὸς, ἀλλὰ καὶ παρὰ τῆ Υἱῆ τᾶτο δίδοσθαι ἴσασι, λοιπὸν καὶ ἐκ Πατρὸς δι' Υἱῆ προϊέναι, καὶ ἐκ Πατρὸς δι' Υἱῆ χορηγεῖσθαι, καὶ ἐκ Πατρὸς δι' Υἱῆ πεφηνέναι, καὶ ὅσα τοιαῦτα τιθέασιν· ὧν ἀκέοντες οἱ πολλοὶ καὶ μὴ συνιέντες ὡς ἐχὶ περὶ τῆ προσώπῳ τῆ Πνεύματος, ἀλλὰ περὶ τῆ χαρίσματος ταῦτα λέγονται, ἔχοντες δὲ καί τινα ζῆλον ἴσως περὶ τῆ Πνεύματος, κἂν μὴ κατ' ἐπίγνωσιν, εὐθὺς καὶ τινὶ δόσιν ἐκπόρευσιν, καὶ τὸ χάρισμα πρόσωπον τῆ Πνεύματος οἴονται· κἀντεῦθεν τέτοις τὸ δόγμα ὠχυρῶσθαι δοκεῖ, καὶ οἷον ἐρανόμηκες τεῖχος τέτες ἡμῶν διῆσῶν· ἀλλ' ὅγε τῶν διδασκάλων κύκλος, ἱκανὸς αὐτὲς μεταπεῖσαι τῆς τοιαύτης δόξης· μᾶλλον δὲ τὸ τῆ Χριῆ σόμα ὁ Παῦλος, πᾶσι πρὸς πίστωσιν ἐξαρκεῖ· νυῦ μὲν λέγων διαιρέσεις χαρισμάτων, καὶ ὅσα ἑξῆς· νυῦ δὲ, ᾧ μὲν διὰ τῆ Πνεύματος δίδοται τόδε, ᾧ

δὲ

δὲ τόδε· καὶ ἄλλῳ μὲν ἄλλο, ἑτέρῳ δὲ ἕτερον· καὶ τούτοις πᾶσιν ἐπιφέρων, ὥσπερ τι σφράγισμα λόγῳ, πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· ὥστε βουλήσεως ἡ χάρις, ἀλλ' οὐχὶ φύσεως· ὥστε οὐχὶ προσώπων, ἀλλ' ἐνεργειῶν ἡ διαίρεσις· ὥστε ὥσπερ ὁ τὰ ἐνεργήματα ἐνεργῶν Θεὸς ἓν ἔστιν ἐνέργημα, ἀλλὰ τὸ πρόσωπον αὐτὸ τοῦ Πατρός· καὶ ὁ τὰς διακονίας διακονῶν Κύριος διακονία ἓν ἔστιν, ἀλλὰ τὸ πρόσωπον πάντως αὐτοῦ τοῦ Υἱοῦ· ἔτω καὶ τὸ διαιροῦν τὰ χαρίσματα Πνεῦμα ἓν ἔστι χάρισμα, ἀλλ' αὐτὸ τὸ τοῦ Πνεύματος πρόσωπον· εἰ δὲ τὸ αὐτό ἐστι τὸ τοῦ θείου Πνεύματος πρόσωπον, καὶ τὸ χάρισμα, καὶ ἡ αὐτὴ ἐστὶ δόσις τοῦ Πνεύματος καὶ ἐκπόρευσις, τὸ αὐτὸ ἄρα ἔσαι διακονία Κυρίου καὶ Κύριος· καὶ τὸ αὐτὸ ἔσαι Θεοῦ ἐνέργημα καὶ Θεός· ἔπερ τὸ διαιροῦν πρόσωπον τῷ διαιρεμένῳ χαρίσματι ταὐτόν· ἀλλὰ τιὼ δόξαν ταύτιω ὁ θεῖος Ἀπόστολος ἀναιρῶν, ἵνα δείξῃ ὅτι ἄλλο τῶν διαιρεμένων ἐστὶ τὸ διαιροῦν τὰ διαιρέμενα πρόσωπον, διαπρυσίως ἔτω φησί· „πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ αὐ καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· τοῦτέστι τὰ μὲν διαιρέμενα καὶ πλεῖσα καὶ ποικίλα, τὸ δὲ διαιροῦν ταῦτα πρόσωπον αὐ τὸ αὐτὸ καὶ ἁπλοῦν· καθάπερ ἓν ὁ Πατὴρ παρέχων χαρίσματα τοῖς ἀνθρώποις, ἐκ αὐτὸς προσωπικῶς τινὶ παρὰ τοῦτο χαρίζεται· καὶ καθάπερ ὁ Υἱὸς δυνάμεις διδοὺς τοῖς ἀξίοις, ἐ προσωπικῶς αὐτὸς τινὶ μεταδίδοται· ἔτω δὴ καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὰς κοινὰς δωρεὰς τοῦ Πατρὸς ἢ τοῦ Υἱοῦ ἢ ἑαυτοῦ διανέμον πιστοῖς, προσωπικῶς ἑδενὶ χορηγεῖται παρά τινος, ταύτας πλὴν τὰς κοινὰς δωρεάς· ἢ ἐνικῶς πνεῦμα, ἢ δόσιν, καὶ χάριν, καὶ δῶρον, καὶ χάρισμα· καὶ πληθυντικῶς πνεύματα, καὶ χαρίσματα, καὶ δόσεις, καὶ δῶρα, καὶ χάριτας οἱ ἅγιοι λέγουσι, ἢ παρ' οὗ ἑκάστε ἰδίως τῶν ἐν τῇ θείᾳ Τριάδι προσώπων παρεχομένας αὐτὰς, καὶ παρὰ τῶν δύο χορηγουμένας ὁποιωνοῦν ἐποιτις, καὶ παρὰ τῶν τριῶν διδομένας οἷς ἄξιον· πλὴν ἐκ τοῦ Πνεύματος μὲν ἀμέσως, ἐκ δὲ τοῦ Πατρὸς καὶ Υἱοῦ ἐκ ἀμέσως.

Ἀλλὰ τὸ μὲν ψεῦδος, αὖραι καὶ χάος καὶ ζόφος φερέτωσαν· ὅτι δὲ ἄλλο Φύσις ἐπὶ τῆς Θείας Τριάδος, καὶ ἄλλο ὑπόστασις, καὶ ἄλλο ἐνέργεια, οἱ τῆς ἀληθείας διδάσκαλοι μαρτυρείτωσαν· ὁ μὲν Δαμασκηνὸς Ἰωάννης ἔτω λέγων· „ ἰσέον ὅτι ἄλλο ἐστὶν ἐνέργεια, καὶ ἄλλο ἐνεργητικὸν, καὶ ἄλλο ἐνέργημα, καὶ ἄλλο ὁ ἐνεργῶν· ἐνέργεια μὲν ἔν ἐστὶν ἡ δραστικὴ καὶ ἐσιώδης τῆς Φύσεως κίνησις· ἐνεργητικὸν δὲ ἡ Φύσις ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα· ἐνεργῶν δὲ ὁ κεχρημένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις· ὅ, τε θεολόγος Γρηγόριος, ἄλλο γεννῶν καὶ γέννησις, θέλων καὶ θέλησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν· τὰ μὲν γὰρ ὀ κινῶν, τὰ δὲ οἷον ἡ κίνησις· καὶ ὁ ἅγιος Ἰσιδῶρος ὁ Φιλόσοφος καὶ μάρτυς· „ ἄλλο τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ ἐνυπάρχειν· καὶ ὑπάρχει μὲν τῷ Θεῷ ἡ ἐσία, ἐνυπάρχει δὲ τῇ ἐσίᾳ ἡ βελή· ἄλλη ἄρα ἡ ἐσία τῷ Θεῷ καὶ ἄλλη βελή· ὁ δὲ θεῖος Μάξιμος ἐδὲν τῶν ὄντων χωρὶς ἐνεργείας φυσικῆς ὑφέσηκεν· οἱ γὰρ ἅγιοι Πατέρες φανερῶς λέγεσι μήτε εἶναι, μήτε γινώσκεσθαι χωρὶς τῆς ἐσιώδες αὐτῆς ἐνεργείας τὴν οἱανδήτινα Φύσιν· καὶ ὁ τῆς Ἀλεξάνδρε Κύριλλος· „ εἰ τὸ γεννᾶν ταὐτὸν ἐστὶ τῷ ποιεῖν, ὁ γεννῶν ἔσαι ποιῶν τὸ γεννώμενον, καὶ ὁ ποιῶν γεγὼν τὸ ποιήμενον· ἀλλὰ τὸ μὲν ποιεῖν ἐνεργείας ἐστὶ, Φύσεως δὲ τὸ γεννᾶν· Φύσις δὲ καὶ ἐνέργεια ἐ ταὐτόν· ἐκ ἄρα τὸ γεννᾶν τῷ ποιεῖν ταὐτόν· ὥσε ἄλλο τῆς ἐνεργείας ἔσης, καὶ ἄλλο τῆς ὑποσάσεως, καὶ ἄλλο τῆς ἐσίας, ὥσπερ ἐδὲν ἐκεῖ γεννᾷ ἑαυτὸ, ἔτως ἐδὲν ἐκεῖ αὐτὸ ἑαυτὸ ἐκπορεύει καθ' ὕπαρξιν· ἄλλο τὸ γεγὼν πρόσωπον, καὶ ἄλλο τὸ γεννώμενον· ἄλλο τὸ ἐκπορεῦον, καὶ ἄλλο τὸ ἐκπορεύμενον· ἄλλο ὁ Υἱὸς, καὶ ἄλλο γέννησις Υἱῦ· ἄλλο Πνεῦμα, καὶ ἄλλο ἐκπόρευσις Πνεύματος· ἄλλο Θεῷ ὕπαρξις, καὶ ἄλλο Θεῷ συγκατάβασις.

Ὡς ἂν δὲ ἐπὶ τὸν τῷ λόγῳ σκοπὸν ἐπανέλθωμεν, αὕτη μὲν ἓν μία καὶ πρώτη τῆς τῆς πίσεως παρεκλοπῆς αἰτία, τὸ μίαν οἴεσθαι τῷ Πνεύματος πρόοδον καὶ ἀπλῶν, ἢ δύο

ἢ δύο μὲν εἶναι τέτε νομίζειν προόδες, ἄμφω δὲ ἐκ Πατρὸς καὶ Υἱᾶ ταύτας προσόσας τῷ Πνεύματι· δευτέρα δὲ· ἀλλ' ἵνα μὴ μακρηγορᾶντες φορτικοί τισι δόξωμεν, ἐν ἑτέρᾳ ὁμιλίᾳ περὶ ταύτης ἐρᾶμεν, εἰ δοίη Θεός· ἃ δίχα ἄτε νόημα καλὸν, ἄτε λόγος χρηστὸς, ἄτε πρᾶξις ὠφέλιμος. Ὅμως εἰδότες ὅτι πρὸς τὸ φρονεῖν ὀρθοδόξως, πρὸ παντὸς δεῖ καὶ ἀγάπιν πρὸς τὸν πλησίον κεκτῆθαι, ὡς ἐδὲν ἐκείνε λυσιτελᾶντος ἂν μὴ καὶ τᾶτο προσῇ· λοιπὸν ἐκεῖνα περὶ ἀγάπης καὶ ἀνεξικακίας τῇ ὑμετέρᾳ ἀγάπῃ ὑποτιθέμεθα νιῶ, ὅτι χρισιανᾶ σωθλῶαι θέλοντος ἴδιον, Φιλεῖν καὶ τὰς αὐτῷ προσκρέοντας· τᾶτο δὲ γένοιτ' ἂν κατ' ἐμὲ γνώμιν, ἐὰν καθ' ἑκάσιν πρᾴαν ταῦτα προλέγῃς σεαυτῷ· σήμερον ἐντόξομαι περιέργῳ, ἀχαρίσῳ, ὑβρισῇ, δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ, φαύλῳ· πάντα ταῦτα συμβέβηκεν ἐκείνοις, παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ κακῶν· ἐγὼ δὲ τεθεωρηκὼς τὴν φύσιν τᾶ ἀγαθᾶ ὅτι καλὸν, καὶ τᾶ κακᾶ ὅτι αἰσχρὸν, καὶ αὐτᾶ τᾶ ἁμαρτάνοντος τὴν φύσιν ὅτι μοι συγγενὴς, ἄτε ὀργίζεθαι τῷ συγγενεῖ βέλομαι, ἄτε ἐχθραίνειν αὐτῷ· γεγόναμεν γὰρ πρὸς συνεργίαν, ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα· τὸ ἓν ἀντιπράτλειν ἀλλήλοις, παρὰ φύσιν· ἀντιπρακτικὸν δὲ τὸ ἀγανακτεῖν καὶ ἀποτρέπεθαι.

Ὅτι καὶ πᾶς κύριος, καὶ ἀδελφὸς, καὶ πατὴρ, καὶ παιδαγωγὸς, καὶ διδάσκαλος, καὶ ἰατρὸς, καὶ νομοθέτης, καὶ δικασὴς εἰς τᾶτο κεῖνται, εἰς τὸ μισεῖθαι παρὰ τῶν, ἃς ἐτάχθησαν ὠφελεῖν· καὶ ἔαρεῖς καὶ φορτικοὶ καὶ ἀναιδεῖς φαίνεθαι· τὸ δ' αἴτιον ὅτι ἃ δι' ὧν τέρπεσιν ὠφελᾶσιν, ἀλλὰ δι' ὧν λυπᾶσι, καὶ ἀεὶ φορτικοὶ καὶ ἦσαν καὶ ἔσονται καὶ εἰσὶ, τοῖς μὲν ἀνοήτοις οἱ σωετοὶ, τοῖς ἁμαρτάνσιν οἱ δόκιμοι, τοῖς ῥᾳθύμοις οἱ σπεδαῖοι, τοῖς ἀπαιδεύτοις οἱ πεπαιδευμένοι, καὶ ὅλως τοῖς ἔρεβλοῖς οἱ ὀρθοί· πλὴν ἡ τᾶ ἑτέρᾳ κακία ἀβλάπλει τὸν ἕτερον· καὶ γὰρ εἰ ὅτι μάλισα ἀλλήλων ἕνεκα γεγόναμεν, ὅμως τὰ ἡγεμονικὰ ἡμῶν ἑκάσε τὴν ἰδίαν αὐτεξσιότητα κέκληται· ἐπεὶτοι ἔμελλεν ἡ τᾶ ἑτέρᾳ κακία ἄλ-

λᾳ

λȣ κακὸν εἶναι· ὅπερ ȣ̓κ ἔδοξε τῷ Θεῷ, ἵνα μὴ ἐπ' ἄλλῳ ᾖ τὸ τὸν ἕτερον ἀτυχεῖν· ὁ ȣ̓ν ἁμαρτάνων ἑαυτῷ ἁμαρτάνει, καὶ ὁ ἀδικῶν ἑαυτὸν κακὸν ποιεῖ, ἄλλον δ' ȣ̓δεὶς βλάψαι δύναται, ἂν μὴ αὐτὸς ἐθελήσῃ· καὶ τὶ λέγω ἄνθρωπος ἄνθρωπον βλάψαι ȣ̓ δύναται; ȣ̓δ' ὠφελῆσαι δύναται ἄνθρωπος ἄνθρωπον, ἂν μὴ καὶ αὐτὸς οἴκοθεν ὠφεληθῆναι θελήσῃ· ἀλλὰ καὶ τȣ̃το πρὸς ὃ μέλλω λέγειν ἔστιν ȣ̓δεν· ȣ̓δ' αὐτὸς ὁ Θεὸς ὠφελῆσαι ἢ βλάψαι τινὰ δύναται, ἂν μὴ πρότερον αὐτὸς βȣληθῇ ὁ ὠφελȣ́μενος, ἢ βλαπτόμενος ἄνθρωπος· τὸ μὲν, ὅτι φύσει ἔχει τὸ ἀεὶ ὠφελεῖν μηδένα δὲ βλάπτειν ἡ θεία μεγαλειότης· τὸ δὲ, ὅτι τὴν ἀρετὴν ȣ̓ βίᾳ καρπȣ̃σθαι βȣ́λεται ἀφ' ἡμῶν· λοιπὸν ὅταν τινὸς ἀναισχυντίᾳ προσκόπτῃς, εὐθὺς πυνθάνȣ σεαυτȣ̃, δύνανται ȣ̓ν ἐν τῷ κόσμῳ ἀναίσχυντοι μὴ εἶναι; ȣ̓ δύνανται· μὴ ȣ̓ν ἀπαίτει τὸ ἀδύνατον· εἷς γάρ ἐστι καὶ ȣ̓τος ἐκείνων τῶν ἀναισχύντων, ȣ̓ς ἀνάγκη ἐν τῷ κόσμῳ εἶναι· τὸ δ' αὐτὸ καὶ ἐπὶ τȣ̃ πανȣ́ργȣ, καὶ ἐπὶ τȣ̃ ἀπίστȣ, καὶ παντὸς τȣ̃ ὁτιȣ̃ν ἁμαρτάνοντος, ἔστω σοι πρόχειρον.

Εὔχρηστον δὲ κἀκεῖνο εὐθὺς ἐννοεῖν, τίνα ἔδωκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ ἀρετὴν πρὸς τȣ̃το τὸ ἁμάρτημα· ἔδωκε γὰρ ὡς ἀντιφάρμακον, πρὸς μὲν τὸν ἀγνώμονα τὴν πραότητα, πρὸς δὲ τὸν ἀχάριστον τὴν ἀνεξικακίαν, πρὸς δὲ ἄλλο κακὸν ἄλλην τινὰ δύναμιν ἀγαθήν· τὶ δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ ἀπαίδευτος τὰ ἑαυτȣ̃ πράσσει; τὸ τὰ ἀδύνατα διώκειν, μανικόν· ἀδύνατον δὲ τὸ τȣ̀ς φαύλȣς μὴ φαῦλον ποιεῖν, καὶ τὸ τȣ̀ς ἀπαιδεύτȣς ἀπαίδευτα· ὅρα μὴ σαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλεις ὅτι ȣ̓ προσεδόκησας τȣ̃το ἁμαρτήσεσθαι· ἀλλ' ἀχάριστος; τὶ γὰρ πλέον θέλεις εὐποιήσας ἄνθρωπον; ȣ̓κ ἀρκεῖ τȣ̃το ὅτι κατὰ φύσιν τὴν σὴν ἔπραξας, ἀλλὰ τȣ́τȣ μισθὸν ζητεῖς; ἄλλῳ μὲν γὰρ ἄλλη, σȣ̃ δὲ ἡ τέχνη τὸ ἀγαθὸν πάντως εἶναι, ἢ γίνεσθαι· ἀχαρίστῳ ȣ̓ν μὴ μέμψῃ, ἀλλ' εἰς σεαυτὸν ἐπιστρέφȣ· ἔχεις γὰρ τὸ σαυτȣ̃ ποιήσας πρὸς ὃ παρεσκευάζȣ· μηδὲ ὀνειδίσῃς τινὶ χαρισάμενος

σάμενος ποτέ· ὁ γὰρ τὰς χάριτας ὀνειδίζων, ὅμοιός ἐστι γεωργῷ σπείροντι μὲν προθύμως, ἐπαφιέντι δὲ χοίρους καὶ θηρία τοῖς ἐσπαρμένοις· ὡς γὰρ ἐκεῖνος καὶ τὸν σπόρον, καὶ τὸν ἐξ αὐτοῦ λυμαίνεται καρπὸν, οὕτω καὶ οὗτος, καὶ τὰ καταβληθέντα, καὶ τὴν βλαστάνουσαν αὐτῷ ἀπόλλυσιν εὐχαριστίαν· ἀλλὰ τὶ δεῖ πρὸς τοὺς ἀγνώμονας καὶ ἀχαρίστους ποιεῖν; ὧδε ἐρῶ· οἷον εἴτις παραστὰς πηγῇ διαυγεῖ καὶ γλυκύᾳ βλασφημοίη αὐτὴν, ἡ δὲ οὐ πάυεται πότιμον βλύζουσα ὕδωρ αὐτῷ τε τῷ βλασφημοῦντι καὶ πᾶσιν ἐπίσης τοῖς βουλομένοις ἐκεῖθεν ἀντλεῖν· ἢ τοῦ τῇ βασιλικῇ κορυφῇ περιτιθεμένου λίθου κατηγοροίη ληρῶν ὡς εἴη ἄχρηστος καὶ ἀφεγγὴς, ὁ δὲ τὴν μαρμαρυγὴν ὁμοίαν διατηροίη· ἢ τὸν ἥλιον μέμφοιτο ὡς τὰς ὄψεις σκοτίζοντα, ὁ δὲ περιλάμποι ὡσαύτως πᾶν τὸ περίγειον· οὕτω καὶ σὲ χρὴ διακεῖσθαι, κἂν ὅσα ἄντις ποιῇ ἢ λέγῃ πρὸς σὲ, ἀλλ' αὐτὸς πνεύματι ἡγεμονικῷ εἰς τὸ σαυτοῦ καθεστηκὼς πάγιος ἔσο καὶ ἄτρεπτος, μήθ' ὑπὸ τοῦ παρόντος θραυόμενος, μήτε τὸ ἐπιὸν δεδοικώς· νοῦς γὰρ καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος, οὕτω πορεύεσθαι δύναται, ὡς πέφυκε καὶ θέλει· ὡς πῦρ ἄνω, ὡς λίθος κάτω, ὡς κύλινδρος κατὰ πρανοῦς· καὶ λῃστὴς προαιρέσεως οὐ γέγονεν, οὐ γίγνεται, οὐκ ἔσται· ἡ γὰρ τοῦ ἀνθρώπου φύσις, μέρος ἐστὶ κατά τι ἀνεμποδίστου φύσεως, καὶ νοερᾶς καὶ δικαίας· ἀλλὰ πηγὴ καὶ τίμιος λίθος καὶ ἥλιος, καὶ ὡς ἄψυχα, καὶ ὡς φύσει τὸ πλεονέκτημα ἔχοντα, ἄμοιρα μένει μισθοῦ· σοὶ δὲ ὅτι ἐν τῇ σαυτοῦ προαιρέσει κεῖται τὸ πᾶν, τῆς πρὸς τὸν παροξύνοντα συμπαθείας ἑτοίμη παρὰ Θεοῦ ἡ ἀντάμειψις· ὅθεν εἰ ἐλύπησέ τις, μὴ ἀντιλυπήσῃς, ἐπεὶ γέγονας ἐκείνῳ καὶ αὐτὸς ἴσος· καὶ ὥσπερ ἡ ἠχὼ τὰς φωνὰς, καὶ τὸ κάτοπτρον τὰς προσπιπτούσας μορφὰς, καὶ τοὺς πρὸς ἀλλήλας κρότους αἱ χεῖρες, οὕτω καὶ σὺ τὴν τοῦ πλησίον κακίαν ἀντεμιμήσω, καὶ ὃ ἐκεῖθεν ἔλαβες ἀντέδωκας, καὶ εἰς ὃ κατηγορεῖς ἔγκλημα περιέπεσες· οὐδεὶς δὲ νουνεχὴς κακῷ κακὸν θεραπεύει, οὐδὲ τραῦμα τραύματι ἐξιᾶται, ἀλλὰ τὰ ἐναντία τοῖς ἐναντίοις ἰάματα· ὅθεν τὰ ἱερὰ

λόγια,

λόγια, „μετὰ ὁσίε, φησὶν, ὅσιος ἔσῃ, καὶ μετὰ ἀνδρὸς
„ἀθῴε ἀθῷος ἔσῃ, καὶ μετὰ ἐκλεκτῆ ἐκλεκτὸς, καὶ με-
„τὰ στρεβλῆ διαστρέψεις· τετέσιν, ἐκ ἔσῃ στρέβλος καὶ
αὐτὸς, ἀλλ' ὀρθός· καὶ ἐπὶ πάντων κακῶν ἀντίστροφος·
καὶ ὥσπερ τὰ μὲν ὄψα ἀρτύειν, καὶ τὸν οἶνον κιρνᾶν, καὶ
πρὸς τιὼ τῆ ἀέρος ἀμφιάννυθαι κρᾶσιν ἐπιτηδεύῃ, ἔτω
καὶ πρός τὸν πλησίον τρόπον παντὶ τρόπῳ παίδαζε με-
θαρμόζεσθαι πρὸς ὠφέλειαν, καὶ πᾶσιν οἷς συγκεκλήρω-
σαι πράγμασι, καὶ οἷς ἀνθρώποις συζιῶσε ἡ πρόνοια
ἔταξε, καὶ ἡ φύσις μετὰ τῆ Φέροντος, σωαρμόζεντε
σαυτὸν καὶ φιλεῖν τὸ λαχὸν ἀληθινῶς.

Ἢ ἐκ ἀκήκεις ὅτι ἡ Σωκράτης φιλόσοφος ὢν, καὶ ἐπ'
ἐδεμιᾷ αἰτίᾳ προδήλῳ δεξάμενος ἐάπισμα πρὸς βαναύ-
σε, καὶ ταῦτα παρόντων τῶν μαθητῶν, ὡς μὴ πραχ-
θὰν ἐβάσασε τὸ συμβάν; καὶ Περικλῆς στρατηγὸς Ἀθη-
ναίων παρὰ δημότε δι' ὅλης ἡμέρας ἐπ' ἀγορᾶς λοιδορέ-
μενος, τὸν ὑβριστὴν ἐκ ἠμύατο· καὶ Ἀντωνῖνος Καῖσαρ
Ῥωμαίων τοῖς λοιδορῆσιν αὐτὸν ὤχαρίσε, χάριν οἶδα
„τοῖς λοιδορῆσί με λέγων, ὅτι βελτίονα ποιῆσιν· ἐγὼ γὰρ
„παιδάζων ψόγδεῖς αὐτὲς ἀπελέγχειν, εἴτι φαῦλον ποιῶ
„μεταβάλλομαι. Ἀλλ' ἄπιτε πόρρω τῆς ἡμετέρας αὐλῆς,
σύτε Καίσαρ καὶ Περικλὲς καὶ Σώκρατες, καὶ πᾶσα
φρατρία ἑλληνική· ἐκ ἔσιν ὑμῖν τοῖς ἀπίστοις μερὶς ἐν τῷ
τῶν πιστῶν κλήρῳ· ἀδὲ δεῖ παρὰ τῶν ἐν σκότῳ νεκρῶν
τὲς ἐν φωτὶ ζῶντας διδάσκεσθαι, ἑνὸν ἐκ τῶν ζώντων καὶ
τῶν ἐρανὲς οἰκέντων φωτίζεσθαι· σωορᾶς τὲς ναύτας
ὅσας φέρεσιν ἀντιπνοίας ἀνέμων, ὡς ἂν γένωνται τῆ πρὸς
ὃν λιμένα ἐπείγονται ἐγκρατεῖς; καὶ ὅσα ὑπὸ θαλάσσης
περιῤῥαντίζονται ἁλιεῖς ἵνα θηρεύσωσί τι θαλάσσιον;
καὶ πόσων ἀνέχονται στρατιῶται τραυμάτων, ὡς ἄντι
κέρδος φαῦλον ἑαυτοῖς περιποιήσωνται; καὶ πῶς ἀνεξικά-
κως τὰς τῶν ἀῤῥώστων πρὸς αὐτὲς λοιδορίας οἱ ἰατροὶ
φέρεσι, καὶ τὰς τῶν μεμιωότων ἀταξίας καὶ ὕβρεις οἱ
προσήκοντες; τέτες ἐν καλῷ καὶ αὐτὸς ζήλωσον, ἵνα
καὶ τιὼ σιὼ ἅμα ἡ τιὼ τῆ πλησίον κερδήσῃς ψυχιώ.

Ἀλλὰ

Ἀλλὰ τοιάδε φησὶ καὶ τοσάδε αὐτὸν εὐηργέτησα, ὁ δ' ἀχαρίστως καὶ ἀγνωμόνως ἀεί μοι προσφέρεται· τί γὰρ εἰπέμοι τὰς ἀνθρώπους ἠδίκησαν οἱ Ἀπόστολοι, ἵν' ὁ μὲν Πέτρος ὑπ' αὐτῶν σταυρωθῇ; ὁ δὲ Μάρκος λόγχαις τὸ σῶμα καθαλρωθῇ; ὁ δὲ Βαρθολομαῖος ἅπαν τὸ δέρμα ἀποδαρῇ; τί δὲ οἱ θεῖοι προφῆται τὰς ἑβραίας παρέβλαψαν, ἵν' ὁ μὲν ξυλίνῃ πριωθῇ πρίονι, ὁ Ἡσαίας; Ἱερεμίας δὲ καὶ Δανιὴλ, ὁ μὲν ἐν λάκκῳ βορβόρᾳ, ὁ δὲ ἐν τῷ τῶν λεόντων ἀποβρίφῃ; τί δὲ δεινὸν οἱ μάρτυρες τοῖς τυράννοις ἐποίησαν, ἵνα τὸν μὲν πυρὶ, τὸν δὲ ξίφει, τὸν δὲ πολυτρόποις βασάνοις καταναλώσωσι; βασιλείαν κατήγγελον ἅπασι, πλάνης ἀπῆγον δαιμονικῆς, τῷ ἀληθινῷ καὶ ζῶντι προσῆγον Θῷ· ταῦτα σεφάνων ἄξια, ταῦτα ἀνακηρύξεων, ἐ βασάνων· ἀλλ' ὅμως τἀναντία τούτων ἔπαχον πάντες, οἱ μυρίων κόσμων φθειρομένων ἀντάξιοι· ἔπειτα οἱ μὲν ὀφείλοντες δ' χαρισεῖσθαι καὶ σεφανεῖσθαι, ὑφ' ἡμῶν πεπονθότες μυρία δ' χαρίσεως ὑπέμειναν, ἡμεῖς δὲ μυρίων γέμοντες ψόγων, ἂν μικράν τινι καταθοίμεθα χάριν, δ' θὺς θαυμάζεσθαι καὶ ἀμείβεσθαι πολυτρόπως ζητήσομεν; ἀλλ' ἐκ εἰμὶ Προφήτης, ἐδ' Ἀπόστολος, ἐδὲ Μάρτυς φησὶν ἐγὼ, ἵνα φέρω τὰ τοιαῦτα ὀνείδη· ὅτι μὲν ἔν ἐκ εἷς τις ἐκείνων, μαρτυρῶ σοι κἀγὼ, ὅτι δὲ μαθητὴς τούτων ὑπάρχεις, ἐδ' αὐτὸς ἀρνηθείης· μαθητῆ δὲ ἴδιον τὸ μιμεῖσθαι τὸν διδάσκαλον· ἐδὲν ἓν ξένον, ἐδὲν νεώτερον γέγονεν ἐπὶ σὲ, ἀλλὰ τὸ σιώθες· καὶ ὁ τῶν κατὰ τὸν κόσμον τῶτον τὸν μάταιον γινομένων ἡ φύσις γίνεσθαι ἀπαιτεῖ· πατρὶ γὰρ υἱὸς ἐπανίσαται, καὶ μαθητὴς διδασκάλῳ ἐπιβελεύει, καὶ εὐεργέτιν ὁ εὐεργετηθεὶς κατορύξαι ἐπείγεται· καὶ ὁ δημώδης λόγος τούτοις σιωάδει· ὅτῳ ποιήσῃς καλὸν, ἔκδεξαι παρ' αὐτῶ κακὸν εἰς ἀντάμειψιν.

Ὁρᾷς πόσα καθ' ἑκάστιν ἡμέραν ὁ Θεὸς βλασφημεῖται; πόσα ὑβρίζεται παρὰ πιστῶν καὶ ἀπίστων, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων; τί ἔν; ἔσβεσε διὰ τῶτο τὸν ἥλιον; ἐκοίμισε τινὶ σελιδίῳ; κατέῤῥαξε τὸν οὐρανόν;

ἀφῆκε

ἀφῆκε σκηπλός; ἐτάραξε τὴν γῆν; ἐξήρανε τὴν θάλασσαν; συνέχει τὸν ἀέρα; ἠφάνισε τῶν ὑδάτων τὰς πηγάς; ἐπαφῆκε θηρία τοῖς ἀχαρίστοις; ἐδαμῶς· ἀλλὰ πᾶν τἐναντίον· ἀνατέλλει τὸν ἥλιον, βρέχει τὸν ὑετὸν, δίδωσι τροφὰς, δίδωσι καρπὸς ἐτησίους τοῖς βλασφήμοις, τοῖς ἀνοήτοις, τοῖς μαροῖς, τοῖς διώκταις· εἶτα ὁ μὲν Θεὸς ἀθάνατος ὢν ἀ δυχεραίνει ὢν τοσούτοις αἰῶσι φαύλων ἀνεχόμενος τοσούτων καὶ τοιούτων· πόθεν; ὅς γε καὶ κήδεται τούτων παντοίως· ἡμεῖς δ' ὅσον ἔπω τελευτᾶν μέλλοντες, καὶ κομιεῖσθαι τὰ ἐπίχειρα τῶν ἡμετέρων ἔργων, ἀπαγορεύσομεν ἤδη; καὶ πρὸς τρεῖς τυχὸν ἢ δέκα τοιούτους δυχεραινέμεν; καὶ ταῦτα τῶν αὐτῶν ὄντες ἐν πολλοῖς ἀ δεύτεροι; πολλάγε καὶ δεῖ· ἀλλὰ τὰς μὲν ἐκείνων ὕβρεις ἐπαίνοις συχνοῖς, τὰς ἀχαριστίας εὐεργεσίαις, τὰς ἀράς ταῖς πρὸς τὸ θεῖον εὐχαῖς, καὶ ὅλως τὰ κακὰ τοῖς ἀγαθοῖς ἀμειψώμεθα· εἰ γὰρ καὶ ἀχαριστίαν ἐκεῖνοι τὰς παρ' ἡμῶν εὐεργεσίας ἠμείψαντο, τῆς μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ οὐτολῆς ἀλλ' ἡμῖν καλὸν ἐνταῦθα μνηθλιῶναι· καὶ οἱ φαῦλοι γὰρ τὰ φαύλων εἰργάσαντο, ἡμεῖς δὲ ἐδὲν πλέον ὀφείλομεν, εἰ μὴ τὴν πρὸς τὲς ὁμογενεῖς τῶν ἀνθρώπων ἀγάπην· καὶ ταύτην ἐ δι' ἀντάμειψιν, ἀλλὰ δι' ἀρετὴν μόνην, καὶ ἀπαραίτητον ὀφειλήν· καὶ γὰρ ἐδ' ὀφθαλμὸς τὲς πόδας ἀμείβεται ἀπαιτεῖ διότι βλέπει, ἐδ' οἱ πόδες τὸν ὅτι βαδίζουσιν, ἐδεμίαν ὁ λύχνος τιμὰς, ὡς οἰκοθεν τὴν οἰκίαν ἅπασαν καταλάμπων· πρὸς ὃ δὲ πέφυκε τούτων ἕκαστον ἀρκεῖται δὴ ἐνεργῶν· εὐεργετῶν, Θεὸν μιμῆ· ἐπαναζητῶν, τοκιστὴς εἶ. εὐεργετέμενος κήρυττε· χαριζόμενος σίγα· εὐεργετῶν δὲ καὶ ἀχαριστέμενος γενναίως φέρε· καὶ ὑπὲρ ἀμφοτέρων, ἤγαν, καὶ τῆς πρὸς τὸν πλησίον εὐεργεσίας, καὶ τῆς πρὸς σὲ τότε ἀχαριστίας, ἀμείφθήσῃ παρὰ Θεῦ.

Ἐπίσασο μού τοι κἀκεῖνο, ὅτι ἐκ ἂν παρεχωρήθης τοσοῦτον ὑπότε θλιβῆναι, εἰ μὴ προτῦ ἄλλως ἔθλιψας· εἴτε ἑκὼν, εἴτε ἄκων, λέγειν ἐκ ἔχω· πλὴν διὰ τοῦτο παιδεύῃ, ὅτι προήμαρτες· λάβε τοίνυν καθάρσιον, ἀνθ' ὧν

φέρμα-

φάρμακον τῷ δεῖνι κεκέρακας, καὶ πῖε τοῦτο ἡδέως, καθαίρει γάρ σε πολλῆς βδελυρίας· ἂν δὲ καὶ λίαν ἀγαναικτῇς, ἢ ἀποδυσπετῇς, ἀκαριαῖος ὁ ἀνθρώπινος βίος, καὶ μετ' ὀλίγον πάντες ἐκλείπομεν· ἀλλὰ σὺ πάντα ὡς αἰώνια φαντάζῃ· μικρὸν ἓν καὶ καταμύσεις, τὸν δὲ ἐξενεγκόντασε μετ' ὀλίγον ἄλλος πάλιν θρηνήσει. Τί μὴ λέγω τοῦτο, ὅμε μικρᾷ παρέδραμεν; ἐρώτησον σαυτὸν, ἐρώτησον πάντα χρησιανὸν, ἐν τίνι ἔχουσιν οἱ σωζόμενοι τὴν ἐλπίδα τῆς σωτηρίας; καὶ πάντως ἐρεῖσί σοι, καὶ ὑπὲρ πάντων οἱ πάντες, καὶ ὑπὲρ αὐτοῦ ἕκαστος, εἰς τὸ ἔλεος μόνον ἐλπίζομεν τοῦ Θεοῦ· τοῦτο δὲ ἐστὶν ἡ τοῦ Θεοῦ ἀνεξικακία· ἂν γὰρ μὴ πρὸς ἡμᾶς ἀνεξικακήσῃ, ἀδεὶς ὁ σωζόμενος· ἐπεὶ ἀνθρώπων ἀδεὶς ἀναμάρτητος, ἀδ' ἂν μία ἡμέρα ἡ ὁ βίος αὐτοῦ ἐπὶ γῆς· εἰ δὲ εἰς τὴν τοῦ Θεοῦ ἀνεξικακίαν ἔχομεν τὴν ἐλπίδα τῆς σωτηρίας, αὕτη δὲ τοῖς ἀνεξικακοῦσι δίδοται μόνοις, καὶ ἐδενὶ μνησικάκῳ, γενώμεθα λοιπὸν ἀνεξίκακοι πρὸς τοὺς ὁμοδούλους, ἵνα καὶ τὸ μέγα ἔλεος τοῦ Πατρὸς ἐφ' ἡμᾶς ἐπικασώμεθα, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωμεν, τῇ τῆς ὑπερθέου Τριάδος φιλανθρωπίᾳ καὶ ἀγαθότητι, ᾗ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Ε.

ΕΝ ΤΩ ΑΥΤΩ ΡΗΘΕΙΣ ΠΑΛΑΤΙΩ ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΤΡΙΑΔΟΣ.

Δεικνὺς ὅτι ἡ θεολογία ὑπέρκειται πασῶν τῶν τεχνῶν καὶ ἐπιστημῶν κατὰ λόγον ἀσύγκριτον· ὅθεν ἡ πίστις οὐ διὰ συλλογισμῶν ἀποδείκνυται.

Θεοῦ ἅγιον Πνεῦμα παράκλητε, συνέτισον ἡμᾶς, φώτισον ἡμᾶς, σῶσον ἡμᾶς ὑπεράγιε. Ἐν μὲν τῇ πρὸ τῶν ἓξ ἡμερῶν τούτων ῥηθείσῃ πρὸς ὑμᾶς ὁμιλίᾳ, περὶ μιᾶς τινος τῶν ἐκ τῆς πίστεως αἰτίας παρεκτροπῶν διελθόντες ὀλίγα, περὶ ἧς τηνικαῦτα ἐρεῖν ἐν τῇ μετ' αὐτὴν ὑπεχέθημεν ὁμιλίᾳ, ἤδη χωρὶς προοιμίων λέγομεν, καὶ προσέχετε. Ὅτι δὴ ἔστι τις καὶ δευτέρα, πολλῷ τῷ μέσῳ τῆς προτέρας χαλεπωτέρα, καὶ χείρων αἰτία τῆς ἐκτροπῆς· αὕτη δὲ ἐστὶ, τὸ τοῖς συλλογισμοῖς τὰ θεῖα, καὶ τῇ ἐκεῖθεν δυνάμει, ἀποδεικνῦναι πειρᾶσθαι πάσῃ σπουδῇ. Ἐξ ἀρχῆς δὲ χώραν οὗτοι ποσῶς οὐκ εἶχον εἰς τὴν θείαν αὐλήν· ἀφ' οὗ δὲ ἡ φλυαρία παίδευσις ἔδοξε παρείσδυσιν εὑράμενοι οἱ φθορεῖς, καὶ ἐπεισκωμάσαντες εἰς ταύτην, ἄλλος ἐπ' ἄλλοις καινοτομοῦντες, καὶ τὰ καλῶς κεκυρωμένα, ταῖς ἀτόποις εὑρέσεσι διασείοντες, τὴν τοῦ Χριστοῦ μου ἀγέλην μυρίων ἐνέπλησαν τῶν σκανδάλων. Διάτοι τοῦτο ὑποτίθεμαι πᾶσι καὶ παραινῶ, συλλογισμοῖς καινοῖς τὰ θεῖα δόγματα μήθ' ἡμᾶς δοκιμάζειν, μήθ' ἑτέροις ἐπάγουσιν ὦτα διδόναι τὸ σύνολον· μὴ δοκιμάζειν μὲν,

μὲν, ἐπεὶ πάνθ' ἁπλαπλασίως τὰ θεῖα λόγια δεδοκιμασμένα διὰ τῶν θείων διδασκάλων τὸ Πνεῦμα τὸ ἅγιον ἡμῖν παρέδωκε, τὰ δὲ παρ' ἐκείνων δεδοκιμασμένα περιττὸν καὶ μάταιον ἡμᾶς τὰς ἀμαθεῖς ἐξ ὑπαρχῆς δοκιμάζειν, καὶ ἄλλοτε ἄλλως, καὶ ὡς ἡμῖν δόξει περὶ αὐτῶν ἀποφαίνεσθαι· καὶ εἰς ἀπιστίαν, ὡς οἶμαι, τοῦτο φέρει καὶ βλασφημίαν, καὶ πολλὴν κίνδυνον οἶδε ταῖς ἡμετέραις ψυχαῖς προξενεῖν. Ὅτι καὶ σοφωτέρας ἑαυτὰς οἰονεὶ καθιστῶμεν τῶ Πνεύματος· μὴ ἀκόλουθον δὲ, μήπως τῷ προσδιαλεγομένῳ μετὰ τὸ τὰ αὐτῷ δόξαντα συμπεραίνειν, ἐρώτησιν, ἢ πεῦσιν ἐπάγοντος, φθάσαντες τυχὸν εἴποιμεν τὸ ναὶ ἐν τῷ ψεύδει, τὴν κακίστην ὁμολογίαν· ἢ τὸ δὲ ἐν τῇ ἀληθείᾳ, τὴν ἐπάρατον ἄρνησιν, καὶ τὴν ἡμῶν συμβῆ γλῶσσαν μολυσθῆναι διὰ τῆς εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίας, ἥτις καὶ ἄφεσιν οὐκ ἔχει, ὡς τὰ ἱερὰ φασὶ λόγια, οὔτε ἐν τῷ νυνὶ αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Ἔνθεντοι καὶ ὁ μέγας τῆς ἀληθείας κήρυξ, τὸ τῶ Κυρίω σόμα ὁ Παῦλος διαμαρτύρεται πᾶσι λέγων „ βλέπετε μήτις ὑμᾶς ἔσται ὁ συλαγωγῶν, διὰ τῆς φιλοσοφίας καὶ τῆς κενῆς ἀπάτης· καὶ πάλιν ἐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; ἐκ ἄρα συμβάλω χρησόμεθα τῇ ἐχθρᾷ, ἐδὲ περὶ ὧν ἐν τοῖς θείοις ἀμφισβητοῦμεν, αὕτη καθεδεῖται κριτὴς ἡ μωρά.

Ἀλλὰ δοκιμάζομεν, φησὶ, τὴν ἀλήθειαν ἐν τῷ δοκιμάζειν εὑρεῖν. Ἀπατᾶται, ἢ ψεύδεται, ἢ ἀπαρνεῖται σαφῶς τὴν ἀλήθειαν ὁ τοῦτο προφασιζόμενος· εἰ γὰρ μὴ ἦσαν δεδοκιμασμένα παρὰ τῶ Πνεύματος τὰ τοῦ Πνεύματος ὡς εἴρηται, εἰ δοκιμασὰς ἡμᾶς τούτων ἐκάθιζεν ὁ Χριστὸς, εἶχεν ἂν ἡ δοκιμὴ αὕτη παρρησίαν· νυνὶ δὲ ἐ δεῖται δοκιμῆς, ἐδὲ δεῖται καθαρισμοῦ τινὸς ἡ ἀλήθεια· μακρὰν ἀπ' αὐτῆς πᾶσα ἀνακάθαρσις· „ τὰ γὰρ λόγια τοῦ Κυρίου, φησὶν ὁ Δαβὶδ, λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως· πᾶν ἓν τὸ καθαιρόμενον, εὕρε τινὸς καθαίρεται· καὶ πᾶν δοκιμαζόμενον, ἀμφίβολον γνῶσιν παρέ-

χον πρότερον, ὕστερον δοκιμάζεται· ἡ δ' ἀλήθεια ἀνεπίμικτος ῥύπῳ, ἀναμφίβολον πρᾶγμα, αὐτόχρημα γνῶσις καὶ σωτηρία καὶ φῶς· τί γὰρ τῆς ἐν Πνεύματι γνώσεως ἀκριβέστερον; ἢ τί τοῦ φωτὸς αὐτοῦ φωτεινότερον; ἢ τῆς ἀληθείας αὐτῆς ἀληθέστερον;

Καὶ τί, φησὶ, κωλύει τὸ διὰ συλλογισμῶν περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως ἡμᾶς δοκιμάσαι; Πρῶτον μὲν ἔν κωλύει, ὅτι παράδοσις ἐστὶν ἀρχαία καὶ ἀποστολική, φόβῳ τινὶ ἐκ τῶν συλλογισμῶν συμμαχίαν ἐν τοῖς περὶ Θεοῦ λόγοις, ἀθανήτε ὄσαν καὶ εἰς ψεῦδος φέρεσθαι, καὶ μηδὲν ἕτερον, ἢ λύειν ἐπιχειρεῖσαν τινὶ ἰχνῷ τοῦ σαυροῦ. Ἔπειτα δὲ καὶ εἰ συλλογισμοῖς τὰ τῆς πίστεως ἐπιτρέψομεν, οἴχεται μὲν ἡ πίστις ἡμῶν, οἴχονται δὲ οἱ ἐπὶ τῇ πίστει στέφανοι, καὶ ἐκέτι Θεῷ ἀλλ' ἀνθρώποις πιστεύσομεν· διὸ φησὶ πάλιν ὁ μακάριος Παῦλος· „ καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖ σοφίας „ ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυ„ νάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, „ ἀλλ' ἐν δυνάμει Θεοῦ· καὶ αὖθις, οὐ γὰρ ἀπέστειλέ με „ Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ „ Λόγου ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ· πρὸς δὲ, οἷς „ καὶ ἐλαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λό„ γοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου, πνευματικοῖς „ πνευματικὰ συγκρίνοντες. Εἰ δὲ καὶ ἔστιτις ὑμῶν ἄμοιρος τῆς πολυτρόπου σοφιστικῆς, οὐ παρὰ τοῦτο δήπου τῷ ταύτῃ ἄκρως ἐπισταμένῳ, καὶ μάλιστα εἰ τύχοι ἡμῖν περὶ τὸ σέβας διαφερόμενος, προσέχειν ὀφείλει τὸν νοῦν· „ τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ ναῷ Θεοῦ καὶ εἰ„ δώλῳ; ἢ τίς συμφώνησις Χριστῷ καὶ Βελίαρ; τίς δὲ μερὶς πιστῷ μετ' ἀπίστου; ἢ τῷ Ἀριστοτέλει μετὰ τῶν τῆς Χριστοῦ ἐκκλησίας δογμάτων; ἐρρέτωσαν οἱ τῇ ἐκείνου φιλοσοφίᾳ σωιζεῖν, ἢ διασείειν πειρώμενοι τὰ ἡμέτερα· ἰοῦ δήπου κίβδηλον καὶ περιττὸν, ὑπαράντε πειθανότητα, καὶ καταργεμένου σοφίαν, ἡ θεία γραφὴ διασύρουσα οἶδεν ἀποκαλεῖν. Καὶ μήτις οἰέσθω με, ὡς ἐν πᾶσιν ἀχρήστου ταύτης

ταύτης ἐνταῦθα κατηγορεῖν· καλὴ μὲν γὰρ, καὶ χρήσιμος, καὶ δύρετικὴ λόγων αὕτη, ἀλλ' ἐν τοῖς φύσει γινομένοις, ἃ μὴν δὲ καὶ ἐν τοῖς ὑπὲρ φύσιν ταύτην κέκτηται τὴν ἰσχύν· ὅταν δ' ἐν καὶ μείζονα ἐπαγγέληται, μωρία τις ἐστὶ· καὶ πᾶσα δὲ τέχνη μὴ ἀρκεμένη τοῖς ὁροις τοῖς ἑαυτῆς, τοῦτο ἂν εἴη.

Πίστει τοίνυν δεχώμεθα τὰ θεῖα, καὶ μὴ γνώσει· διωάμει Πνεύματος, μὴ διαλεκτικῆς ἰσχύι· καὶ κρεῖττον ἢ κατὰ ἀπόδειξιν ταῖς θείαις γραφαῖς προσέχωμεν οἱ θέλοντες εὐσεβεῖν, „ πλανᾶσθαι γὰρ φησὶν ὁ πνευματοδόχος “ ἐκεῖνος, ἐγνωμίλει παρὰ σοὶ, κἀγὼ διὰ παντὸς μετὰ σοῦ· “ καὶ ἀναπόδεικτος ἡ εὐσέβεια διὰ τοῦτο ἀνθρωπίνοις συλλογισμοῖς· „ πίστις γάρ ἐστιν ἐλπιζομένων ὑπόστασις, πραγ- “ μάτων ἔλεγχος ἀ βλεπομένων. Οἱ συλλογισμοὶ τῶν ἀν- “ θρώπων τοῖς θείοις δόγμασιν ἐπαχθέντες ποτὲ μὲν ψευδόμενοι ἀληθεύειν δοκοῦσι, ποτὲ δ' ἀληθεύοντες νομίζονται ψεύδεσθαι· αἱ δὲ τῶν ἁγίων ἀποδείξεις, ἀλήθεια βεβαιοτάτη, καὶ φῶς μέγα ἐπὶ πᾶσαν τὴν γῆν, καὶ πάσης ἁπλῶς ἀπάτης ἀνωτέρα. Οἱ περίεργοι τῶν συλλογισμῶν σκοτίζουσι τὸν νοῦν, αἱ δὲ ῥήσεις τῶν ἁγίων φωτίζουσι τὴν ψυχήν· οἱ συλλογισμοὶ ἐπίνοιαι καὶ αἱρέσεις ἐνίοτε ἀνθρώπων ἀπίστων καὶ πονηρῶν, τῆς δὲ ἁγίας γραφῆς καὶ αἱ συλλαβαὶ τοῦ Πνεύματος τοῦ ἁγίου γεννήματα.

Εἰ δ' ἐμοὶ πείθεσθε, πιστεύετε τοῖς γεγραμμένοις ἁπλῶς, καὶ μὴ περιέργως ταυτὶ δοκιμάζετε· εἰ πιστεύετε ἃ δοκιμάζετε, εἰ δὲ δοκιμάζετε ἃ πιστεύετε· καὶ γὰρ ὁ τὴν γλῶτταν χρυσοῦς, οὐκ ἔστιν εἶναι στερρὸν, λογισμὸν ἀπαιτοῦντα φησὶν „ ὥσπερ γὰρ οἱ λογισμοὶ διαιροῦσι καὶ “ σαλεύουσιν, οὕτως ἡ πίστις στερεοῖ καὶ παγιοῖ ποιεῖ· καὶ “ πάλιν, ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος “ αὐτοῦ, ἃ διὰ τῆς ἔξωθεν σοφίας· αὕτη γὰρ καθάπερ “ τις θεραπαινὶς ἠτιμωμένη, οὐκ ἀφείθη ἔνδον εἰσελθεῖν “ καὶ παρακύψαι εἰς τὰ δεσποτικὰ μυστήρια· ὁρᾷς ὅσα τὸ “ μέσον τῆς σοφίας ταύτης κἀκείνης; ἅπερ ἄγγελοι οὐκ “

„ ᾔδεισαν, ταῦτα ἡμᾶς ἐπαίδευσεν αὕτη, ἡ δὲ ἔξωθεν
„ τὐναντίον ἅπαν ἐποίησεν· ὐ μόνον ὐκ ἐπαίδευσεν ἀλλὰ
„ καὶ ἐκώλυσε καὶ διετείχισε· καὶ αὖθις, πιστεύω εἰς ἕνα
„ Θεὸν Πατέρα παντοκράτορα, λέγει· πιστεύω, ὐκ ἐρευ-
νῶ· πιστεύω, ὐ διώκω τὸν ἀκατάληπτον· πιστεύω, ὐ με-
τρῶ τὸν ἀμέτρητον· ἐὰν πιστεύσω, φωτίζομαι τὴν ψυ-
χήν· ἐὰν περιεργάσωμαι, σκοτίζομαι τὐς λογισμὐς·
ἐὰν πιστεύσω καλῶς, ἀνυψῦμαι πρὸς ὐρανόν· ἐὰν ζητή-
„ σω περιέργως, καταφέρομαι εἰς βυθόν· πρὸς δὲ, ὑπο-
„ χόμεθα ὑμῖν μηδὲν ἀπὸ λογισμῶν ἐρεῖν· τὰ γὰρ ὅπλα
„ ἡμῶν ὐ σαρκικὰ, ἀλλὰ πνευματικὰ, λογισμὐς καθαι-
„ ρῦντα, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως
„ τῦ Θεῦ· καθαιρεῖν τοίνυν αὐτὐς, ὐκ ἐπαίρειν κελευό-
„ μεθα· καταλύειν ὐχ ὁπλίζεσθαι τὐτοις προσετάγημεν·
„ λογισμοὶ γὰρ θνητῶν δειλοὶ εἰσὶ φησὶ· τί ἐστι δειλός; ὁ
δειλὸς κἂν ἐπ' ἀσφαλῦς βαίνῃ χωρίυ, ὐδέπω θαῤῥεῖ,
ἀλλὰ δέδοικε καὶ τρέμει· ὕτω καὶ τὸ λογισμοῖς ἐπαχ-
θὲν, κἂν ἀληθὲς ᾖ, πληροφορίαν ὐδέπω παρέχει τῇ
ψυχῇ καὶ πίστιν ἱκανήν. Ἐπεὶ ὖν τοσαύτη τῶν λογισ-
μῶν ἡ ἀσθένεια, φέρε ἀπὸ τῶν Γραφῶν τῆς πρὸς τὐς
ἐναντίυς μάχης ἁψώμεθα· καὶ πρὸς τὐτοις, ὅταν ὑπὸ
„ λογισμῶν ἡ ψυχὴ πυρέττῃ, ὅταν χειμάζηται, τότε ζη-
„ τεῖ· ὅταν δὲ ἐν ὑγίᾳ ᾖ ὐ ζητεῖ, ἀλλὰ τῇ πίστει δέχε-
„ ται· ἀπὸ δὲ ζητήσεως καὶ λογομαχίας ὐδέν ἐστιν εὑρεῖν·
ἃ γὰρ ἡ πίστις ἐπαγγέλεται μόνη, ἡ ζήτησις ἐπειδὰν
ἐπιδέξηται, ὔτε δείκνυσιν, ὔτε συνιέναι ἀφίησιν· ὐδὲ
γὰρ εἴτις μύσας τὐς ὀφθαλμὐς, βὐλοιτο εὑρεῖν τι τῶν
ζητυμένων, δυνήσεται· ἢ αὖ πάλιν, εἰ τὐτων ἀνεωγμέ-
νων κατορύξας ἑαυτὸν, καὶ τὴν ἀκτῖνα ἀποστραφεὶς
ἐκεῖ ζητοίη, δυνήσεταί τι εὑρεῖν· ὕτω πίστεως χωρὶς ὐδὲν
εὑρίσκεται, ἀλλὰ μάχας ἀνάγκη τίκτεσθαι, ἐξ ὧν γί-
νονται φθόνοι, ἔρεις, βλασφημίαι, ὑπόνοιαι πονηραὶ,
τυτέστι δόξαι καὶ δόγματα πονηρὰ ἀπὸ τῶν ζητήσεων·
τότε περὶ Θεῦ ἃ μὴ δεῖ ὑποπτεύομεν, ὅταν εἰς ζητήσεις
„ ἐμπέσωμεν. „ Τὰ παραπλήσια δὲ καὶ ὁ τῆς Ἀλεξάνδρυ
„ Κύριλλος λέγει· πίστις ὐκ ἔστι τὸ ζητύμενον, ὃν τρόπον

„ γὰρ

γὰρ ἐλπὶς βλεπομένη οὐκ ἔστιν ἐλπὶς, ὅτω καὶ πίστις ἐρρωμένη, καὶ οὐκ ἔχουσα τὸ ἀζήτητον, πίστις οὐκ ἂν εἴη, κατὰ τὸν ἴσον τῇ ἐλπίδι λόγον. Ἀκούομοι καὶ Γρηγορίου τοῦ τῆς θεολογίας ἐπωνύμου, πῶς μακρὰν τῆς ἐκκλησίας ἐκβάλλει τὰς τολμητίας συλλογισμούς. „ Μωαβίταις μὲν, καὶ Ἀμανίταις φησὶ μηδὲ εἰσιτητὸν ἔσω εἰς τὴν ἐκκλησίαν Θεοῦ, λόγοις διαλεκτικοῖς τε καὶ κακοπράγμοσιν, οἱ γάνησιν Θεοῦ πολυπραγμονοῦντες, καὶ πρόοδον ἄῤῥητον, κατεξανίσανται τολμηρῶς τῆς θεότητος· ἡμεῖς δὲ ταῖς θείαις γραφαῖς ἑπόμενοι, καὶ τὰ ἐγκείμενα σκῶλα τοῖς τυφλώττουσι λύοντες, τῆς σωτηρίας ἐξώμεθα, πᾶν τολμῶντες πρότερον, ἢ κατὰ Θεοῦ τι νεανιεύσασθαι. „ Τούτῳ διέξεισιν ἀκόλουθα καὶ ὁ μέγας Βασίλειος λέγων τὸ ἁπλοῦν τῆς πίστεως ἰσχυρότερον ἐστὶ τῶν λογικῶν ἀποδείξεων· ὥσπερ γὰρ τῶν ἐπὶ τῆς ὄφθαλμοῖς προκειμένων κρεῖττον ἐφάνη τῆς ἀντιλογίας ἡ πεῖρα, ὅτω καὶ ἐπὶ τῶν ὑπεραναβεβηκότων δογμάτων κρεῖττον ἡ πίστις ἔστω τῆς διὰ τῶν λογισμῶν καταλήψεως· εἰ γὰρ μέλλοιμεν ἅπαντα τῇ καταλήψει μετρεῖν, καὶ τὸ τοῖς λογισμοῖς ἀπερίληπτον μηδὲ εἶναι τὸ παράπαν ὑπολαμβάνειν, οἰχήσεται μὲν ὁ τῆς πίστεως θεσμὸς, οἰχήσεται δὲ ὁ τῆς ἐλπίδος μισθός· καὶ πάλιν, πῶς δ' ἂν εἴημεν τῶν μακαρισμῶν ἄξιοι, τῶν ἐπὶ τῇ πίστει τῶν ἀοράτων ἀποκειμένων, οἱ μόνοις τοῖς κατὰ λογισμὸν ἐναργέσι πειθόμενοι; πόθεν ἐματαιώθη τὰ ἔθνη καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν; ἐκ ἐπειδὴ τοῖς ἐκ τῶν λογισμῶν φαινομένοις ἀκολουθοῦντες, τῷ κηρύγματι τοῦ Πνεύματος ἀπειθοῦσι; τίνας δὲ Ἡσαΐας ὡς ἀπολωλότας ὀδύρεται, ἀλλ' οἱ σοφοὶ παρ' ἑαυτοῖς λέγων, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες; Ἐφάμιλλα τούτοις, καὶ ὁ μέγας ἐν Φωσῆρσιν Ἀθανάσιος φησὶν „ ἡ θεότης οὐκ ἐν ἀποδείξει λόγων παραδίδοται, ἀλλ' ἐν πίστει καὶ εὐσεβεῖ λογισμῷ μετὰ εὐλαβείας· εἰ γὰρ καὶ τὰ περὶ τοῦ σωτηριώδους σταυροῦ, οὐκ ἐν σοφίᾳ λόγου· ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως ἐκήρυττον ὁ Παῦλος, καὶ ἀῤῥήτων δὲ δυνάμεων ἤκουσαν „ ἐν

» ἐν τῷ παραδείσῳ ἃ μὴ ἐξὸν ἀνθρώπῳ λαλῆσαι, πῶς
» περὶ αὐτῆς τῆς ἁγίας Τριάδος τῷ λόγῳ τιὼ ἀληθειαν
» πιστεύσει;

Ὁρᾶτε πῶς ἀποβάλλονται πάντες οἱ θεῖοι διδάσκαλοι τὰς περιέργας συλλογισμὰς; καὶ πόῤῥω ῥίπτουσι τέτας τῆς θείας αὐλῆς; φεύγωμεν τέτας λοιπόν. Καὶ τίνος χάριν φησίν; ὅτι πᾶς συλλογιζόμενος οἴεται πᾶν ὃ ἂν νᾶς ἐφικέσθαι ἀδυνατοίη, τᾶτο μηδὲ εἶναι τὸ παράπαν ἐπὶ Θεᾶ· καὶ μὴ μόνον ὑπὸ φύσιν, ἀλλά γε ὑπὸ γνῶσιν καὶ τέχνιν ἢ ἐπιστήμιν πειρᾶται τὸ θεῖον ποιεῖν· πρὸς δὲ, τοῖς ὑπὸ τὸν νᾶν ἀποδεικνυσι τὰ ὑπὲρ νᾶν, τοῖς φυσικοῖς τὰ ὑπὲρ φύσιν, καὶ τοῖς ἔσι τὰ ὑπερέσια· εὐσεβειάν τε εἰσάγει, ὃ διὰ πίστεως βεβαιωμένιν, ἀλλ' ὡς δοκεῖ καταλαμβανομένιν δι' ἀποδείξεως· καὶ αὖ πάλιν τιὼ ἑαυτᾷ πίστιν καὶ τιὼ ἐλπίδα, ἐκ ἐπὶ τὸν Θεὸν ἔχει, ἀλλ' ἐπὶ τὰς κενὰς ἀποδείξεις, καὶ τὰς εἰκαίας συλλογισμὰς, καὶ κατὰ πολλιὼ ἐξεσίαν, τά τε ἀδύνατα τῇ θεότητι διορίζει, καὶ τὰ ἀναγκαῖα νομοθετεῖ, καὶ τὸ μοναδικὸν εὑρίσκει, καὶ τὸ τριτλὸν ἀποδείκνυσι, καὶ τὰς προόδες φυσιολογεῖ, καὶ τὰς τρόπες αὐτῶν ἀποδίδωσι, καὶ ἐδοπωστιᾶν γνώσεως πλέον αὐτᾷ τῇ Τριάδι ἀφίησιν· ἡμεῖς δὲ Τριάδα προσκυνᾶμέν τε καὶ σεβόμεθα, ἄῤῥητον, ἀκατανόητον, ἀνεξιχνίαστον, ἀπερίληπτον, ἐδενὶ τῶν ὄντων ἐγνωσμένιν ἔχεσαν, ἢ τιὼ σύνωσιν, ἢ τιὼ διαίρεσιν, παντὸς δὲ νᾶ καὶ λόγε καὶ νοήσεως ἀσυγκρίτως ὑπερκειμένιν τε καὶ ἀπολελυμένιν, ἧς ἐκ ἔσι καθόλε θέσις ἐδ' ἀφαίρεσις, ἀλλὰ τῶν μετ' αὐτιὼ τὰς θέσεις καὶ τὰς ἀφαιρέσεις ποιᾶντες, αὐτιὼ ἔτε τίθεμεν ἔτ' ἀφαιρᾶμεν· ὑπὲρ πᾶσαν γὰρ ἐσὶ θέσιν ἡ παντελὴς καὶ ενιαία τῶν πάντων αἰτία, καὶ ὑπὲρ πᾶσαν ἀφαίρεσιν ἡ ὑπεροχὴ τᾶ πάντων ἁπλῶς ἀπολελυμένε καὶ τῶν ὅλων ἐπέκεινα· διὸ μυστικῶς αὖ καὶ τρία λεγομένη, καὶ μονὰς καὶ τριὰς ὑμνωμένη, ἐκ ἔσιν ἐδὲ μονὰς, ἐδὲ τριὰς, οἷα ἢ πρὸς ἡμῶν, ἢ ἄλλε τινὸς διεγνωσθαι τῶν ὄντων, ἀλλ' ἐν ἀβάτοις ἐζήρηται, ἄγνωσον

ἔχεσα

ἔχουσα πᾶσιν ὁμοίως καὶ τὸ μοναδικὸν, καὶ τὸ τρίτον, καὶ τὰς τῶν προόδων τρόπους.

Ταύτῃ τοι καὶ ἡμεῖς, ἐδαμῶς συλλογισμοῖς χρώμεθα, ὥστε δεῖξαι μόνον τὸν Πατέρα προβολέα τοῦ Πνεύματος, ὅτι ὑπὲρ ἀνθρωπίνην διάνοιαν, οἰόμεθα τὸ πρόβλημα εἶναι, καὶ διὰ τοῦτο ὑπὲρ πάντα συλλογισμὸν, καὶ ὑπὲρ πᾶσαν, ἵν' ἄντις εἴποι, ἀπόδειξιν· ἀλλὰ ὑποτιθέντες τὸ παρὰ τῶν ἐναντίων συμπέρασμα, τὰ κατὰ πᾶσαν ἀναίγκην ἑπόμενα ἐκ τῶν τοῖς ἁγίοις ἀποφανθέντων σκοπέμεθα· εἰ δέπου καὶ συλλογιστικῶς δοκοῦμεν λαλεῖν, λόγος ἀντὶ λόγου λαμβάνεται, καὶ τοῦ, ὥσπερ ὑπ' ὄψιν ἕνεκα τοῦ λόγου ἐλθεῖν. Ὅταν γὰρ ἐπιστήμης ὑπὸ ἐπιστήμην τελῇ, τότε τῆς ὑπερεχούσης ἐπιστήμης τοῖς συμπεράσμασιν, ὡς ἀρχαῖς οἰκείαις ἡ ὑποβεβηκυῖα χρωμένη μετὰ τοῦ τεταγμένου χωρεῖ, καὶ ἐδεμία ταύτῃ κακία, πρὸς τὰς ἀρχὰς ἀφορώσῃ τὰς ἑαυτῆς, συγγενεῖς τε οὔσας καὶ οἰκείας, καὶ ἐκ τῶν προτέρων προϊούσας πρὸς τὴν ἀλήθειαν· ὅπου δὲ πᾶσαι αἱ ἐπιστῆμαι καὶ τέχναι καὶ μέθοδοι εἰς αὐ ἀθροισθεῖσαι θεραπαινίδος ἠτιμωμένης ἐπέχουσι λόγον, τίς ἔτω τολμηρὸς καὶ ἀναίσχυντος, ὥστε ὑπὸ τὴν διαλεκτικὴν τέχνην, τὴν τῶν χριστιανῶν θεολογίαν ποιεῖν; ἢ πῶς ἂν ὀρθῶς νομίζοιτο τοῦτο ἢ γένοιτο, τὸ πάντη καὶ βλάσφημον καὶ ἀμήχανον; Ὅλως δὲ πῶς ἐστὶ δυνατὸν, μὴ ἀποπλανᾶσθαι τῆς ἀληθείας, τὸν ἐξ ἀνθρωπίνων μεθόδων τὰ θεῖα θηρεύειν ἐπιχειροῦντα; εἰ γὰρ ταῦτα ἐνδέχεται, μάτην ἡ πίστις ζητεῖται, καὶ ἡ πρὸς Θεὸν ἀποκάλυψις, ὅπου προχείρως χωρεῖ διὰ συλλογιστικῶν ἀποδείξεων προχωρεῖν εἰς εὐσέβειαν. Διὸ δὴ ταῦτα, καὶ διὰ τοῦτο φευκτέον αὐτοῖς, ὅτι συλλογισμοὺς ὡς ὅπλα κατὰ τῆς εὐσεβείας ἀράμενοι, σωρεύουσι ταύτην καὶ διετάραξαν Ἄρειος, Μακεδόνιος, Εὐνόμιος, Νεστόριος, Εὐτυχὴς, Διόσκορος, Ὠριγενὴς, καὶ ἔτις αἱρετικὸς ἄλλος. Ὁ δὲ τῶν ὀρθοδόξων σύλλογος, συλλογισμῶν ἄνω τῇ ἀληθείᾳ ὑπείκει καὶ ἄγεται· ἐπεὶ καὶ τοὺς τῆς πίστεως θεμελίους, λέγω δὴ Προφήτας καὶ Ἀπο-

ςόλȣς, καὶ τὸ σεπτὸν Εὐαγγέλιον, προτάσεων δίχα καὶ συμπερασμάτων ἐντέχνων ἀρχῆθεν ἐδέξατο, καὶ νῦν ςέργει καλῶς. Εἰ δὲ καὶ τινες τῶν τῆς ἐκκλησίας φωςήρων περὶ Θεȣ̃ τȣ̀ς λόγȣς ποιȣ́μενοι συλλογισμοῖς ἐχρήσαντο, καὶ ἀποδείξεις προσεῖπον αὐτȣ̀ς, θαυμάζειν ȣ̓ χρή· δεῖ γὰρ ȣ̓ τȣ̃το σκοπεῖν μόνον, ἀλλὰ καὶ πότε, καὶ πρὸς τίνας λέγοντες, καὶ τίνα περὶ τȣ́των ἔχοντες γνώμην. Οὐ γὰρ ἄνευ τȣ̀ ςενάζειν αὐτοῖς ἐχρήσαντο, ȣ̓δ' ἀεί· ἀλλ' ἐν πολέμȣ καιρῷ, καὶ πρὸς τȣ̀ς αἱρετικȣ̀ς ἱςάμενοι, καὶ ἀνάγκην ἄλλην ἐπάγοντες, τοῖς τὴν ἀνάγκην αὐτοῖς ἐπιφέρȣσι, τȣ́τȣς εἰρήκασι. Καίγε τὰ παρὰ τȣ́των λεγόμενα, ȣ̓ πάντα δογματικῶς λέγεται, πολλȣ̃ γε καὶ δεῖ, ἀλλὰ τὰ μὲν τȣ̃τον τὸν τρόπον, τὰ δὲ οἰκονομικῶς, τὰ δὲ παραβολικῶς, τὰ δὲ ἀγωνιςικῶς· καὶ χρὴ τὸν ἀκȣ́οντα τὴν γνώμην ἐξετάζειν μεθ' ἧς λέγεται, καὶ τὴν ὑπόθεσιν περὶ ἧς ȣ̓́τω γέγραπται, καὶ τὶ σπȣδάζοντες κατορθῶσαι οἱ τῶν θείων εἰσηγηταὶ, ȣ̓́τω τȣ̀ς λόγȣς αὐτῶν οἰκονομȣ̃σι σοφῶς. Οὕτω γȣ̃ν λέγει καὶ νῦν προτεινόμενός τις τῶν ἐξ ἐναντίας κἀμὲ ἐρωτᾷν· κἂν σιωπήσω μόνον, ἢ τοῖς λεγομένοις συγκατατίθεσθαι, ἢ τȣ̃ γε δόγματος πολλὴν σαθρότητα, ἄλλως νοεῖσθαι παρέχομεν, ὅτι ȣ̓δὲ τȣ̃θ' ὃ πιςεύομεν, κἂν σὺν λόγῳ ἀποδεῖξαι δυνάμεθα.

Οὐκȣ̃ν εἰ καὶ ἄκων τοιαύτῃ περιπέσοις ἀνάγκῃ, τȣ̃το πρὸς πάσας τὰς ἐκεῖθεν προτάσεις ἀντείσαγε, τῷ θείῳ Πνεύματι πεποιθώς· περὶ τῆς τȣ̃ ἁγίȣ Πνεύματος ἐκπορεύσεως, μαθεῖν θέλεις παρ' ἐμȣ̃, ἢ διδάξαι με; εἰ μὲν διδάξαι, ȣ̓ προσδέχομαί σε εἰς τȣ̃το διδάσκαλον· εἰ δὲ μαθεῖν, ἀρκεῖ σοι ταύτην τιμᾷν σιωπῇ. Εἶτα, ȣ̓́θ' ὡς διδάσκαλος, πότε γὰρ ἐμοὶ γέγονας τȣ̃το; ȣ̓́τ' αὖ πάλιν ὡς θέλων μαθεῖν ἐρωτᾷς, ἀλλὰ πειράζων ἰδȣ̀ καὶ λογομαχῶν, καὶ τὴν σαὐτȣ̃ μόνην θριαμβεῦσαι σοφίαν ζητῶν, καὶ ἵνα ἐπικαυχήσῃ τοῖς ἡμετέροις· ȣ̓́τω δέ σε πρὸς ἡμᾶς διακείμενον, καὶ τοιȣ̃τον ὄντα πρέπει μηδὲ προσέχειν σȣ ταῖς τῶν λόγων ἀρχαῖς. Ἀλλά σε, φησὶ,

τὸ

τὸ πρὸς τινὰ ἐρώτησιν ἀπορεῖν ταῦτα ποιεῖ προφασίζεσθαι, καὶ πρός τινα οἷον ἀκρόπολιν καταφεύγειν τινὰ σιωπήν. Οὐ τὸ ἀπορεῖν, εἰπὲ, ἄπαγε· ἀλλ' ὅτι τὸ σιγᾶν τὰ τοιαῦτα, τῷ λαλεῖν, ὅτε μὴ δεῖ, πολλῷ κρίνω βέλτιον· καὶ ἄρνησις ἐν τούτοις κρεῖττον ὁμολογίας, ἐμοὶ καὶ παντὶ τῷ νῆν ἔχοντι· καὶ τὸ μαθεῖν τὰ τοιαῦτα, ἢ ἐνωτίζεσθαι ὁπωσδῆν, χεῖρον ἡγημαι πάσης ἀκροάσεως καὶ μαθήσεως· ἐπεὶ καὶ τὸ ἀκέραιον βλασφήμων βλαβερὸν, καὶ τὸ λέγειν ἀληθριώτερον· ἄλλως τε ἐδ' ἡμέτερον τὰ ἀκρότατα πολυπραγμονεῖν τῶν δογμάτων· ποιμαινόμενοι γὰρ ἡμεῖς, ἐ ποιμένες· νομοθετέμενοι, ἐ νομοθέται· κρινόμενοι, ἐ κριταί· μέρος τῆς ἐκκλησίας, ἐχὶ ταύτης τὸ πλήρωμα· κἂν μὴ συζήσωμεν δόγμα λογομαχοῦντες, ἀέρι λόγος εἰκῆ κενώσομεν μόνον· κἂν συζήσωμεν, πάλιν μένει ἀσύστατα, καὶ εἰς μάτην ὁ πόνος ἡμῖν τελουτᾷ· τὶς ἓν χρεία τοσαύτης ἀδολεχίας;

Ἀλλὰ θέλω δεῖξαι, φησὶ, πῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται· δι' αὐτὸ μὲν ἓν τοῦτο, ὅτι θέλεις δεῖξαι τὸ πῶς, ἐ δὲ ποσῶς ἀκέσομαί σε· ὑπὲρ γὰρ τὸ πῶς, ἥτε γέννησις τοῦ Υἱοῦ, καὶ ἡ ἐκπόρευσις τοῦ ἁγίου Πνεύματος, γίνωσκε· ἐ δέχομαί σε τινὰ τολμηρὰν ἐν τούτοις ἀπόδειξιν· φησὶ γὰρ ὁ τὰ θεῖα πολὺς Διονύσιος, „ ὅτι μέν ἐστι πηγαία θεότης ὁ Πατὴρ, „ ὁ δὲ Υἱὸς, καὶ τὸ Πνεῦμα τῆς θεογόνε θεότητος, εἰ ἔστω „ χρὴ φάναι, βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη καὶ ὑπερέσια φῶτα, πρὸς τῶν ἱερῶν λογίων μεμαθήκαμεν· ὅπως „ δὲ ταῦτα ἐστὶν, ἔτε νοῆσαι δυνατὸν, ἀλλὰ μέχρι τότε „ τῆς καθ' ἡμᾶς νοερᾶς ἐνεργείας ἡ πρόοδος. Γρηγόριός τε „ ὁ θεολόγος· ἀκέρεις γέννησιν; τὸ πῶς μὴ περιεργάζε· „ ἀκέρεις Πνεῦμα τὸ προϊὸν ἐκ τοῦ Πατρός; τὸ ὅπως μὴ πολυπραγμόνει· εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς, τί καταλείψεις τοῖς μόνοις γινώσκειν ἄλληλα, καὶ γινώσκεθαι ὑπ' „ ἀλλήλων μαρτυρεμένοις; καὶ πάλιν, εἰπὲ σὺ τινὰ ἀγεννησίαν τοῦ Πατρὸς, κἀγὼ τινὰ γέννησιν τοῦ Υἱοῦ πολυπραγμονήσω, καὶ τινὰ ἐκπόρευσιν τοῦ Πνεύματος, καὶ „ παρα-

» παραπληκτίσομεν ἄμφω, εἰς μυστήρια Θεῦ παρακύπτον-
» τες· ἢ ταῦτα τίνες; οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδότες. Ὅ, τε
» θεῖος Δαμασκιὸς, ὅτι μὲν ἐστὶ διαφορὰ γεννήσεως καὶ
» ἐκπορεύσεως, μεμαθήκαμεν· τὶς δὲ ὁ τρόπος τῆς διαφο-
» ρᾶς ἐδαμῶς· καὶ πάλιν, εἰ γὰρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον
» ἐκ τῦ Πατρὸς ἐκπορεύεται, ἀλλ' ἓν ἄλλος τρόπος ὑπάρ-
» ξεως ἔτος ἀληπτός τε καὶ ἄγνωστος. Διάτοι ταῦτα γνῶ-
θι σαυτὸν ἄνθρωπε· ὅτι ματαιότης εἶ σὺ, καὶ γῆς
ἀπαίτημα, καὶ σαπρία καὶ σκώληξ καὶ σποδὸς καὶ σκιὰ
καὶ καπνὸς, καὶ ἔτι τέτων ἀτελέστερον· βαθύτερά σε
μὴ ἐρεύνα, καὶ ἰσχυρότερά σε μὴ ἐξέταζε· ἃ προσετά-
γη σοι ταῦτα διανοῦ, καὶ μὴ περαιτέρω χώρει, μηδὲ ἀνέ-
φικτα δίωκε· ἁπλῆτις ἐστὶ διδασκαλία τὸ ἡμέτερον δόγ-
μα, πιστώθητι· Χριστὸς αὐτὸ παρέδωκεν, ἐπλάτυναν οἱ
Ἀπόστολοι, ἐκράτυναν οἱ Διδάσκαλοι, τέτοις ἀρκεθησό-
μεθα. Ἄλλως τε πᾶς ὁ ἀπολέσας ὃ πρότερον εἶχεν,
ἐκεῖνος ζητεῖ· ὁ δὲ μηδὲν ἀπολέσας, ἀλλ' ὁλόκληρον ἔχων
ὃ ἀρχῆθεν ἐκτήσατο ποσῶς ἃ ζητεῖ, μόνον δὲ τηρεῖ καλῶς
τὸ κτηθέν· ἡμεῖς ἓν τηρεῖν τλὺ πίστιν, ἀχὶ ζητεῖν μεμα-
θήκαμεν· ἡμεῖς τῇ ἁγίᾳ Πνεύματος χάριτι ἐδὲν τῶν
τῆς πίστεως ἀπολέσαντες ἐδὲν ζητᾶμεν, ὅτι ἡ ζήτησις
τῆς πίστεως ἀναιρετική· ὁ πιστεύων ἃ ζητεῖ, ὁ ζητῶν ἃ
πιστεύει· ὁ ζητῶν ἔτι, ἐδέπω εὗρεν· ὁ ζητῶν ἕως ἄρτι,
ἔπω πιστεύειν δύναται· ἔνθα ζήτησις, πίστις ἀκ ἔνεστιν·
ἔνθα δὲ πίστις, ἃ χρεία ζητήσεως· τὰ τῇ πίστει παραδιδό-
μενα ἀπεριέργαστον ἔχει τλὺ γνῶσιν· ὁ μὲν γὰρ λόγοις
πειθόμενος καὶ μεταπειθλῦαι δύναται, ὁ δὲ τῇ πίστει
βεβαιώμενος ἀπετείχισεν ἑαυτῦ λοιπὸν τλὺ ἀκολὺ τοῖς
λυμαινομένοις λόγοις· καὶ τὰ ἐν τῇ πίστει ζητούμενα ἃ
πρὸς τὰς κοινὰς ἐννοίας ἀναφέροντες ζητᾶμεν εἰ ταύταις
ὁμοφωνεῖ, ἀλλ' εἴπερ μόνον τοῖς ὁμολογεμένοις τῆς ἐκκλη-
σίας δόγμασιν ὁμοφωνῆντα δείξαιμεν ταῦτα, κἂν πάν-
τα συμβῇ ἀναιρεῖσθαι τὰ κατὰ Φιλοσοφίαν δόγματα,
ἡμῖν νομίζομεν ἐξαρκεῖν· ἐπεὶ ἔτε διὰ σοφίας λόγον πρὸς
τλὺ ἀλήθειαν ἐχειραγωγήθημεν· ἔτε τὸ τῆς Τριάδος
μυστήριον ἐκεῖθεν ποσῶς ἐμυήθημεν· ἔτε μλὺ ἄλλε τινὸς

τῶν

τῶν τῆς πίστεως δογμάτων, τὸν τρόπον παρ' αὐτῆς μεμαθήκαμεν.

Ὅτι Φιλοσοφίας μὲν ὕλη τὰ ὄντα, Θεολογίας δὲ τέλος ὁ ὑπὲρ πάντα τὰ ὄντα, καὶ πάντων δημιουργός· καὶ χρὴ μήτε τιὼ πίστιν νομίζειν τέχνιω, μήτε τὰ παρὰ τὰ ἐκπεφασμένα τοῖς θεολόγοις θεολογεῖν· ὑπέρκειται γὰρ κατ' ἀσύγκριτον λόγον ἡ Θεολογία τῆς Φιλοσοφίας, ἀλλ' ἐχὶ ταύτῃ ὑπόκειται· καὶ τοῦτο ῥᾴδιον σιωπᾶν, τῷ καὶ μικρὰν αἴθησιν ἔχοντι, ὡς ἅπαντες παρῆσαν Φιλόσοφοι, τῷ θείῳ φωτισθέντες λατρῷ, εἶχον ἂν τῇ ἑαυτῶν τέχνῃ διδάξαι, καὶ πεῖσαί τινα τῶν ἀπὸ Χριστοῦ, ὅτι ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς γεννᾶται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁ παράκλητος ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· ταῦτα δὴ τὰ παρὰ πᾶσιν ὁμολογούμενα. Δεινότατον τοίνιω εἶναι νομίζω, εἰ οἷς λόγοις καὶ τὰ ὁμολογούμενα ἢ ἀναιρεῖται, ἢ ἀμφιβάλλεται, τούτοις αὐτοῖς ἐπὶ τῶν ἀμφισβητουμένων χρησόμεθα· πῶς γὰρ διὰ τούτων κτησόμεθα ἅπερ ἐκ ἔχομεν, δι' ὧν κινδυνεύομεν ἀπολέσαι καὶ ἅπερ ἔχομεν; πῶς δὲ τὰ ἐν τοῖς φανεροῖς ἄπιστα, ἐν τοῖς ἀφανέσιν ἔσαι πιστά; ἢ τὶς ὁ λόγος, τὰ μὲν ὁμολογούμενα τῶν δογμάτων ὑπὲρ ἔννοιαν καὶ ἀπόδειξιν εἶναι, τὰ δὲ ζητούμενα ταῖς κοιναῖς ἐννοίαις ἁλωτὰ γίνεσθαι; ὥστε διὰ συλλογισμῶν ἔτε ἡ τοῦ Πατρὸς ἀγεννησία, ἔτε ἡ τοῦ Υἱοῦ γέννησις, ἔτ' ἡ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις ἀποδείκνυται. Δύο τοίνιω κοινῶν εἰς αἵρεσιν προκειμένων ἡμῖν, ἢ τὰς προτάσεις τῶν ἐπεισάκτων συλλογισμῶν ἐπὶ τῶν θείων πιστεύσαντας ἀληθεῖς εἶναι, ψευδῆ νομίσαι ὑπάρχειν τὰ ῥητὰ τῶν ἁγίων, τὰ δεικνυῶτα ἐκ τοῦ Πατρὸς μόνον προσωπικῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἢ ταῦτ' ἀληθῆ ἡγησαμένους ὑπάρχειν, ψευδεῖς τὰς τῶν ἀναντίων συλλογισμῶν προτάσεις ὑπολαμβάνειν, αἱρετώτερον ἡγησώμεθα τοῖς ῥητοῖς τῶν ἁγίων, τῶν νικητηρίων παραχωρήσαντας, δι' αὐτῶν ἀνελεῖν τὰς ἀνθρωπίνας λογισμὰς, καὶ ψευδεῖς αὐτὰς ἐπὶ τῶν θείων ἡγεῖσθαι, ἢ ἐκ τοῦ πιστεύειν ταῖς ἀνθρωπίναις ἐννοίαις

τὰ

τὰ τῶν ἁγίων ἀθετῆσαι ῥητά. Εἰ δὲ καὶ πᾶν ἀληθὲς ἀληθεῖ ἐναντίον ἐκ ἔστι· τὸ γὰρ τῷ ἀληθεῖ ἐναντιόμενον ψεῦδος τυγχάνει ἄντικρυς· ἀληθὲς δὲ κατὰ τὸς θεολόγος ὑπάρχει τὸ μόνον τὸν Πατέρα αἴτιον εἶναι θεότητος, φανερὸν ὡς ἀθεὶς τὸτ' ἀναιρῶν συλλογισμὸς ἀληθὴς ἔσαι. Φανερὸν δὲ, ὅτι καὶ ὅσες τινὲς πεποίληται πώποτε, ἢ καὶ νῦν ἐπιχειρῆσι ποιεῖν, κατὰ τὰτα δὴ τῆ ἀληθῆς συμπεράσματος, τὸ ἐκ ἐκ μόνε δῆθεν σωάγοντες, ἀνάγκη πάντας εἶναι παρασυλλογισμὸς καὶ σοφίσματα· ταύτη τοι τῷ σκότει καὶ τῇ λήθῃ ῥιφήτωσαν.

Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τῆς δὰτέρας παρεκτροπῆς· ἵνα δὲ ὁ λόγος ἡμῖν μὴ εἰς ἄπειρον χέηται, ἐνταῦθα σήσαντες τᾶτον λοιπὸν, εἰς τὰς ἑξῆς ὁμιλίας τὰ λοιπὰ καὶ ἀκόλεθα τάτῳ ταμιδσόμεθα· καὶ τὸ ἐν τοῖς προοιμίοις τῆς πρὸ ταύτης ὁμιλίας ἐπαγγελθὲν ἐν ἁγίῳ Πνδύματι ἐκπληρώσομεν· πάντως γὰρ, ἂν αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἐπιτρέπῃ, πολλάκις περὶ τάτε πραγματδσόμεθα. Πλὴν τό γε νῦν ἔχον, ἐκεῖνα περὶ ἀγάπης τῆς βασιλίδος τῶν ἀρετῶν, τῇ ὑμετέρᾳ ἀγάπῃ καὶ νοεῖν καὶ μεμνῆθαι καὶ πράτ]ειν ὑποτιθέμεθα, εἰδότας ὅτι ὥσπερ ὀρθοδοξίας χωρὶς σωθῆναι ἀδιώατον, ἔτως ἀγάπης δίχα Θεὸν ὄρεῖν ἀμήχανον· καὶ ὅτι τὰ μὲν ἄλλα τῆς ἀρετῆς μέρη, σωεζδγμένον ἔχει τὸν πόνον, ἡ δὲ ἀγάπη μετὰ τὸ κέρδες, πολλὴν ἔχει τὴν ἡδονὴν, καὶ πόνον ἡδύνα, καὶ καθάπερ μέλιτ]α ἀγαθὴ τὰ πανταχόθεν σωάγεσα ἀγαθὰ, εἰς τὴν τῶ ὀρθῶς ἀγαπῶντος ἐνθησαυρίζει ψυχήν. Οὕτω δὲ προσήκει κοινὴν καὶ ἴσην πᾶσι πρὸς ἀλλήλες τὴν ἀγάπην εἶναι, ὡς φυσικῶς πρὸς ἕκασον τῶν ἑαυτῶ μελῶν ὁ ἄνθρωπος ἔχει, ἐπίσης θέλων ἑκάστε τὴν ὑγίαν· διότι καὶ ὁ πόνος ἑκάστε μέλες ἴσην χεδὸν τάτῳ παρέχει τὴν ἀνδίαν. Ὅθεν ὀφείλει ἕκασος τὰ τῶ πλησίον οἰκειῶθαι, ὅπως ἂν ἔχοι, καὶ ὥσπερ ἐνδεδύθαι αὐτὸν μετὰ τῶ σώματος, καὶ ὅλον φορεῖν τὸν ἄνθρωπον, καὶ συμπάσχειν αὐτῷ ἐν ἅπασι, καὶ συγχαίρειν, καὶ συγκλαίειν αὐτῷ, καὶ ἁπλῶς σωδιακεῖ-

διακεῖσθαι, ὅτι τὸ αὐτὸ φορεῖ σῶμα, καὶ τὸ πρόσωπον αὐτὸ ἔχει, καὶ τιὼ αὐτιὼ ψυχιώ. Ὅταν δέ τις κτήσηται τιὼ ἀγάπιω, αὐτὸν τὸν Θεὸν ἐνδύεται μετ' αὐτῆς· καὶ ὁ ἀγαπῶν τὸν Θεὸν ὀρθῶς καὶ τὸν πλησίον, ἀγγελικὸν βίον ἐπὶ τῆς γῆς ζῇ, περὶ Θεῦ καὶ παντὸς ἀνθρώπε ἀεὶ καλὰ λογιζόμενος. Ὁ ἀγαπῶν τὸν Κύριον, τὸν πλησίον αὐτῦ προηγάπησεν· ὁ δὲ λέγων τὸν Κύριον ἀγαπᾷν, καὶ τὸν πλησίον μισῶν, ὅμοιος ἐσὶ τῷ τιὼ ἡμέραν φῶγοντι, καὶ τὸν ἥλιον φιλεῖν διαβεβαιεμένῳ. Ὁ τῆς ἀγάπης ἐσερημένος, ἐσέρηται τῦ Θεῦ, εἴπερ ὁ Θεὸς ἐσὶν ἡ ἀγάπη. Τὸ μὲν ἀγαπᾷν τὲς μισῦντας ἀρετὴ καὶ θεῖον, τὸ δὲ τὲς ἀγαπῶντας ἀνθρώπινον καὶ κοινὸν, τὸ δὲ μισεῖν καὶ τὲς ἀγαπῶντας ἐδὲ θηριῶδες. Ἡ ἀγάπη, ἔχει μὲν ἴδιον ἐδὲν, πλιὼ τῦ Θεῦ· αὐτὴ γὰρ ἐσὶ καὶ ὁ Θεός. Ἡ ἀγάπη σωδεῖ, καὶ τριῶν οἶ, ἢ ὅσα μένει, ἢ κινηθεῖσα καθίσαται, ἢ ἀπελθῦσα ἐπάνεισι, καθάπερ τῶν φυτῶν αἱ βίαι χερσὶ μεταπωμένα, εἶτ' ἀφιέμενα πρὸς ἑαυτὰ πάλιν ἐπαναπρέχει. Τὸ τῆς ἀγάπης χρῆμα ὀφέλεται μὲν καὶ πᾶσι χρισιανοῖς, ἐξαιρέτως δὲ τοῖς βασιλεῦσι καὶ ἄρχεσι, καθάπερ ἐπὶ τῶν τῦ ἀνθρωπίνε σώματος μελῶν, ὀφειλιώτινα ἕκασον μὲν ἀποδίδωσι πᾶσιν, ἐξόχως δὲ πάντων ἡ κεφαλή· πᾶσι γὰρ ἐπισατεῖ, καὶ σέγει τὰ πάντων πάθη, καὶ ἐδὲν ἐᾷ ἀπρονόητον· διόπερ καὶ λέγεται φιλάνθρωπον δεῖν τὸν βασιλέα εἶναι, καὶ φιλόπολιν· ἔτε γὰρ ἵππων, ἔτε κιωῶν, ἔτε ἀνδρῶν, ἔτ' ἄλλε πράγματος ἐδενὸς οἴονται καλῶς ἄρχειν, ἂν μήτις χαίρῃ τέτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τιὼ ἐπιμέλειαν· καὶ μάλα εἰκότως. Οὐ γὰρ ἔτω σρατόπεδα καὶ ὅπλα καὶ χρήματα καὶ ὑπηκόων πλῆθος λαμπροτέρες ποιεῖν εἰωθε τὲς βασιλεύοντας, ὡς φιλανθρωπία καὶ ἡμερότης ψυχῆς· καὶ δεῖ ὑπὲρ πάντας, τὲς βασιλέας ἀνέχεσθαι μᾶλλον· ἥτε γὰρ γυνὴ διὰ τῦ ἰδίε ἀνδρὸς οἰκονομεῖται, καὶ ὁ παῖς διὰ τῶν γονέων, καὶ ὁ μαθητὴς διὰ τῦ διδασκάλε, καὶ ὁ σρατὸς διὰ τῦ σρατηγῦ, καὶ ὁ ἀσκητὴς διὰ τῆς πίσεως, καὶ ὁ κοινὸς λαὸς διὰ τῶν βασιλέων,

καὶ

καὶ οἱ βασιλεῖς διὰ τῶν νόμων, καὶ οἱ νόμοι διὰ τῆς φρονήσεως, καὶ ἡ φρόνησις διὰ τῆς ἀνοχῆς, καὶ ἡ ἀνοχὴ διὰ τῆς ἀγάπης.

Ἀλλ' οἱ πολλοὶ τῶν ἐν ταῖς δικαστείαις, ὅτι μὲν ἔξεστιν αὐτοῖς πάντα λαμβάνειν, πάντων ἐπιθυμοῦσιν· ὅτι δ' ἐπ' αὐτοῖς ἐστὶ τὸ δίκαιον, διὰ τοῦτο εἰσὶν ἄδικοι· ὅτι δὲ ὁ φοβοῦνται τοὺς νόμους, οὐδὲ εἶναι νομίζουσιν· ὅτι δὲ ἐκ ἀναγκάζονται πονεῖν, οὐδέποτε παύονται τρυφῶντες· ὅτι δὲ οὐδεὶς ἀμυνεῖται κακῶς πάσχων, οὐδέποτε παύονται κακῶς ποιοῦντες· ὅτι δὲ οὐδεμιᾶς στανίζουσιν ἡδονῆς, οὐδέποτε ἐμπίπλανται ἡδόμενοι· ὅτι δὲ οὐδεὶς ψέγει ἐκ τοῦ φανεροῦ, οὐδὲν ἀπολείπουσι τῶν μὴ δικαίων λεγομένων· ὅτι δὲ οὐδεὶς αὐτοὺς βέλεται λυπεῖν, διὰ τοῦτο πᾶσι χαλεπαίνουσιν· ὅτι δὲ ὀργισθεῖσιν αὐτοῖς ἔξεστι πάντα ποιεῖν, διὰ τοῦτο σιωεχῶς ὀργίζονται. Ὁ δὲ ἀγαθὸς ἄρχων τἀναντία ἐπιτηδεύει· οὐδενὸς μὲν ἐπιθυμεῖ, διὰ τὸ πάντα οἴεσθαι ἔχειν· δικαιότερος δὲ τῶν ἄλλων ἐστὶν, ὅτε πᾶσι παρέχων τιὼ δικαιοσυνίω· ἀγαπᾷ δὲ τοὺς νόμους, ὅτι ὁ δέδοικεν· ἥδεται δὲ τοῖς πόνοις, ὅτι ἑκὼν πονεῖ· ἡσυχίαν δὲ ἄγει, ἐπεὶ οὐδενὰ ἔχει τὸν ἀμυνόμενον· φείδεται δὲ τῶν ἡδονῶν, διὰ τὸ μηδεμιᾶς ἂν ἀπορῆσαι ὀρεχθείς· λέγει δὲ πάντα δίκαια, ὅτι οὐδεὶς αὐτὸν ψέγει ἀναφανδόν· οὐδενὶ χαλεπαίνει, ὅτι λυπεῖν αὐτὸν αἱρεῖται οὐδείς· καὶ ὀργίζεται οὐδαμῶς, ὅτι καὶ μηδοπωσοῦν αὐτῷ ὀργισθέντας ἐφεῖται πάντας ποιεῖν. Ὥστε ἄρχων ἐκεῖνος ἀληθινὸς, ὁ ἑαυτὸν ἄρξας, καὶ ψυχιὼ καὶ σῶμα τῷ λόγῳ ὑποτάξας· καὶ ὥσπερ τὸν ἥλιον οἱ μαθηματικοὶ λέγουσι μήτε τιὼ αὐτιὼ τῷ οὐρανῷ φερόμενον φοραὶν, μήτε ἀντικρυς ἐναντίαν, καὶ ἀντιβατικιὼ, ἀλλὰ λοξῷ καὶ παρεγκεκλιμένῳ πορείας χήματι χρώμενον, ὑγρὰν, καὶ ἀκαμπῆ, καὶ περιελιττομένιω ἕλικα ποιεῖν, ᾗ σώζεται πάντα καὶ λαμβάνει τιὼ ἀρίστιω κράσιν· ἔτως ἄρα, ὁ μὲν ὀρθιος ἄγαν, καὶ πρὸς ἅπαντα ἀντιβαίνων τόνος, ἀπιωὴς καὶ σκληρὸς, ὥσπερ αὖ πάλιν ἐπισφαλὲς καὶ κάταντες τὸ συ-

νεφελ-

νεφελκόμενον τοῖς ἁμαρτάνεσιν, ᾧ πολλοὶ καὶ σωεπιῤῥέπεσιν· ἐὰν δὲ μέσοντι τέτων μιχθῇ, τῦτο ἐςὶν ἡ πάντων μὲν ῥυθμῶν, πασῶν δὲ ἁρμονιῶν, ἐμμελεςάτη καὶ μεσικωτάτη κράσις· ἣ καὶ τὸν κόσμον ὁ Θεὸς λέγεται διοικεῖν, ὁ βιαζόμενος, ἀλλὰ πειθοῖ καὶ λόγῳ παράγων τὸ ἀνάγκιον. Ὃν ὑμεῖς οἱ κρατῦντες, καὶ αὐτοὶ οἱ ἀντέλει μιμέμενοι, ἄτε πάντων βασιλέα καὶ ἄρχοντα, φιλάνθρωποι γίνεθαι τοῖς παρ' ὑμῶν ἀρχομένοις, ἕως ἐν τῷ ἄρχειν ἐςὲ, ἵνα καὶ ζῶντες ἐπαινῆθε πρὸς πάντων, καὶ μεταςάντες τῶν τῇδε παρὰ πάντων ἀεὶ μακαρίζησθε. Ἀλλὰ γίνεθέ μοι πρόθυμοι περὶ τὸ ἀκρόασιν, καὶ σωτρέχετε πλείες, καὶ ἀσμένως ἀκέετε, ὡς ἂν ἀγαλλιάσει ψυχῆς, καὶ εὐφροσύνῃ καρδίας, καὶ χαρᾷ πνεύματος ζῶντες, κἀκεῖσε τῶν αἰωνίων ἀγαθῶν ἐν ἁγίῳ Πνεύματι ἐπιτύχοιμεν πάντες. Ἀμήν.

ΛΟΓΟΣ ϛ.

ΡΗΘΕΙΣ ΕΝ ΤΩ ΑΥΤΩ ΠΑΛΑΤΙΩ, ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΤΡΙΑΔΟΣ.

Παρισῶν ὅτι τὸ λέγεσθαι παρ' Ἰταλοῖς Ὑπόσασιν καὶ τιὼ ἐσίαν, καὶ τὸ πρόσωπον, διὰ σνότητα γλώττης, παρεκτροπὴ τέτοις τῆς ὀρθοδόξε πίσεως γίνεται.

Περὶ τῆς πρώτης καὶ δευτέρας αἰτίας τῆς ἐκ τῆς ὀρθῆς δόξης παρεκτροπῆς, ἀν ταῖς πρὸ τέτε δυσὶν ὁμιλίαις διαλαβόντες, ἤδη καὶ περὶ τρίτης τήμερον διαλεχθῆναι ὑμῖν βελόμεθα· ἀλλὰ προσέχετέ μοι τὸν νῆν ἀξιῶ. Ἡ λατίνων φωνὴ διὰ σνότητα ἑαυτῆς, ἢ ἐκ οἶδ' ὅπως ἂν δύφημότερον ἐξαγγείλοιμι, τὸ τῆς ἐσίας ἅμα καὶ τῆς ὑποσάσεως ὄνομα ἐ δυσὶν, ὡς ἡ ἑλλήνων, ἀλλ' ἑνὶ μόνῳ ἔτω λεγόμενον παρ' αὐτῶν, σεμπσάντζια σημαίνει ὀνόματι, μιᾷ λέξει διπλῆ ἔννοιαν τοῖς σωισάν δυναμένοις παρέχεσα· κἀντεῦθεν ἐγεγόνει τὸ χίσμα τῶν δυτικῶν πρὸς ἡμᾶς, περὶ τῆς τε ἁγίε Πνεύματος ἐκπορεύσεως· ὅτι τῷ κατὰ τιὼ σημασίαν διπλῷ ὀνόματι τέτῳ ἐπὶ τε προσκιωητε χρώμενοι Πνεύματος, ὡς ἕκασος θέλει νοεῖ· ὁ μὲν ἀντὶ τῆς ἐσίας, ὅτε σημαίνει ὑπόσασιν· ὁ δὲ ἀντὶ τῆς ὑποσάσεως, ὅτε δηλοῖ ἐσίαν· ὁ δὲ ἑναν τέτο καὶ κατὰ τιὼ σημασίαν ἀμφοῖν ἀδιάφορον οἰέται· καὶ διὰ ταῦτα τῆς ἀληθες θεολογίας ἑαυτὲς ἀποχίζεσι· τὰς γὰρ τῶν θεολόγων διερχόμενοι χρήσεις, καὶ τιὼ

τιὼ substantiam ἔχειν ἐκ Πατρὸς καὶ Υἱῦ τὸ Πνεῦμα εὑρίσκοντες ἐκεῖ πολλαχῦ, ἐκ εἰς τὸ πρῶτον σημαινόμενον παρὰ τῦ ὀνόματος τύτυ, δηλαδὴ τιὼ ἰδίαν δέχοντα, ἀλλὰ διὰ τὸν πρὸς ἡμᾶς ζῆλον, ὅθὺς εἰς τὸ δεύτερον τιὼ ὑπόστασιν, ἦγεν εἰς τὸ πρόσωπον τὸν λόγον ἀνάγεσι, καὶ περὶ τύτυ μόνον διαβεβαιῦσι λέγεσθαι· καὶ τῦτο ἐστὶν ἡ τῆς αὐτῶν πρὸς ἡμᾶς ὁμοιότης διάστασις. Καὶ τὶ λέγω περὶ ἐκείνων; ὅπυ καὶ ἀφ' ἡμῶν μυρίοι, ἐκ τῦ νομίσαι τὰ προσωπικὰ ἰδιώδη, ἢ τὰ ἰδιώδη προσωπικὰ, τῆς ἀληθῦς περὶ τὸ θεῖον δόξης ἐκπίπτεσι· τῦτο δὲ πάσχει τῶν μὴ σωτῶν ἀκροατῶν τὸ πλῆθος αὐτεῦθεν· ἐπεὶ γὰρ ἐν τῇ θείᾳ Τριάδι ἔτε ἰδία καθ' ἑαυτιὼ ὑποστάσεως ἄνθρ, ἔθ' ὑπόστασις δίχα ἰδίας ἐστὶν, ἀλλὰ καὶ ἡ θεία ἰδία ἐν ταῖς ὑποστάσεσι θεωρεῖται, καὶ αἱ προσκωνηταὶ ὑποστάσεις ἐν τῇ ἰδίᾳ εἰσὶ, λοιπὸν καὶ τὸ ἐν τῇ ἰδίᾳ θεωρέμενον μόνῃ, ῥᾴδιον ἐστὶ, καὶ ταῖς ὑποστάσεσι προσεῖναι νομίζειν τῷ μὴ προσέχοντι, καὶ τὸ τινὶ ὑποστάσει ἢ μόνῃ πρόσον, ἕτοιμον τῦτο καὶ τῇ ἰδίᾳ προσεῖναι δοκεῖν, ἢ καὶ ταῖς λοιπαῖς δυσὶν ὑποστάσεσιν· ὅτι ἐκ τῶν σωόντων καὶ ἀδιαστάτων καὶ δοκέντων εἶναι ταὐτὸν μάλιστα τὸ ἀπατᾶσθαι συμβαίνει τοῖς μὴ προσέχεσι.

Παρέχει δὲ κἀκεῖνο μεγάλιω ῥοπιὼ πρὸς τὰς ῥηθείσας παρεκτροπὰς, ὅτιπερ ἡ σημασία καὶ τῆς ἐκπορεύσεως Φωνῆς καὶ τῆς πρόεσι λέξεως, τὸ ἐξέρχεσθαι σημαίνειν δοκῦσαι, τοῖς μὴ μετ' ἐπισήμης ταύτας ἀκέσι πολλιὼ ἀπάτλω πρὸς ὀλιθον ἐμποιεῖ· δοκῦσι γὰρ αὐτίκα ἐξέλθσίν τινα χρονικιὼ ἢ τοπικιὼ δηλᾶσθαι τῆς τῦ ἁγίε Πνεύματος ὑποστάσεως ἀπό τινος προσώπε ἐπί τι πρᾶγμα, ἢ τόπον, ἢ πρόσωπον· τὸ δ' ε τοιῦτον ἐστίν· ἡμῖν γὰρ εὐσεβῶς, τὸ μὲν ἐκ τῦ Πατρὸς ἐκπορεύσεσθαι, λεγόμενον ἐπὶ τῦ Πνεύματος, ἀντὶ τῦ ὑφέσηκεν ἐκ τῦ Πατρὸς μόνε νομίζεσθαι, ὥσπερ δὴ καὶ ἐστί· διὸ καὶ μετὰ προσδιορισμῦ τῦτο λέγεσθαι, καὶ ἐκ ἀπότινος εἴς τι κίνησιν αὐτῦ δηλοῖ καὶ προέλθσιν, ἀλλὰ καθ' ὕπαρξιν μονιμωτάτιω· τὸ δὲ πρόεσιν, ἀντὶ τῦ προχεῖται, ἢ τῶν χαρισμάτων αὐτῦ δαψίλεια πρὸς ἡμᾶς, ἐκ Πατρὸς δι' Υἱῦ· καὶ ὅ γε τρόπον ἐκ τῦ Πα-

τρὸς γεννᾶσθαι λέγομεν τὸν Υἱὸν, ἤγουν ἀδιαστάτως καὶ ἀϊδίως ὑφίστασθαι ἐν αὐτῷ τῷ Πατρὶ, οὐκ ἐν τόπῳ, οὐκ ἐν χρόνῳ, οὐ διάτι, ἀλλὰ καθ' αὑτὸν ἀῤῥήτως καὶ ὑπὲρ πᾶσαν αἰτίαν· τὸν αὐτὸν τρόπον φαμὲν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι· τουτέστι παρ' αὐτοῦ προσωπικῶς ὑφεστηκέναι ὑπὲρ ἅπασαν ἔννοιαν· οὐ μεταβατικῶς ἐκπορευόμενον, οὐχ ἕνεκάτου, οὐ χρονικῶς, οὐ πρός τινας, οὔμενον· ἀλλὰ κατὰ μόνιμον ὕπαρξιν, καὶ τῇ τοῦ Θεοῦ λόγου συνάναρχον, κἂν ὁ μὲν γεννητῶς πατρόθεν ἔχῃ τὸ εἶναι, τὸ δὲ ἐκπορευτῶς, ἄλλον τρόπον ἀνέκφραστον.

Δύο τοίνυν προχείρως περὶ τὸ ἅγιον Πνεῦμα, καὶ ὄντων καὶ λεγομένων, οὐσίας καὶ ὑποστάσεως· ἢ, εἴτινι φίλον λέγειν, ὑποστατικῆς τε προόδου, καὶ οὐσιώδους ὑπάρξεως, ποτὲ μὲν πρὸς μόνην τὴν ὑποστατικὴν αὐτοῦ πρόοδον ἀφορῶντες οἱ θεολόγοι, καὶ τὸν ταύτης αἴτιον καταγγέλοντες, ἐκ τοῦ Πατρὸς μόνου τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι λέγουσιν, ὑποστατικῶς δηλαδή· οὓς ἐκθέσθαι κατ' ὄνομα οὐ τοῦ παρόντος καιροῦ· ποτὲ δὲ πρὸς μόνην τὴν οὐσιώδη τοῦ Πνεύματος ὕπαρξιν ἀποβλέποντες, καὶ παντὶ σθένει παραστῆσαι σπουδάζοντες, ὡς ὁμοούσιον ἐστὶ τοῦτο, καὶ ἰσότιμον, καὶ συμφυὲς Πατρὶ καὶ Υἱῷ, ἔκτε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ πολυτρόπως τὸ Πνεῦμα θεολογοῦσι· τουτέστιν οὐσιωδῶς, καθὼς ἀκριβέστερον ἐν ἑτέροις ἐροῦμεν, εἰ δοίη Θεός· ὧν ἀκούοντες ἔνιοι τῶν μικρῷ πρὸ τοῦ σχίσματος καὶ μετὰ τὸ σχίσμα, καὶ μὴ συνιέναι δυνάμενοι, ἢ καὶ ἴσως μὴ θέλοντες, ὅτι περὶ τῆς οὐσίας τοῦ Πνεύματος ταυτὶ πάντα λέγεται, περὶ τῆς αὐτοῦ ὑποστάσεως λέγεσθαι, ὡς μὴ ὄφελον, ὑπειλήφασιν· ὡς εἴγε συνενόουν, ὅτι εἶναι μὲν ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, καὶ ὡς ὁμοούσιον Πατρὶ καὶ Υἱῷ, καὶ ὡς πρὸς ἡμᾶς ἐκ Πατρὸς δι' Υἱοῦ προϊὸν, οὐκ ἔτι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι, τουτέστι τὴν τῆς ἑαυτοῦ ὑποστάσεως ὕπαρξιν ἐσχηκέναι, οὐκ ἂν ἐγεγόνει τὸ σχίσμα τῶν τοιούτων καὶ τοσούτων ἐκκλησιῶν. Ὥστε οἱ αὐτοὶ θεολόγοι, καὶ λέγοντες ἐκ τοῦ Πατρὸς μόνου τὸ Πνεῦμα

τὸ

τὸ ἅγιον ἐκπορεύεσθαι, δηλαδὴ προσωπικῶς ὑφεστάναι, τὴν ἀλήθειαν καταγγέλλει· καὶ πάλιν τιθέμενοι τοῦτο ἐκ Πατρὸς καὶ Υἱοῦ, ἐχ ὑποστατικῶς, ἀλλ' ἐσιωδῶς ἐχηκέναι τὸ εἶναι, τελεώτατα ἀληθεύουσι.

Μὴ τοίνυν τὶς ἡμῖν τέτοις ἐπισείετω, ὡς λέγοντας ὅτι ἐκ τῆς ἐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἔχει τὸ Πνεῦμα τὸ εἶναι, καὶ διὰ τοῦτο ἀνάγκη λοιπὸν ἐκ τοῦ Πατρὸς αὐτὸ καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι· τοσοῦτον γὰρ ἀπέχομεν περὶ τοῦ προκειμένου πεφρικέναι ποσῶς τοὺς ἁγίους, ὅτι καὶ προμάχους μᾶλλον αὐτοὺς πεπλεπήκαμεν. Εἰ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται, διότι ἐκ τῆς ἐσίας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ εἶναι ἔχει, ἐκ ἄλλοθεν, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἄρα ἐκ τῆς ἐσίας τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος ἔχων τὸ εἶναι, καὶ ἐχ ἑτέρωθεν, ἐκ τοῦ Πατρὸς γεννᾶται ὁμοῦ καὶ τοῦ Πνεύματος· ἀλλὰ: τὸ δεύτερον ἄτοπον, καὶ τὸ πρῶτον τοιοῦτον. Ὃν γὰρ τρόπον ὁ Υἱὸς τοῦ Θεοῦ προσωπικῶς εἰ ἐκ τοῦ Πατρὸς γεννηθήσεται καὶ τοῦ Πνεύματος, ἐξ ἅπαντος τρόπε δύο ἕξει Πατέρας, ἔτω δὴ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καθ' ὑπόσασιν ἐκπορεύεται, κατὰ πᾶσαν ἀνάγκιν δύο ἕξει προβολέας· καὶ ὥσπερ εἰ δύο εἶεν ἐν τῇ θείᾳ Τριάδι Πατέρες, δύο ἂν εἶεν οἱ ταύτῃ Θεοὶ, καὶ δύο ἀρχαὶ, κατὰ τὸν μέγαν Βασίλειον, κἂν μιᾷ γεννητικῇ δυνάμει γεννῶσι τὸν Υἱὸν, κἂν δυσίν· ἔτω κἂν δύο εἶεν οἱ ταύτῃ προβάλλοντες, δύο πάλιν ἀρχαὶ, καὶ δύο πάλιν Θεοί· κἂν δυσὶ προβλητικαῖς δυνάμεσι τὸ Πνεῦμα προβάλλωσι, κἂν μιᾷ.

Εἰ δὲ περὶ μὲν τοῦ ἁγίε Πνεύματος λέγεται πολλαχοῦ ὅτι ἐκ τῆς ἐσίας ἐστὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, περὶ δὲ τοῦ Υἱοῦ εἴρηται ἐδαμοῦ, ὅτι ἐκ τῆς ἐσίας ἐστὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, ἐχ ὅτι μὴ ἐστὶν ἐκεῖθεν τοῦτο σεσίγηται, ἄπαγε· τοῦτο γὰρ μέγα αἱρετικὸν τὸ δοξάζειν ἑτέρας ἐσίας εἶναι τὸν Υἱὸν, καὶ μὴ ἢ τῆς αὐτῆς τῷ Πατρὶ καὶ τῷ Πνεύματι· ἀλλ' ὡς ἂν μὴ τὸ Πνεῦμα Πατρὸς τοῦ Υἱοῦ ὑποπτεύοιτο, σιγᾶται τὸ λέγεσθαι τὸν Υἱὸν ἐκ τῆς

ἐσίας εἶναι τῦ Πνεύματος. Ἄλλως τε, ἰώνικα πιςῶσαθαι δεῖ προσώπε πρὸς πρόσωπον ὁμοσιότητα, πρὸς τὸ παρὰ πᾶσιν ὁμολογέμενον ἀνάγομεν τὸ ζητέμενον, πρὸς τὸ γνώριμον τὸ μὴ γνώριμον, πρὸς τὸ συήθες τὸ ἀσύνηθες, ἐμὶ ὁπωσῦν τὸ ἀνάπαλιν· πῶς γὰρ ἐκ πάντη ἀγνώτων τὰ γνώριμα πιςωθήσεται; ἄνω ποταμῶν, ὅ φασιν· ὥσπερ ἔν οἱ τὸν μήπω τῦ Θεῦ λόγον γνωριθέντα, Θεὸν εἶναι Φύσει κηρύτλοντες θεολόγοι, τὸν ἀσυήθη τῦτον Θεὸν πρὸς τὸν ταῖς πάντων δόξαις προειλημμένον ἀνῆγον, πιςέμενοι πᾶσι τὶὼ τῦ Υἱῦ θεότητα, ἱκανὸν εἶναι νομίζοντες εἰς παραδοχὶὼ τῆς ἐκείνε θεότητος, εἰ πιςωθείη μόνον ὁμοέσιος εἶναι τῷ τέτοις πιςευομένῳ Θεῷ· ἔτως οἱ πεῖσαι βελόμενοι τὲς ἀνθρώπες, καὶ μάλισα τὲς πνευματομάχες, ὅτι τὸ Πνεῦμα Θεὸς, καὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ ὁμοέσιον, ἐ τὸν Υἱὸν ἀνάγεσιν εἰς τὸ Πνεῦμα, τὸ γνώριμον ἦγεν πρὸς τὸ ἄγνωτον πρόσωπον, ἀλλὰ πᾶν τἐναντίον, τὸ ἄγνωτον δηλαδὴ πρὸς τὸ γνώριμον· νομίζοντες ἆρα, ὅπερ ἰῶ ἀληθὲς, ὅτι ἂν τῦτο παραδεχθῇ, τὸ τῆς αὐτῆς τῷ Υἱῷ ἐσίας εἶναι τὸ Πνεῦμα, τὸ καὶ Θεὸν αὐτὸ εἶναι, αὐτίκα παραδεχθήσεται. Εἰ γὰρ τὸ Πνεῦμα ὁμοέσιον τῷ Υἱῷ, ὁ δὲ Υἱὸς τῷ ἰδίῳ Πατρὶ ὁμοέσιος ἤδη ἀνωμολόγητο, καὶ τῷ Πατρὶ ἆρα τὸ Πνεῦμα ὁμοέσιον ἐπιςέλετο· ἐπεὶ δὲ ὁ Πατὴρ Θεὸς Φύσει, καὶ ὁ Υἱὸς Θεὸς Φύσει, καὶ τὸ τέτοις ὁμοέσιον Πνεῦμα Θεὸς Φύσει ἐφαίνετο ὄν· καὶ εἷς τὰ τρία Θεός.

Δεῖ δὲ κἀκεῖνο σκοπεῖν, ὅτι τὸ τῆς ἐσίας ἅμα, καὶ αὐτὸ τῆς ὑπάρξεως τὸ ὄνομα, ἀντὶ τῦ τῆς ὑποτάσεως ἔτιν ὅπε παρὰ τοῖς θεολόγοις οὐ χρήσει, ὡς αὐτοί φασιν ἑαυτὲς ἐξηγέμενοι· φησὶ γὰρ ὁ θεῖος Κύριλλος πρὸς
» Ἀσιανὲς γράφων· ἐσαρκώθη ἡ Φύσις τῦ Θεῦ λόγε,
» τετέτιν ἡ ὑπότασις· καὶ ὁ Χρυσότομος οὐ τῷ περὶ τῦ
» ἁγίε Πνεύματος, τὸ προφητικὸν ἐκεῖνο ἐφερμηνεύων, τὸ,
» ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα Θεῦ· ὧδε τὸ ὄνομα τῆς Φύσεως λέγει αὐτῦ τῦ Πνεύματος, ἤτοι τῆς ὑποτάσεως.

σάσεως. Καὶ ἁπλῶς πολλοὶ τῶν πρώτων κατεχρήσαντο τοῖς ὀνόμασι, πῇ μὲν τὴν ὑπόστασιν ἀντὶ τῆς οὐσίας, πῇ δὲ τὴν οὐσίαν ἀντὶ τῆς ὑποστάσεως, πῇ δὲ τὴν ἐνέργειαν ἀντὶ οὐσίας, ἢ ὑποστάσεως ἐκφωνοῦντες· οὐχ ὡς ταὐτὸν ταῦτα γινώσκοντες· ἔμενεν· ἀλλ' ὅτι εἴωθεν ἐξ ἀρχῆς, ἃ μόνον ἡ θεία γραφὴ, ἀλλὰ καὶ οἱ τῆς ἐκκλησίας διδάσκαλοι περὶ τὰς λέξεις ἀδιαφορεῖν, οὐ πολλοῖς καταχρησικῶς ἔθ' ὅτε παρ' αὐτῶν ἐκφωνουμένας, εἰδότες ὅτι οὐδὲν ἀδικοῦσιν αἱ λέξεις, ὅταν ἄλλως ἔχῃ τὰ πράγματα· Κυρίλλου γὰρ καὶ ὅτος ὁ λόγος· καὶ πάλιν ὁ αὐτὸς, χρὴ, φησὶ, τὸν τοῖς θείοις λόγοις ἐντυγχάνοντα, καὶ τὰ πρόσωπα θεωρεῖν, καὶ τὸν χρόνον, καὶ διὰ ποίαν αἰτίαν ἕκαστον εἴρηται, συλλογίζεσθαι· ὅτω γὰρ ἑκάστῳ ῥητῷ, τινὶ πρέπουσαν ἐφαρμόσας θεωρίαν τις τῇ τοῦ Πνεύματος δωρήσεται χάριτι. Τοῦτο δὲ καὶ ὡς κανόνα παραδέδωκεν ὁ θεῖος Μάξιμος· φησὶ γὰρ ὃ πάντοτε καὶ πάντα τὰ τινὶ αὐτῷ ἐκφώνησιν ἔχοντα, καθ' ἕνα καὶ τὸν αὐτὸν πάντως νοηθήσεται τρόπον, ἀλλ' ἕκαστον τῶν λεγομένων πρὸς τινὶ ὑποκειμένῳ τῷ τόπῳ τῆς ἁγίας γραφῆς διύαμιν νοητέον, εἰ μέλλομεν ὀρθῶς τοῦ σκοποῦ τῶν λεγομένων κατασχάζεσθαι. Λέγει δὲ καὶ ὁ θεολόγος Γρηγόριος ὅτω· μηδὲ γὰρ οἱ περὶ ταῦτα ζυγομαχοῦντες ἀχημονήσασαν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ' ἐκ οὐ πράγμασι· καὶ πάλιν, ἐκ οὐ ὀνόμασιν, ἀλλ' οὐ πράγμασιν ἡμῖν ἡ ἀλήθεια. Καὶ ὁ μέγας δὲ Ἀθανάσιος τινὶ σενότητα τῆς τῶν ἰταλῶν γλώττης εἰδὼς, ἃ τὸν ἦχον τῆς λέξεως, ἀλλὰ τὸν νοῦν ὀρθῶς ἔχοντα τῆς τοῦ ὁμοουσίου φωνῆς ἀπεδέξατο· διὸ, φησὶν, ἃ γὰρ αἱ λέξεις τινὶ φύσιν παραιροῦνται, ἀλλὰ μᾶλλον ἡ φύσις τὰς λέξεις εἰς ἑαυτὴν ἕλκουσα μεταβάλλει· καὶ γὰρ ἃ πρότεραι τῶν ἐσιῶν αἱ λέξεις, ἀλλ' αἱ οὐσίαι πρῶται, καὶ δεύτεραι τούτων αἱ λέξεις εἰσί· καὶ ἡ κοινωνία τῆς λέξεως τινὶ διαφορὰν τῶν πραγμάτων ἐκ ἀναιρεῖ, ἀλλ' ἡ διαφορὰ τῶν πραγμάτων διαφόρους καὶ τὰς περὶ αὐτῶν ἐννοίας εἰσάγουσα, ἐκ τῆς τῶν ὀνομάτων ταυτότητος ἃ δαμῶς παραβλάπτεται· οὐδὲ γὰρ οὐ ἦχοις ῥημάτων ἐστὶν

ἡ εὐσέβεια, ἀλλ' ἐν τῇ τῶν νοημάτων ὀρθότητι· ὅθεν κἂν γνήσιον εἴπῃ τὸ ῥῆμα, νόθον δὲ τὸ νόημα, ὡς ἀλλότριον ἡγέμεθα τὸν λέγοντα, καὶ ἀπόβλητον· κἂν ξενίζον καὶ ἀσυήθες, λέγεται δὲ κατ' εὐσεβῆ λόγον, διὰ τὸ εὐσεβὲς τῆ σημαινομένῳ τοῖς εὐσεβέσιν ἐγκρίνομεν· τὸ μὲν γὰρ ἀσεβεῖν παντελῶς κεκώλυται, κἂν ποικίλοις ῥήμασι καὶ πιθανοῖς σοφίσμασι περιβάλλειν αὐτό τις ἐπιχειρῇ, τὸ δ' εὐσεβεῖν ὅσιον παρὰ πᾶσιν ὁμολογεῖται, κἂν ξενιζόσαις λέξεσί τις χρῆται, ἕως μόνον ὁ λέγων εὐσεβὲς ἔχει τὸ φρόνημα, καὶ δι' αὐτῶν ὃ νενόηκεν εὐσεβῶς βέλεται σημαίνειν· λέγει δὲ καὶ ὁ ἱεροφάντης Διονύσιος, „ ὅτι ἄλογον καὶ σκαιὸν τὸ μὴ τῇ διωάμει τῆ σκοπῆ προ„ σέχειν, ἀλλὰ ταῖς λέξεσι· καὶ πάλιν, τῆτο ἐ τῶν τὰ „ θεῖα νοεῖν ἐθελόντων ἴδιον, ἀλλὰ τῶν ἧχῆς ψιλὲς ὑποδε„ χομένων, καὶ προσπαχόντων στοιχείοις καὶ συλλαβαῖς „ καὶ λέξεσιν ἀδιαγνώστοις, μὴ διαβαινέσαις εἰς τὸ τῆς ψυ„ χῆς αὐτῶν νοερὸν, ἀλλ' ἔξωπε περὶ τὰ χείλη καὶ τὰς „ ἀκοὰς αὐτῶν βομβεμένας.

Τὰ τοίνιω καταχρηστικῶς λεγόμενα, ἔτε εἰσὶ κυρίως ἃ λέγονται, (ὅτι μηδὲ λέγονται κυρίως ἃ εἰσὶν,) ἔτε νοῆνται ὡς λέγονται. Ἀλλ' ἵνα ἐπὶ τὸν τῆ λόγε σκοπὸν ἐπανέλθωμεν, τέτων ἕτως ὀφειλομένων τηρεῖσθαι τοῖς ὀρθοδόξοις τῶν θεολόγων ἀκροαταῖς, ἐπεὶ καὶ περὶ τῆ ἁγίε Πνεύματος λέγεται ποτὲ μὲν, ὅτι ἐκ τῆς ἐσίας ἐστὶ τῆ Πατρὸς, ποτὲ δὲ ὅτι ἐκ τῆς ἐσίας ἐστὶ τῆ Υἱῆ, ποτὲ δὲ ὅτι ἐκ τῆς ἐσίας τῆ Πατρὸς καὶ τῆ Υἱῆ ἔχει τὸ εἶναι, ποτὲ δὲ ὅτι ἐκ τῆ Πατρὸς ἐκπορεύεται, πᾶς ὁ τὰς θεολόγες φωνὰς νοεῖν βελόμενος εὐσεβῶς, ἕκασον τῶν λεγομένων περὶ τῆ Πνεύματος πρὸς τὸν σκοπὸν, πρὸς τινὰ αἰτίαν καὶ τὸν τρόπον, καὶ τινὶ ὑποκειμένῳ τῷ τόπῳ τῆς ἁγίας Γραφῆς ἔννοιαν ἐκλαμβάνων, ἃ προσκόπ|ει ποτέ. Εἰ δ' ἐπὶ τέτοις τὶς ἀποροίη, πῶς οἱ θεολόγοι φασὶν ἐσίαν ἐξ ἐσίας, ἐκ τῆ Πατρὸς δηλαδὴ τὸν Υἱὸν, ἢ σοφίαν ἐκ σοφίας, ἢ ἐκ τῆς ἐσίας τῆ Πατρὸς τὸν Υἱὸν γεννηθῆναι, ἢ ἐκ τῆς ἐσίας τῆ Πατρὸς

καὶ

καὶ τȣ̃ Υἱȣ̃ εἶναι τὸ Πνεῦμα, ἢ ἐκ τῆς ȣ̓σίας αὐτȣ̃ τȣ̃ Υἱȣ̃, ὥσπερ εἴρηται; ἐκεῖνο λέγομεν, ἵνα τὸ ὁμοȣ́σιον δειχθῇ, πολλαχȣ̃ τȣ̃ ἐκ τῆς ȣ̓σίας αὐτὸ τȣ̃το βȣλομένȣ. Εἰ γὰρ μὴ τȣ̃το ἰῶ, ȣ̓δ' ἂν κατὰ φύσιν Πατὴρ, ὁ Πατήρ· ἢ κατὰ φύσιν Υἱὸς, ὁ Υἱός· ἢ κατὰ φύσιν τὸ Πνεῦμα ἐκ τȣ̃ Πατρός.

Ἐκ δὲ τῆς ȣ̓σίας τȣ̃ Υἱȣ̃ τὸ Πνεῦμα λέγοντες, ȣ̓χ ὡς ἐκ τῆς Υἱϊκῆς προϊὸν ὑποςάσεως τȣ̃το οἱ ἅγιοι λέγȣσιν, ἀλλ' ὡς πρόσωπον καὶ αὐτὸ τῆς αὐτῆς ȣ̓σίας, ἧς ἄρα καὶ ὁ Υἱός· ὥσπερ καὶ τὰ τῆς ἀνθρωπίνης ȣ̓σίας πρόσωπα, ἐκ τῆς αὐτῆς ἐςὶν ἀλλήλοις ȣ̓σίας· ὅ, τε γὰρ Πέτρος ἐκ τῆς ȣ̓σίας τȣ̃ Παύλȣ, ȣ̓ μὴν ἐκ τῆς ὑποςάσεως· ἡ μὲν γὰρ ȣ̓σία κοινὴ, ἡ δ' ὑπόςασις ἰδικὴ, ἕνα ἕκαςον χαρακτηρίζȣσα, καὶ τῶν ὁμοȣσίων διαςέλλȣσα· καὶ ὁ Παῦλος ὁμοίως ἐκ τῆς τȣ̃ Πέτρȣ ȣ̓σίας, ȣ̓χὶ καὶ ἐκ τῆς ὑποςάσεως· μία γὰρ καὶ ἡ αὐτὴ ȣ̓σία, οἷά τις ῥίζα καὶ πηγὴ ἀμφοτέρȣς προἰώεγκεν, ȣ̓ μέν τοι καὶ ἐξ ἀλλήλων προήλθοσαν· ὥςε ȣ̓δὲ εἰ ἐκ τῆς ȣ̓σίας τȣ̃ Υἱȣ̃ τὸ Πνεῦμα, πάντως ἂν εἴη καὶ ἐκπορευόμενον ἐξ αὐτȣ̃ καθ' ὑπόςασιν· ȣ̓̃τε γὰρ ἕπεται, ȣ̓̃τε μὴν ἀντιςρέφει, ἀλλὰ τȣ̓ναντίον ἅπαν, εἰ προσωπικῶς ἐκπορευόμενον ἰῶ ἐξ αὐτȣ̃, ἐξ ἀνάγκης καὶ ἐκ τῆς ȣ̓σίας ἂν ἰῶ τῆς αὐτȣ̃. Οὐκ ἔςι γὰρ ἀναγκαῖον, εἴτι τινὶ ὁμοȣ́σιον εἴη, καὶ ἐξ ἐκείνȣ τὴν αἰτίαν τῆς ὑπάρξεως ἔχειν, ȣ̓̃τ' ἐπὶ τῶν θείων, ȣ̓̃τ' ἐπὶ τῶν ἀνθρωπίνων· τὰ γὰρ θεῖα πρόσωπα ἀλλήλοις ὁμοȣ́σια, ἀλλ' ȣ̓κ ἀλλήλων αἴτια· καὶ οἱ ἄνθρωποι πάντες ἀλλήλοις ὁμοφυεῖς, ἐξ ἀλλήλων δὲ ȣ̓δαμῶς. Εἰ μὲν γὰρ ἔκτινός τι καθ' ὑπόςασιν ἐςὶ, καὶ κατ' ȣ̓σίαν ἐκείνῳ ᾠκείωται ἐξ ἀνάγκης· εἰ δὲ τȣ̃το, ȣ̓κ ἐξ ἀνάγκης κἀκεῖνο. Ὁ μὲν γὰρ Πατὴρ τῷ Υἱῷ κατ' ȣ̓σίαν ᾠκείωται, ἀλλ' ȣ̓κ ἔςιν ἐκ τȣ̃ Υἱȣ̃· καὶ ὁ Υἱὸς δὲ κατ' ȣ̓σίαν τῷ ἁγίῳ ᾠκείωται Πνεύματι, ἀλλ' ȣ̓κ ἔςιν ἐκ τȣ̃ Πνεύματος. Ὅτι δ' ἐπὶ τȣ̃ Πατρὸς ταῦτα καὶ ἀμφότερα φαμὲν, ἤτοι καὶ ἐκ τῆς ὑποςάσεως αὐτȣ̃ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ μὴν καὶ ἐκ τῆς ȣ̓σίας αὐτȣ̃, θαυμάζειν ȣ̓

χρή· εἰ γὰρ φανερῶς παρὰ τῦ Κυρίε μαθόντες ἔχομεν, ὅτι τῆς τῦ Πνεύματος ὑπάρξεως αἴτιος ὁ Πατὴρ, ἐπεὶ τὸ αἴτιον κατὰ τιὼ ὑπόσασιν, πάντως ἂν κυρίως καὶ ἐκ τῆς ὑποσάσεως αὐτῦ λέγοιτο· εἰ δὲ τῦτο, πάντως ἂν ἢ ἐκ τῆς ἐσίας αὐτῦ· ἀλλ' ἀντισρέφειν τὸν λόγον καθόλε ἐκ σὲ· ἐ γὰρ εἰ ἐκ τῆς ἐσίας, ἔπεται τὸ καὶ ἐκ τῆς ὑποσάσεως πάντως. Σὴθ γὰρ καὶ Ἄβελ, ἑκάτερος τέτων, καὶ ἐκ τῆς ὑποσάσεως, καὶ ἐκ τῆς ἐσίας, πάντως ἂν λέγοιτο τῦ Ἀδάμ· ἑκάτερος δὲ ἐκ τῆς ἐσίας μὲν ἑκατέρε καὶ πάνυ, ἐκ τῆς ὑποσάσεως δὲ ἐδαμῶς· εἴπερ ἀδυάτον τὰς ἀδελφὰς ἐξ ἀλλήλων εἶναι, καὶ τὸν αὐτὸν πατέρα εἶναι καὶ ἀδελφὸν τῦ αὐτῦ, καὶ τὸν αὐτὸν αὖ καὶ ἀδελφὸν καὶ υἱόν· καὶ κατὰ τῦτο τὸ σημαινόμενον, οἱ θεῖοι Πατέρες τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς ἐσίας εἶναι τῦ Υἱῦ ἀπεφήναντο· τετέσι τῷ Υἱῷ ὁμοέσιον.

Εἰ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοέσιον ἐσὶ τῷ Υἱῷ, καὶ ὁ Υἱὸς πάντως ὁμοέσιος ἐσὶ τῷ Πνεύματι· τὸ γὰρ τινὶ ὁμοέσιον, κἀκεῖνο πάντως τέτῳ ἐσὶν ὁμοέσιον· εἰδ' ὡς ἔνιοι φασὶν, ἡ τῦ Πατρὸς ἐσία αἰτία τῆς ἐσίας τῦ Υἱῦ μόνον, ἡ μέντοι τῦ Πατρὸς καὶ τῦ Υἱῦ ἐσία, αἰτία τῆς ἐσίας τῦ Πνεύματος, αὖθις πολλὰς ἐσίας ἐπὶ τῆς ἁγίας Τριάδος ἀνάγκη ὁμολογεῖν, τὰς μὲν αἰτίας, τὰς δὲ αἰτιατάς· καὶ τέτε κρατέντος, ἐ πόῤῥω τῆς Ἀρείε μανίας τὰ καθ' ἡμᾶς· εἰ δὲ μὴ, καθὼς τὸ Πνεῦμα ἐκ τῆς ἐσίας τῦ Υἱῦ λέγεται, ἕτω καὶ ὁ Υἱὸς ἐκ τῆς ἐσίας τῦ Πνεύματος, ἐχ ὅτι τῆς αὐτῆς ἐσίας ἐκ ἔσι τῷ Πνεύματι, διὰ τῦτο ἐ λέγεται, (καὶ γὰρ ἐσὶ τῆς αὐτῆς ἐσίας αὐτῷ) ἀλλ' ὅτι καθάπερ τῦ Πνεύματος τῦ ἁγίε, λεγομένε Πνεύματος τῦ Πατρὸς διὰ τιὼ οἰκείωσιν καὶ τιὼ ἐκείθεν αἰτίαν, ἐ λέγεται καὶ ὁ Πατὴρ τῦ Πνεύματος· (ἔδοξε γὰρ ἂν τὸ Πνεῦμα Υἱός·) ἕτω ἢ εἴ τις λέγει τὸν Υἱὸν ἐκ τῆς ἐσίας τῦ ἁγίε Πνεύματος, Πατὴρ ἂν νομίθη τὸ Πνεῦμα· ὥσε τῶν σεπτῶν διδασκάλων λεγόντων, ἐκ τῆς ἐσίας τῦ Πατρὸς καὶ τῦ Υἱῦ εἶναι τὸ ἅγιον Πνεῦμα, σκοπὸς εἷς ἐσὶ καὶ ὁ αὐτὸς ἅπασι·

καὶ

καὶ γὰρ τὸ λαλῆν ἐν αὐτοῖς Πνεῦμα ἅγιον ἦν· καὶ ἵνα συμφυὲς καὶ ὁμότιμον Πατρὸς αὐτὸ καὶ Υἱῦ παραστήσωσι, πᾶσα αὐτοῖς ἡ σπουδή. Καὶ τῦτο πάντων σαφέστερον ἐν τοῖς συμπεράσμασι τῶν περὶ τῦ ἁγίυ Πνεύματος κεφαλαίων, ἐν τῇ βίβλῳ τῶν Θησαυρῶν δηλοῖ ὁ Θεοπέσιος Κύριλλος, ποτὲ μὲν σιωπάγων ἐκ τῆς ἐσίας τῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ποτὲ δὲ ἐκ τῆς ἐσίας τῦ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον, ποτὲ δὲ ἐκ τῆς ἐσίας τῦ Πατρὸς καὶ τῦ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον, ποτὲ δὲ τῆς θείας ἐσίας ἄρα τὸ Πνεῦμα τὸ ἅγιον, ποτὲ δὲ ἐκ ἀλλότριον ἄρα τῆς θείας ἐσίας τὸ Πνεῦμα τὸ ἅγιον, ποτὲ δὲ ἐ διώρισαι ἄρα τῆς θείας ἐσίας τὸ Πνεῦμα τὸ ἅγιον, πῶλε δὲ ὁμοέσιον ἄρα Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον· εἰ δὲ τὸ ἐκ τῆς ἐσίας τῦ Υἱῦ, εἰς ἴσον τοῖς ἄλλοις ἔρχεται, (εἰς γὰρ καὶ ὁ αὐτὸς σκοπὸς τῶν κεφαλαίων πάντων ἐκεῖσε·) ἐκεῖνα δὲ σαφῶς τλὺ συμφυΐαν καὶ ὁμοσιότητα τῆς Τριάδος δείκνυσι, καὶ ἐδαμῶς πόθεν ἡ αἰτία τῷ Πνεύματι, καὶ τὸ ἐκ τῆς ἐσίας ἄρα τῦ Υἱῦ παραπλησίως τοῖς ἄλλοις αὐτό γε τῦτο δηλοῖ, καὶ ἐδὲν ἕτερον.

Ὅτι δὲ ὑπόστασιν καὶ τλὺ ἐσίαν καὶ τὸ πρόσωπον λέγεσιν ἰταλοὶ, καὶ αὐτοὶ μάρτυρες, καὶ ὁ ἅγιος Αὐγεστῖνος ἐν τῷ περὶ Τριάδος· καὶ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ τῦ ἁγίυ Ἀθανασίυ ἐγκωμίῳ μαρτυρεῖ. Εἰ δέ τις λέγοι, τὶ δήποτε οἱ Θεολόγοι πάντες ἁπλῶς ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ τὸ Πνεῦμα θεολογῦσιν; ἐκεῖνο ἴσω, ὅτι τὸ ἔκτινος ἐναίτι, κατὰ πολλὰς τρόπυς λεγόμενον, λέγεται καὶ κατὰ τρόπον τὸν πρὸς ἄλληλα τῶν προσώπων, ὁμοσιότητα σημαίνοντα· καὶ τῦτο ὁμοίως ἐπί τε τῶν θείων, ἐπί τε τῶν ἀνθρωπίνων λεγόμενον· καθ' ὃ σημαινόμενον λέγομεν ὁ Ἰωάννης ἐκ τῆς ἐσίας ἐσὶ τῦ Πέτρυ, καὶ τῦ Παύλυ, καὶ τῶν λοιπῶν ἀνθρώπων, ἐχ ὅτι γεγόννηται ἐκ πάντων αὐτῶν, ἀλλ' ὅτι ὁμοφυὴς ἐσὶν αὐτοῖς, καὶ τῆς αὐτῆς αὐτῶν ἐσίας· καὶ κατὰ τῦτο τὸ σημαινόμενον οἱ θεῖοι Πατέρες τὸ Πνεῦμα τὸ ἅγιον λέγεσιν ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ, ὃ καὶ ἀναγκος φθάσαν-

τες

τες ἔφημεν, τὴν πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν συμφυΐαν τοῦ Πνεύματος παρασῆσαι βουλόμενοι· καὶ τὸ αἴτιον πρόδηλον· ὅτι τῶν ἐκ τοῦ παντὸς αἰῶνος αἱρετικῶν, οὐδεὶς τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ παρέιχε πράγματα, τοῦτο προϋποτιθέμενος καὶ ζητῶν, πόθεν τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ἐκ τοῦ Πατρὸς ἆρα μόνου, ἢ καὶ ἐκ τοῦ Υἱοῦ, ἢ καὶ ἐξ ἑαυτοῦ; ἀλλ' ὅσοι πνευματομάχοι ἐφάνησαν, ἀλλότριον πάντη τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ οὐσίας, ἢ ὑποδεεῖς, καὶ τρίτον ἐκείνων ἢ τῷ ἀξιώματι, ἢ τῇ φύσει ἐβλασφήμουν τοῦτο καὶ ἀπεκήρυττον· ταὐτὴν οἱ καὶ πάντες οἱ θεολόγοι πρὸς τὸν σκοπὸν ἐκεῖνον ἀπομαχόμενοι, καὶ μετὰ τῆς ἐκ, καὶ μετὰ τῆς σὺν, καὶ μετὰ τῆς μετὰ, καὶ μετὰ τῆς διὰ, καὶ μετὰ τῆς σὺ, καὶ ἀσυνδέτως, καὶ πᾶσι τρόποις ἁπλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἴσον Πατρὶ καὶ Υἱῷ, καὶ τῆς αὐτῆς οὐσίας Πατρὶ καὶ Υἱῷ, καὶ Θεὸν αὐτὸ εἶναι, καὶ ἐκ Θεοῦ Θεὸν, καὶ ἐξ ἀμφοῖν, καὶ παρ' ἀμφοτέρων, καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ πνέον, καὶ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον, καὶ σὺν τῷ Υἱῷ μένον, καὶ σὺν αὐτῷ ἀναπαυόμενον, καὶ συνὼ Υἱῷ ἐκ τοῦ Πατρὸς, καὶ μετὰ τοῦ Υἱοῦ εἶναι, καὶ ἴδιον τοῦ Υἱοῦ, καὶ ἐκ ἀλλότριον, καὶ ἐκ τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ, καὶ τὰ παραπλήσια τούτοις, ἵνα μὴ λέγω καθ' ἕκαστον, πάντες οἱ θεῖοι Πατέρες πρὸς τὸ παρασῆσαι ἀγωνιζόμενοι ὅτι τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ, καὶ φύσεως ὑπάρχει τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐκήρυξαν, καὶ ἔγραψαν, καὶ ἡμῖν ἔτω πιστεύειν παραδεδώκασιν· ἐχ ὅθεν τὸ Πνεῦμα τὴν τῆς ὑποστάσεως αἰτίαν ἔχει δεῖξαι σπουδάζοντες, οὐδὲ γὰρ ὑπὲρ τούτου ἦν αὐτοῖς ὁ ἀγών· καὶ τοῦτο δῆλον ὃ φασὶ καὶ τυφλῷ· ἔκτε τῶν χρήσεων αὐτῶν τῶν ἁγίων, τὴν αἰτίαν διαρρήδην τοῦ λόγου διερμηνεύσων, καὶ διὰ τῶν συμπερασμάτων αὐτῶν, καί γε δι' αὐτῶν τῶν τῶν λόγων ἐπιγραφῶν.

Δύο τοίνυν περὶ τὸ Πνεῦμα τὸ ἅγιον θεωρουμένων κατὰ πρώτην ἐπιβολὴν, οὐσίας καὶ ὑποστάσεως, περὶ μὲν τοῦ ὅθεν τὴν οὐσίαν ἔχει τὸ Πνεῦμα, οὐδαμῶς ἡμεῖς

πρὸς

πρὸς τὰς ἐκ τῆς Ῥώμης διαφερόμεθα, ἔμενεν· ἀλλὰ περὶ τῆς ὑποστάσεως μόνης τοῦ Πνεύματος ἔστιν ἡμῖν ἡ διαφορά. Αὐτοὶ δ' ἐγκαλέμενοι παρ' ἡμῶν, περὶ τοῦ προσώπου τοῦ Πνεύματος, ὅτι λέγεσι τοῦτο ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι, ἀπολογέμενοι δὲ περὶ τῆς οὐσίας αὐτοῦ, καὶ τὰ περὶ ταύτης λεγόμενα προβαλλόμενοι δήπου, ταυτὸν ποιοῦσιν, οἷον ἂν εἴτις ἐγκαλέμενος ὅτι πιστεύει τὸν Δαβὶδ κατὰ τὴν ὑπόστασιν Υἱὸν εἶναι τοῦ Ἀδὰμ καὶ τῆς Νῶε, ὁ δὲ προβάλλοιτο δήθεν εἰς δικαίωμα μέγιστον, ἐπεὶ ὁ Δαβὶδ τὴν ἰδίαν οὐσίαν ἐξ Ἀδὰμ ἐπίσης καὶ τῆς Νῶε πλατεῖ· ἢ ὡς ἂν εἴτις ἀναγόμενος ὅτι περὶ τοῦ Υἱοῦ καὶ λόγου τοῦ Θεοῦ δοξάζει, ὡς ἐκ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος τὴν ὑπόστασιν ἔχει, ἤτοι ἐπίσης γεννᾶται ὁ Υἱὸς ἐξ ἀμφοῖν, ὁ δ' ἀπολογεῖσθαι εἰκότα νομίζοι, λέγων, ἐπεὶ τὴν οὐσίαν ὁ λόγος οὐχ ἑτέρωθεν, ἀλλ' ἐκ τοῦ Πατρὸς ὡσαύτως καὶ τοῦ Πνεύματος κέκτηται.

Ἵνα δὲ πιστότερον ἡμῖν τὸ λεγόμενον γένηται, καὶ καταδηλον εἴη, ἀνακεκαλυμμένῳ ἰδὲ προσώπῳ, καρδίᾳ, καὶ γλώττῃ, καὶ λαμπρᾷ τῇ φωνῇ παῤῥησίᾳ κηρύττομεν· τὸ μὲν οὐσιωδῶς εἶναι τὸ Πνεῦμα, ἦγεν τὴν ἰδίαν οὐσίαν ἔχειν ἐκ τοῦ Πατρὸς ἅμα καὶ τοῦ Υἱοῦ, οὐ μᾶλλον οὐχ ἧττον, ἀλλ' ἐπίσης ἐξ ἀμφοῖν, καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν, καὶ τοὺς μὴ οὕτω δοξάζοντας ἀναθεματίζομεν· τὸ δὲ ὑποστατικῶς, ἤτοι προσωπικῶς, αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι καὶ ἀπαρτιζόμεθα, καὶ τοὺς οὕτω φρονοῦντας ἀποστρεφόμεθα. Ταῦτα δ' οὕτω φρονοῦμεν οὐχ ὡς καινῶν δογμάτων ἐφευρεταὶ, ἀλλὰ τοῖς θεολόγοις πᾶσιν ἑπόμενοι, ὅτε μὲν λέγεσι περὶ τῆς οὐσίας τοῦ Πνεύματος, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς φύσεως ἐστὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ· καὶ σὺν λόγῳ ὅσα μικρῷ πρόσθεν εἰρηται· ὅτε δὲ περὶ τῆς αὐτοῦ ὑποστάσεως γράφουσιν, ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν· καὶ οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἔχει τὴν ὕπαρξιν· καὶ ὅσα τούτοις ἑφάμιλλα.

Ἵνα

Ἵνα δ' ὅθεν τῆς ὑποθέσεως ταύτης ἠψάμεθα πάλιν ἐκεῖ καταλήξωμεν, ἐκεῖνο ὑπομνήσαντες τὸς θέλοντας σιγήσομεν· ὅτι τὸς τὰς θεολόγους ἀκούοντας φωνὰς τοῦτο πρὸ πάντων λογίζεσθαι χρή, ὡς μιᾶς οὐσίας καὶ τριῶν ὑποστάσεων περὶ τινὸ θείαν Τριάδα θεωρεμένων, πάνθ' ὅσα τοῖς θεολόγοις περὶ Θεοῦ εἴρηται, ἢ περὶ τῆς μιᾶς οὐσίας λέγεται ταῦτα, ἢ περὶ τῶν τριῶν ὑποστάσεων ἅμα, ἢ περὶ τῶν δύο ὁποιωνῶν λωμένων, ἢ ἰδιάτατα πάντως περὶ μιᾶς αὐτῶν τῆς ὁποιασῶν, καὶ τοῦτο κανὼν ἀκριβὴς τοῖς τὰ θεολογικὰ σιωπτῶς ἀκούσι· καὶ δεῖ μήτε τὰ λεγόμενα ἐξαιρέτως περὶ τῆς θείας οὐσίας, προσάπτειν ποτὲ καὶ ταῖς τρισὶν ὑποστάσεσι, μήτε τὰ τῶν τριῶν ὑποστάσεων εἰρημένα ἰδίως, δοξάζειν εἶναι κοινὰ καὶ τῇ θείᾳ οὐσίᾳ, μήτε τὰ περὶ τῶν δύο ὁποιωνῶν, καὶ τῇ λοιπῇ νομίζειν εἶναι κοινὰ, μήτε τὰ τῆς μιᾶς αὐτῶν ἴδια, καὶ ταῖς λοιπαῖς δυσὶν εἶναι λογίζεσθαι ἴδια· ἀλλὰ καὶ τὰ τῆς οὐσίας ἐξαίρετα, ταύτῃ μόνῃ τηρεῖν ἀπλήθυντα καὶ ἀμείωτα· καὶ τὰ τῶν ὑποστάσεων πασῶν, ἢ τῶν δύο κοινὰ, λωμένα φυλάττειν· καὶ τὰ ἑκάστῃ τῶν ὑποστάσεων ἴδια, πρός τε τινὰ κοινὰ τῶν τριῶν οὐσίαν, καὶ πρὸς τὰς λοιπὰς ὑποστάσεις ἀσύγχυτα· ὅτι καὶ τὸ τινὸς ἴδιον ἀκοινώνητόν ἐστι τοῖς λοιποῖς, καὶ τὸ τισὶ κοινὸν οὐκ ἄντικος ἴδιον γένοιτο· καὶ ὥσπερ τὰ οὐσιώδη οὐκ ὄν ὑποστατικὰ γένοιτο, οὔτε τὰ ὑποστατικὰ οὐσιώδη, οὕτως οὐδὲ τὰ κοινὰ ἴδια, οὐδὲ τὰ ἴδια κοινά· ἀναιρετικαὶ γὰρ ἀλλήλων αἱ συζυγίαι αὐτῶν· καὶ ὥσπερ τὸ κοινὸν γενόμενον ἴδιον ἀπόλυσιν αὐτίκα τὸ εἶναι κοινὸν, καὶ τὸ ἴδιον κοινὸν γινόμενον ἀποπίπτει τὸ ἴδιον εἶναι· οὕτω καὶ τὸ οὐσιῶδες ὑποστατικὸν καθιστάμενον, τὸ εἶναι οὐσιῶδες δύθυς ἐξίσταται· καὶ τὸ ὑποστατικὸν μεταπίπτον εἰς οὐσιῶδες, τὸ ὑποστατικὸν εἶναι ὑποχωρεῖ.

Ταῦτα περὶ τῶν ἐκ τῆς πίστεως παρεκτροπῶν διελθόντες, εἰς τινὰ ἐπιβᾶσαν, (εἰ μὴ τινὰ παντελῆ μεταξὺ ὑπέλθοιμεν σιωπινὰ) περὶ τῆς ὀρθῆς πίστεως, διδόντος Θεοῦ, ἐρῶμεν· ἐκεῖνο πάλιν παρακαλέσαντες τινὰ ὑμετέ-

ραν

ραν ἀγάπιω, ἵν' ὥσπερ φιλοτιμεῖσθε ὀρθόδοξοι εἶναι, ἕτω παιδάζητε ἀγάπιω διὰ βίε κεκτῆσθαι, τὶω βασιλίδα τῶν ἀρετῶν· εἰδότες ὅτι ὥσπερ μνήμη πυρὸς ἐ θερμαίνει τὸ σῶμα, ἕτω πίςις ἄνθ' ἀγάπης ἐκ ἐνεργεῖ εἰς τὶω ψυχὶω τὸν τῆς γνώσεως φωτισμόν· καὶ ὥσπερ ψυχὴ ἄνθ' σώματος ἐ καλεῖται ἄνθρωπος, ἐθ' αὖ σῶμα ἄνθ' ψυχῆς, ἕτως ἐδὲ ἀγάπη πρὸς τὸν Θεὸν, ἐὰν μὴ ἔχῃ ἀκόλεθον καὶ τὶω πρὸς τὸν πλησίον ἀγάπιω· καὶ ὥσπερ ἀπὸ μὲν τῶν ὑγιαινόντων ἀπαιτεῖ ὁ Θεὸς τὶω νηςείαν, ἀπὸ δὲ πάντων τὶω εὐχαριςίαν, ἕτως ἀπὸ μὲν τῶν ἐχόντων τὶω μετάδοσιν, ἀπὸ δὲ πάντων τὶω ἀγάπιω· καὶ ὥσπερ ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτῦ ἀληθῶς καὶ τὸν Θεὸν ἀγαπᾷ, ἕτω καὶ ὁ μισῶν τὸν ἀδελφὸν αὐτῦ, καὶ τὸν Θεὸν ἀκολέθως μισεῖ. Ὅτι ἐδὲν ἀγάπης ἀντάξιον, κἂν τὶω ζωὶω αὐτὶω εἴπῃς, κἂν τὸ φῶς, κἂν τὸν ἥλιον· ἐδὲν ἕτως ἴδιον τῆς φύσεως ἡμῶν, ὡς τὸ κοινωνεῖν ἀλλήλοις, καὶ χρήζειν ἀλλήλων, καὶ φιλεῖν τὸ ὁμόφυλον· καὶ ἐδὲν κάλλιον καὶ θειότερον φιλίας καὶ ὁμονοίας. Ὅτι μία ἐςὶν ἀκρόπολις αὕτη τοῖς πολεμίοις ἀνάλωτος· καὶ ἡ ἀληθὴς πρὸς τὲς ὁμοφύλες φιλία, πάντων πέφυκε τῶν κτημάτων θειότατόν τε καὶ τελεώτερον.

Πλὶω ὅπως χρὴ τὲς ἀπὸ Χριςῦ καλεμένες τῇ φιλίᾳ κεχρῆσθαι, ὁ θεῖος Χρυσόςομος ῥητῶς δίδασι, λέγων, ἕτω δεῖ φιλεῖν τὸν φιλῦντα, ὡς εἰ καὶ τὶω ψυχὶω αὐτῆθείη, καὶ δυνατὸν εἴη, μὴ κωλύσαι· καὶ τί λέγω αὐτῆθῆ; αὐτὸν χρὴ ἐπιτρέχειν τῇ τοιαύτῃ δόσει· ἐδὲν γὰρ ἐδὲν τῆς αὐτῆς ἀγάπης γλυκύτερον γένοιτ' ἄν· ἐδὲν γὰρ ἐκεῖ λυπηρὸν συμπεσεῖται· ὄντως γὰρ φίλος πιςὸς, φάρμακον ζωῆς· ὄντως φίλος πιςὸς, σκέπη κραταιά· τί γὰρ ἂν ἐργάσαιτο φίλος γνήσιος; πόσιω ἂν ἐμποιήσειεν ἡδονιώ; πόσιω ὠφέλειαν; πόσιω ἀσφάλειαν; κἂν μυρίες εἴπῃς θησαυρὲς, ἐδὲν ἄξιον εἴρηκας. Ἀλλ' εἰ βέλεθε πρῶτον εἴπωμεν περὶ τῆς γνησίας φιλίας, καὶ τότε δείξομεν πόσιω ἔχει τὶω ἡδονιώ. Γάννυται ὁρῶν αὐτὸν καὶ διαχεῖται· συμπλέκεται συμ-

„ πλοκὶω

πλοκλὼ αὐτῷ τινὰ κατὰ ψυχλὼ, ἄῤῥητον ἔχεσαν ἡδονλύ· καὶν ἀναμνηθῇ μόνον αὐτὸν, διανέση τῇ διανοίᾳ καὶ ἀνεπλερώθη. Περὶ τῶν Φίλων ταῦτα λέγω τῶν γνησίων, τῶν ὁμοψύχων, τῶν αἱρεμένων καὶ ὑπεραποθανεῖν τῶν θερμῶς φιλέντων· μήμοι τὲς ἁπλῶς φίλες νοῦντες, τὲς κοινωνὲς τῶν τραπεζῶν, καὶ ἀπὸ προσηγορίας φίλες νομίζετε τὸν λόγον ἐκλέγεσθαι· εἴτις ἔχει Φίλον, οἷον ἐγὼ λέγω, ἐπιγνώσεται τὰ ῥήματα· τῦτον καθ' ἑκάστω ἡμέραν καὶν θεωρῇ ἐκ ἐμπίπλατα· ταῦτα αὐτῷ ἐποίχεται, ἅπερ καὶ ἑαυτῷ· οἶδα ἐγὼ τινὰ, ὃς ὑπὲρ φίλε τὲς ἁγίες ἄνδρας παρακαλῶν, παρεκάλει εὔχεσθαι πρότερον ὑπὲρ αὐτῦ, ἢ τότε ὑπὲρ ἑαυτῦ. Τοσῦτον ἐστὶ φίλος ἀγαθὸν, ὡς ἢ τόπον, καὶ χρόνον φιλεῖσθαι δι' αὐτόν· ἐκ οἶν τῷ λόγω παρασῆσαι τινὶ ἡδονὶν, ὅσον οὐτίθησι σωτερία φίλε· μόνοι οἱ πεῖραν ἔχοντες ἴσασι· καὶ χάριν αἰτῆσαι, καὶ χάριν λαβεῖν ἀνυπόπλως παρὰ φίλε οἶν· καὶ ὅταν ἡμῖν ἐπιτάτλωσι, τότε αὐτοῖς χάριν ἴσμεν· ὅταν δὲ ὀκνῶσιν ἀλύομεν· ἁδὲν ἔχειν δοκῦμεν ὧν ἔχομεν, ὅπερ μὴ ἐκείνων εἶναι δοκεῖ· πάντων πολλάκις τῶν ὀνταῦθα καταφρονῦμεν δι' ἐκείνες· δι' αὐτὲς ἁδὲ ἀπελθεῖν ὀντεῦθεν βελόμεθα, καὶ τὰ φωτὸς ἐκείνες ποθεινότερα ἡγέμεθα· καὶ γὰρ ὄντως καὶ αὐτὰ φωτὸς ποθεινότεροι φίλοι. Περὶ τῶν γνησίων λέγω, καὶ μὴ θαυμάσῃς· βέλτιον γὰρ ἡμῖν σβεσθῆναι τὸν ἥλιον, ἢ φίλων ἀποζευχθῆναι· βέλτιον γὰρ ὠ σκότῳ διάγειν, ἢ φίλων εἶναι χωρὶς· καὶ πῶς; ἐγὼ λέγω, καὶ μὴ θαυμάσῃς. Πολλοὶ τὸν ἥλιον ὁρῶντες ἀθυμίας ὠ σκότῳ εἰσὶ, φίλων δ' ἀποροῦντες ἐ δ' ἂν ὠ θλίψει γένοιντο· περὶ φίλων λέγω τῶν πνευματικῶν, τῶν ἁδὲν προτιμώντων φιλίας. Τοιῦτος Παῦλος ἦν, διὸ καὶ ἔλεγε, τὶς ἀσθενεῖ καὶ ἐκ ἀσθενῶ; τὶς σκανδαλίζεται καὶ ἐκ ἐγὼ πυροῦμαι; ἕτω χρὴ φιλεῖν, διαθέσει πεπυρωμένῃ. Ἔχω εἰπεῖν ὅτι καὶ Πατέρας καὶ Υἱὲς ὑπερβαίνεσι φίλοι· ἀλλὰ τίνες οἱ κατὰ Χρισὸν φιλοῦντες; μὴ γάρμοι τῦς νεῶ ἔπῃς, ὅτε μετὰ τῶν ἄλλων καὶ τῦτο ἀπέχη τὸ καλὸν, ἀλλ' ἐνόησον ὅτι ἐπὶ τῶν Ἀποσόλων (ἃ λέγω τὲς κορυφαίες· ἀλλ' αὐτὲς τὲς

τὰς πεπιςδκότας) πάντων λῦ, φησὶν, ἡ ψυχὴ καὶ ἡ καρδία μία· ἐκ λῦ γὰρ τὸ ἐμὸν τότε καὶ τὸ σόν. Τοῦτο ἐςὶ φιλία, ἵνα μὴ τὰ αὐτῆ ἑαυτῆ τις νομίζῃ, ἀλλὰ τῆ πλησίον, τὰ δὲ αὐτῆ, καὶ ἀλλότρια· ἵνα ἅτω φείδηται τῆς ἐκείνε ψυχῆς, ὡς τῆς ἑαυτῆ, κἀκεῖνος ὁμοίως τιλὼ αὐτιλὼ διάθεσιν ἐπιδείκνυται. Καὶ πῶ δυνατὸν, φησὶ, τοιῶτον ὄρεθλῶμαι; ἀ δυνατὸν, ἐπειδὴ μὴ βελόμεθα, ὡς ἔγε ἐβελόμεθα, καὶ σφόδρα δυνατόν· εἰ γὰρ μὴ δυνατὸν λῦ, ἐκ ἂν ἐπέταξεν αὐτὸ ὁ Χριςὸς, ἀδ' ἂν τοσαῦτα περὶ ἀγάπης διελέχθη. Μέγα φιλία, καὶ πόσον μέγα; ἀ δεῖς ἂν δυνατο μαθεῖν, ἀδέ τις παραςῆσαι λόγος, πλὼ τῆς πείρας αὐτῆς. Ὁ φιλῶν ἐκ ἐπιτάττειν βέλεται, ἀδὲ ἄρχειν, ἀλλὰ χάριν ἔχει μᾶλλον ἀρχόμενος· χαρίζεθαι βέλεται μᾶλλον, ἢ χάριν λαμβάνειν· φιλεῖ γὰρ, καὶ ὡς ἐκ ἐμπλήσας αὐτῆ τιλὼ ἐπιθυμίαν ἅτω διάκειται· ἐχ ἅτως εὖ πάσχων τέρπεται, ὡς εὖ ποιῶν· βέλεται γὰρ κατέχειν αὐτὸν μᾶλλον, ἢ ὀφείλειν αὐτῷ· μᾶλλον δὲ καὶ ὀφείλειν αὐτῷ βέλεται, καὶ ὀφειλέτιν αὐτὸν ἔχειν· καὶ βέλεται χαρίζεθαι, καὶ ἀ βέλεται δοκεῖν χαρίζεθαι, ἀλλ' ὀφειλέτιν αὐτὸν εἶναι· καὶ ἄρχειν βέλεται δεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν, ἀλλ' ἀποδιδόναι· ὅπερ καὶ ὁ Θεὸς ἐπὶ Ἀβραάμ, μᾶλλον δ' ἐπὶ πάντων ἀνθρώπων ἐποίησεν. Ἐμελε τὸν Υἱὸν αὐτῆ χαρίζεθαι ὑπὲρ ἡμῶν, καὶ ἵνα μὴ δόξῃ χαρίζεθαι, ἀλλ' ὀφείλειν ἡμῖν, προσέταξε τὸν Ἀβραὰμ δῆναι τὸν Υἱὸν αὐτῆ, ἵνα μέγα ποιῶν μηδὲν δόξῃ μέγα ποιεῖν. Ὅταν μὲν γὰρ μὴ ᾖ φιλία, καὶ ὀνειδίζομεν τὰς δεργεσίας, καὶ τὰς μικρὰς ἐπαίρομεν· ὅταν δὲ φιλία, καὶ κρύπλομεν αὐτὰς, καὶ τὰς μεγάλας μικρὰς βελόμεθα δεικνῦσαι, ἵνα μὴ δόξωμεν ὀφειλέτιν ἔχειν τὸν φιλέμενον, ἀλλ' αὐτοὶ αὐτῷ ὀφειλέται εἶναι, ἢ τῷ ὀφειλέτιν αὐτὸν ἔχειν.

Οἶδα ὅτι ἀδὲ σωίσασιν οἱ πολλοὶ τὸ λεγόμενον· τὸ δ' αἴτιον, ὅτι περὶ πράγματος διαλέγομαι τὸν ἐρανὸν οἰκῆντος νῦ. Ποίαν βέλει παραβαλεῖν ἡδονὴν πρὸς παράθεσιν τῆς ἐξ ἀγάπης; τιλὼ σεμνιλό; τιλὼ αἰσχρόν; ἀλλὰ πάσας ὑπερβάλλει ἡ τῆς φιλίας· καὶ τὶ

„ λέγω ταύτας; κἂν αὐτὴν τὴν τοῦ μέλιτος εἴπης, οὐδὲν
„ καὶ αὕτη πρὸς ταύτην φανεῖται· τὸ μὲν γὰρ μέλι πολ-
„ λάκις καὶ πικρὸν γίνεται, φιλία δὲ οὐδέποτε, ἕως ἂν ᾖ
„ φιλία· ἀλλὰ μᾶλλον αὔξεται ἡ ἐπιθυμία, καὶ κόρον
„ οὐδέποτε ἡ τοιαύτη λαμβάνει ἡδονή. Οὔπω τὸ πρᾶγμα
„ ὅσον ἐστὶν ἀπέδειξα· καὶ τῆς παρούσης ζωῆς ὁ φίλος ἡδύ-
„ τερος· πολλοὶ οὖν μετὰ τὴν τῶν φίλων τελευτὴν, οὐκ
„ ἤυξαντο ζῆσαι ποτέ· μετὰ φίλου, καὶ ὑπερορίαντις ἡ-
„ δέως ἂν ἐνέγκοι· χωρὶς δὲ φίλου, οὐδὲ τὴν αὑτοῦ οἰκῆσαι
„ ἕλοιτο· μετὰ φίλου, καὶ πενία φορητὸν, τούτου δ' ἄνευ
„ καὶ ὑγία καὶ πλοῦτος ἀφόρητον ὁ τοιοῦτος, ὅλον αὐτὸν
„ ἔχειν. Ἀποπνίγομαι ὅτι οὐ δύναμαι ἐκ παραδείγματος
„ εἰπεῖν· ᾗ γὰρ ἂν ἐγνώρισα, ὅτι πολλῷ ἐλάττονα τοῦ δέον-
„ τος τὰ εἰρημένα. Καὶ ταῦτα μὲν ἐνταῦθα, παρὰ δὲ
„ Θεοῦ τοσοῦτος μισθὸς τῆς φιλίας, ὅσος οὐδὲ ἔστιν εἰπεῖν·
„ φίλει γάρ φησι, καὶ λάβε μισθὸν, ὑπὲρ οὗ μισθὸν ὀφεί-
„ λομεν πράγματος.

Εἶδες κανόνα φιλίας ἀληθοῦς, πᾶσι τοῖς τούτῳ χρω-
μένοις σωτήριον; ὅμως οὐδεὶς δύναται ἄχρι τέλους ἀῤῥα-
γῆ φυλάξαι φιλίαν ἂν μὴ καὶ τὴν μακροθυμίαν ταύτῃ
συζεύξῃ· καὶ δι' ὅλου σύνοικον κτήσηται· ἀγχίθυροι
γάρ πως αἱ ἀρεταὶ αὗται, καὶ οἷά τις ξυνωρὶς ἀδιάστα-
τος, εἰς ἔντι καὶ εὐπρεπὲς, καὶ τελειότατον κάλλος
τῆς εἰς Θεὸν εὐσεβείας, τὸν ἠνιοχεῖν ἄριστα μεμελετηκό-
„ τα διακομίζουσιν· „ ὅθεν πῇ μὲν, φησὶν, ὁ θειότατος
„ Παῦλος ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη
„ οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ
„ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κα-
„ κὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ·
„ πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα
„ ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. πῇ δὲ πάλιν
ὁ αὐτὸς, ὁ τὴν γλῶτταν χρυσοῦς, τὸν μακρόθυμον ἐπαι-
„ νῶν, ῥητῶς οὕτω τίθησιν· „ ἀλλ' ἡ τούτου ψυχὴ κορυφῇ
„ τινὶ ἔοικεν ἢ ὄρει, λεπτὴν μὲν ἔχοντι τὴν αὖραν, καθα-
„ ρὰν δὲ τὴν ἀκτῖνα δεχομένῳ, διειδῆ δὲ τὰ νάματα προ-

„ χέοντι

χέοντι τῶν πηγῶν, καὶ πολλὰς τῶν ἀνθέων προβαλλομέ- "
νῳ τὰς χάριτας, τῶν ἐαρινῶν ὁμοίας λειμώνων τε καὶ "
παραδείσων, καὶ φυτοῖς καὶ ἄνθεσι κομώντων, καὶ κα- "
ταῤῥύτοις ὕδασιν· εἴτις δὴ καὶ ἠχὴ γένοιτο λιγυρὰ, καὶ "
πολλὴν καταχέσασα τῶν ἀκουόντων τὴν ἡδονήν· ἢ γὰρ "
ὄρνιθες ᾠδικοὶ ἄκροις τῶν δένδρων ἐφιζάνουσι τοῖς πετά- "
λοις, καὶ τέττιγες, καὶ ἀηδόνες, καὶ χελιδόνες συμφώ- "
νως μίαν τινὰ ἀποτελοῦσι μουσικὴν, ἢ ζέφυρος ἠρέμα τοῖς "
πετάλοις τῶν δένδρων προσπίπτων, πίτυς καὶ πεύκας συ- "
ριζούσας, καὶ κύκνος πολλάκις μιμεῖται, ἢ λειμὼν ῥόδα "
προβάλλων καὶ κρίνα ἀλλήλοις προσκεκλικότα, καὶ κυα- "
νίζοντα καθάπερ πέλαγος κυανοῦν, ἠρέμα κυματέμενον "
δείκνυσι· μᾶλλον δὲ πολλὰς εἰκόνας εὕροι τις ἄν· ὅταν "
μὲν γὰρ εἰς τὰ ῥόδα τις ἀποβλέψῃ, τὴν ἴριν οἰήσεται "
καθορᾶν· ὅταν δὲ εἰς τὰ ἴα, θάλασσαν κυματεμένην· "
ὅταν δὲ εἰς τὰ κρίνα, τὸν οὐρανόν· ὃ τῇ θέᾳ δὲ μόνον, "
οὐδὲ τῇ ὄψει τέρπει ὁ τοιοῦτος, ἀλλὰ καὶ τὸ σῶμα αὐτὸ "
τοῦ πρὸς τὸν λειμῶνα ὁρῶντος ἐκεῖνον, μᾶλλον ἀνίησί τε "
καὶ ἀναπνεῖν ποιεῖ, ὥστε νομίζειν αὐ οὐρανῷ μᾶλλον εἶναι, "
ἢ ἐπὶ γῆς. Ἔστι καὶ ἑτέρα τις ἠχὴ, ὅταν ὕδωρ ἀπὸ τῆς "
ἀκρωρείας διὰ χαραδρῶν αὐτομάτως φερόμενον, καὶ "
ταῖς ὑποκειμέναις ψηφῖσιν ἠρέμα ἐπιψοφῶν ἡσύχως κτύ- "
πῳ, ὅτως ἐκλύῃ τὰ μέλη ἡμῶν τῇ ἡδονῇ, ὥστε καὶ τα- "
χέως τὸν λυσιμελῆ τοῖς ὀφθαλμοῖς ὕπνον ἐπάγειν. "

Ἡδέως ἠκούσατε τοῦ διηγήματος, τάχα δὲ καὶ ἐρα- "
σαὶ γεγόνασε ἐρημίας· ἡδίων πολλῷ τοῦ μακροθύμου ἡ ψυ- "
χή. Οὐ γὰρ ἵνα λειμῶνα ὑπογράψωμεν, οὐδ' ἵνα πρὸς "
ἐπίδειξιν τὸν λόγον ἀγάγωμεν, ταύτης ἡψάμεθα τῆς "
εἰκόνος, ἀλλ' ἵνα δι' ὑπογραφῆς ἰδόντες ὅση τῶν μακρο- "
θύμων ἡ ἡδονὴ, καὶ ὅτι πολλῷ ἀνδρὶ μακροθύμῳ συγγε- "
νόμενος ἄντις καὶ ἥδοιτο καὶ ὠφελοῖτο, ἢ τοιούτοις ὁμι- "
λήσας χωρίοις, τέτευ μεταδιώκητε. Ὅταν γὰρ μὴ "
πνεῦμα σφοδρὸν ἀπὸ ταύτης ἐξέρχηται τῆς ψυχῆς, "
ἀλλ' ἥμεροί τινες λόγοι καὶ προσιωεῖς, καὶ ὄντως ἐκεῖνο τὸ "
τοῦ ζεφύρου εἰκονίζοντες ἤρεμον, καὶ παραινέσεις ἡδὺ μὲν "

„ ἔχουσαι σύφον, τὰς δὲ ᾠδικὰς ὄρνιθας μιμούμεναι, πῶς ἂ
„ τοῦτο βέλτιον; ἀ γὰρ σώματι προσπίπτει τῷ λόγῳ ἡ
„ αὔρα, ἀλλὰ ψυχαῖς ἀνίησι, καὶ ὁμολογουμένως· ἐᾶν γὰρ
„ ἅτω λυμαίνεται τὸ τῶν ἀνθρώπων γένος, ὡς τὸ φιλίας
„ καταφρονεῖν· ὥσπερ ἐᾶν πάλιν ὀρθοῖ, ὡς τὸ μεταδιώ-
„ κειν αὐτλύ. Τοῦτο καινὸν τῷ χριστιανισμῷ τὸ τελειοτά-
„ τε· τοῦτο ὅρος ἠκριβωμένος· αὕτη ἡ κορυφὴ ἡ ἀνωτάτω,
„ τὸ τὰ κοινῇ συμφέροντα ζητεῖν· ἐᾶν γὰρ ἅτω διώκαται
„ ποιῆσαι μιμητὰς Χριστοῦ, ὡς τὸ φιλεῖν τὸν πλησίον. Μὴ
„ ἓν ζήτει τὸ σὸν, ἵν' εὕροις τὸ σόν· ὁ γὰρ ζητῶν τὸ ἑαυ-
„ τοῦ, ἐχ ὑρίσκει τὸ ἑαυτοῦ· τὸ γὰρ οἰκεῖον συμφέρον, ἐν
„ τῷ συμφέροντι κεῖται τοῦ πλησίον, καὶ τὸ ἐκείνε πάλιν
„ ἐν τούτῳ· μηδὲ ἀλλάξῃς τιὼ τοῦ ἀδελφοῦσε ἀγάπιν,
„ ἀγάπης τινὸς τῶν πραγμάτων, διότι τὸ πάντων τιμιώ-
„ τερον ἔνδοθεν κέκτηται· βέλτιον πολλὰ χρήματα ἀπο-
„ λέσαντα ἕνα φίλον κτήσασθαι, ἢ ἕνα φίλον ἀπολέσαντα
„ πολλὰ χρήματα κτήσασθαι. Ἐπηνέσατε τὰ εἰρημένα;
ἐθαυμάσατε τὸν Χρυσόστομον τῆς σοφίας, τῆς σωφήκης,
τῆς συμφωνίας; χάρις ὑμῖν γένοιτο πρὸς Θεὸν, καὶ ζῆ-
λος, καὶ διέγερσις ἐπὶ τὰ καλά· ἀλλὰ μὴ μέχρι ῥημά-
των ὁ ἔπαινος, καὶ διανοίας τὸ θαῦμα, ἀλλὰ καὶ ἔργοις
σπεδάσατε πρὸς πάντας ἕναι μακρόθυμοι, καὶ πάντας
ἔχειν φίλες, ἵνα καὶ ζῶντες ἐπαινέτας ἔχητε πάντας,
καὶ μετασάντες τῶν τῇδε, ἀθάνατον καρπώσησθε ὠ-
φημίαν, καὶ τῶν ἀκηράτων ἀγαθῶν ἐν Χριστῷ ἀπολαύη-
τε· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ, ᾧ πρέ-
πει πᾶσα δόξα, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, εἰς
τὲς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Ζ.

ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΤΡΙΑΔΟΣ, ΕΝ ΤΩ ΑΥΤΩ ΡΗΘΕΙΣ ΠΑΛΑΤΙΩ.

Χρήσεσι πλείσαις ἁγίων σαφέστατα παριστῶν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον προσωπικῶς ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται.

Ἆρα τὰς ἐν τοῖς φθάσασι λόγοις ῥηθείσας πρὸς ὑμᾶς ὑποσχέσεις, ἀνεπιλήστους κατέχετε; ἢ δεῖσθε τινὸς περὶ αὐτῶν ὑπομνήσεως; οὐκ ἔγωγε οἶμαι ταχέως οὕτως ὑμᾶς τῶν ἀκουσθέντων ἐπιλήσμονας γίνεσθε· πλὴν ἐπεὶ καὶ πολλοὶ πάρεισι νῦν, οἱ τότε μὴ παρῆσαν, καί τινες αὐτῶν ἐπελάθοντο ἴσως, οὐδὲν κωλύει συντόμως ὑπομνῆσαι περὶ αὐτῶν· ἡ γὰρ τῶν ῥηθέντων ἐπανάληψις, πᾶσιν ἔσται χρησίμη, τοῖς μὲν ἀκούσασιν ὑπόμνησις γινομένη, τοῖς δὲ νῦν πρῶτον ἀκούουσι παρασκευὴ πρὸς τὰ ῥηθησόμενα. Ὑπεσχόμεθα τοίνυν ἐν τοῖς τῶν λόγων προοιμίοις τοτηνικαῦτα, πρῶτον μὲν τὰς τῆς παρεκτροπῆς αἰτίας δηλώσειν, ἔπειτα δὲ καὶ εἰ ὀρθόδοξος αὕτη ἡ ἡμετέρα περὶ τοῦ ἁγίου Πνεύματος δόξα, ἢ μὴ, διαῤῥήδην ἐκ τῶν λόγων ἀποδεῖξαι τοῦ Πνεύματος· καὶ τούτων αἰτίαν, ὡς ἀναγκαίαν εὐθὺς ἐπηγάγομεν, ὡς ἂν καὶ τὴν εὐσέβειαν ὁποία τὶς ἐστὶ γνῶμεν εἰπόντες, καὶ τὰς παρεκτροπὰς ταύτης, ὡς οἷόν τε ἀποδράσωμεν. Ἀλλὰ τίνες μὲν αἱ τῆς παρεκτροπῆς αἰτίαι, ὅτι τὸ τῆς τοῦ Πνεύματος προόδου διάφορον ἀδιαφόρως νοούμενον, τῶν τε συλλογισμῶν ἡ εἰς τὰ θεῖα λόγια παρείσακτος ἐπεισαγω-

γὴ, πρὸς δὲ καὶ τὸ ἐκ τῆς ἐσίας λέγεσθαι τῷ Υἱῷ τὸ Πνεῦμα, ἀντὶ τῷ ἐκ τῆς ὑποστάσεως αὐτῷ τισὶν ἐκλαμβάνεσθαι, καὶ ἔτι πῶς δεῖ ταύτας φυλάττεσθαι, ἱκανῶς αἱ ῥηθεῖσαι πρὸς ὑμᾶς ὁμιλίαι παρέσησαν· νυνὶ δὲ χρεὼν, καὶ εἰ ὀρθόδοξος αὕτη ἡ ἡμετέρα περὶ τῆς τῷ ἁγίῳ Πνεύματος ἐκπορεύσεως δόξα, ἢ σαθρὰ τυχὸν καὶ διεψευσμένη· καὶ τὶς ὁ τῆς ὀρθῆς πίστεως φύλαξ, δι' ἀξιοπίστων μαρτύρων παρασῆσαι καὶ βεβαιώσασθαι. Οἶμαι δὲ πιστὰς ὄντας ὑμᾶς, καὶ ὀρθοδόξοις λόγοις ἀντεθραμμένους, ἐκ ἄλλοθεν βέλεσθαι, ἢ πρὸς τῶν τῷ ὀρθῷ λόγῳ καὶ τῆς ἀληθείας ὑπηρετῶν τὰ τοιαῦτα πιστεῦσθαι, ὅπερ ἀεὶ καὶ ἐν τοῖς ἄλλοις ἅπασι, καὶ νυῦ ἐχ ἥκιστα ποιητέον. Σιυνήθες γὰρ ἐν τοῖς τοιούτοις καὶ ὠφελὲς, μηδένα ἐξ αὐτῷ καὶ τῆς ἰδίας κοιλίας, ὃ λέγεται, τολμᾶν τὰ θεῖα δόγματα σωιζᾶν· ἄπιστον γὰρ τοῦτο καὶ ἐπικίνδιωνον καὶ ἀβέβαιον· ἀλλ' ἐκ τῶν τῷ Πνεύματος καὶ τῶν αὐτῷ ἁγίων λαμβάνοντα, περὶ τῷ Πνεύματος διδάσκειν καὶ μαρτυρεῖν, διὰ τὸ βέβαιον καὶ ἄπλαιτον καὶ πιστόν.

Καὶ δήμοι πρῶτος μὲν ὁ ὁμολογητὴς Μάξιμος ὁμολογήσων τῇ ἀληθείᾳ εἰσίτω· ὃς ἐν τῇ πρὸς Μαρῖνον πρεσβύτερον Κύπρε ἐπιστολῇ, ἧς ἡ ἀρχὴ, νόμῳ θείῳ κατὰ Θεὸν, τάδε φησὶ, „τῶν τῷ νῦν ἁγιωτάτε Πάπα „ σιωδικῶν ἐκ ἐν τοσούτοις ὅσοις γεγράφατε κεφαλαίοις, „ οἱ τῆς βασιλίδος τῶν πόλεων ἐπελάβοντο, δυσὶ δὲ μόνοις· ὧν τὸ μὲν ὑπάρχει περὶ θεολογίας, ὅτι περ εἶπεν „ ἐκπορεύεσθαι, καὶ ἐκ τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ „ δὲ περὶ τῆς θείας σαρκώσεως, ὅτιπερ γέγραφε, μὴ δίχα „ τὸν Κύριον εἶναι τῆς προπατορικῆς ἁμαρτίας, ὡς ἄνθρωπον· καὶ τῷ μὲν πρώτῳ συμφώνως παρήγαγον χρήσεις „ Ῥωμαίων Πατέρων, ἢ Κυρίλλε Ἀλεξανδρείας ἐκ τῆς πο„ νηθείσης αὐτῷ πραγματείας εἰς τὸν ἅγιον Ἰωάννιν τὸν „ Εὐαγγελιστὴν, ἐξ ὧν ἐκ αἰτίαν τὸν Υἱὸν ποιοῦντας τῆς „ τῷ ἁγίῳ Πνεύματος ἐκπορεύσεως, σφᾶς αὐτὸς ἀπέδει„ ξαν· μίαν γὰρ ἴσασι τῷ Υἱῷ καὶ τῷ Πνεύματος τὸν Πα„ τέρα αἰτίαν· τῷ μὲν κατὰ τὴν γέννησιν, τῷ δὲ κατὰ

„ τὴν

τὴν ἐκπόρευσιν· ἀλλ' ἵνα τὸ δι' αὐτοῦ προϊέναι δηλώσωσι, "
καὶ ταύτῃ τὸ συμφυὲς τῆς οὐσίας καὶ ἀπαράλλακτον πα- "
ραστήσωσι. Δεύτερος δὲ ὁ πρότερον μὲν τῆς μεγαλοπό- "
λεως ταύτης ἔπαρχος ἀληθὴς, ὕστερον δὲ κανὼν τῆς
ἀσκήσεως ἀκριβὴς ὁ μακάριος Νεῖλος, ἐν τῷ περὶ Τριά-
δος αὐτοῦ λόγῳ, ἴτω σὺν τούτῳ τὸ Πνεῦμα οὕτω θεολογή-
σων. „Ἡ ἁγία καὶ καθολικὴ ἐκκλησία, τὸν μὲν Πατέ- "
ρα δογματίζει ἀγέννητον, τὸν δὲ Υἱὸν γεννητὸν ἐκ τοῦ Πα- "
τρὸς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκπορευτὸν, καὶ αὐτὸ ἐκ "
μόνου τοῦ Πατρὸς, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ. Ὡς ὑπερ- "
φυῶς Πάτερ ἔλυσας τοὺς τῶν τινῶν ἐλέγχους, ἐκ τοῦ Πα-
τρὸς μόνου, ἀλλ' οὐχὶ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα θεολο-
γήσας! Ἀλλ' οὗτος μὲν ἕλλην ὤν, ἕλλησιν ἴσως ὑποπτευ-
θείη συνηγορῶν· καίτοι πρὸ πεντακοσίων ἐτῶν τοῦ σχίσ-
ματος, ταῦτα ἐκθέμενος οὕτωσί· τοίνυν καί τις ῥωμαίων
παρίτω δήπου τούτῳ συμμαρτυρήσων· ποῖος οὗτος; ὁ ἱε-
ρὸς Ἱερώνυμος, ἐν τῇ πρὸς τὸν θεῖον Δάμασον, οὕτως
ἐπάγων, ἐπιστολῇ. „πιστεύομεν καὶ εἰς τὸ Πνεῦμα τὸ "
ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται ἰδίως καὶ ἀλη- "
θῶς. Σὺν τούτοις μάρτυς ἀξιόχρεως ὁ σοφὸς Ἰουστῖνος, "
ὁ τῷ μαρτυρικῷ στεφάνῳ κεκοσμημένος, ὃς μάλα σαφῶς
ἀποφαίνεται, ὅτι ὡς ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, οὕτω καὶ τὸ
Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ Πατρὸς ἐκπορεύεται ἰδίως
καὶ ἀληθῶς, πλὴν τοῦ τρόπου τῆς ὑπάρξεως. „ὁ μὲν "
γὰρ γεννητῶς ἐκ φωτὸς ἐξέλαμψε, τὸ δὲ φῶς μὲν ἐκ "
φωτὸς καὶ αὐτὸ, οὐμὴν γεννητῶς, ἀλλ' ἐκπορευτῶς. Καὶ "
ὁ θεῖος δὲ Μητροφάνης, καὶ ὁ Στουδίτης Θεόδωρος, τῇ
τοῦ Χριστοῦ ἐκκλησίᾳ ἐκδεδώκασι μελωδεῖν· „ὁ μὲν, μόνον "
πατρόθεν, ὡς ἐκ νοῦ γεγεννημένον τὸν λόγον, καὶ τὸ "
Πνεῦμα προελθὸν ἀποῤῥήτως, καταλλήλοις λογισμοῖς "
καὶ γραφικοῖς διδάγμασι κατειληφότες, ἕνα Θεὸν τρισή- "
λιον σέβομεν· ὁ δὲ, μόνου μονογεννήτωρ μονογεννοῦς Υἱοῦ "
Πατήρ· καὶ μόνε μόνου φῶς φωτὸς ἀπαύγασμα· καὶ "
μόνον μόνως μόνου Θεοῦ ἅγιον Πνεῦμα.

Καὶ οὗτοι μὲν ταῦτα καὶ συνῳδὰ ἀποφαίνονται· τὸν δὲ Δαμασκόθεν Ἰωάννην, τὸν τῶν πολλῶν μεταγενέστερον

„ θεολόγον, τὶς ἂν ἐκὼν παραδραμεῖν ἐθελήσειεν; ὃς καὶ
„ ἀρχόμενος τῆς αὐτῆ θεολογίας, ἐρῶ δὲ ἐμὸν μὲν, ἔφη,
„ ἐδάν· τὰ δὲ τοῖς ἐγκρίτοις τῶν διδασκάλων πεπονημένα
„ εἰς ἃ συλλεξάμενος, ὅση δυάμις σωτετμημένον τὸν λόγον
„ ποιήσομαι· ταῦτα δὲ φησὶν ἵνα γνῶμεν ὅτι ὅσα ἐκεῖνος
λέγει, οἱ θεολόγοι πάντες λέγεσιν· ἔτος ἦν ἐν τῷ λόγῳ
αὐτῆ, τῷ εἰς τὸν Θεόσωμον τῆ Κυρίε ταφὸν, τοιάδε
„ φησί· „ τῆτο ἡμῖν τὸ λατρευόμενον· Πατὴρ Υἱῆ γεννή-
„ τως ἀγένητος, ἐ γὰρ ἔκτινος· Υἱὸς τῆ Πατρὸς γέννη-
„ μα, ὡς ἐξ αὐτῆ γεγεννημένος· Πνεῦμα ἅγιον τῆ Θεῆ
„ καὶ Πατρὸς, ὡς ἐξ αὐτῆ ἐκπορευόμενον· ὅπερ καὶ τῆ
„ Υἱῆ μὲν λέγεται, ὡς δι' αὐτῆ φανερόμενον, καὶ τῇ κτί-
„ σει μεταδιδόμενον, ἀλλ' ἐκ ἐξ αὐτῆ ἔχον τὸν ὕπαρξιν.
„ Καὶ ἐν τῇ πρὸς Ἰορδάνιν μονάζοντα ἐπιστολῇ· ἡμῖν εἷς
„ Θεὸς, λέγει, ὁ Πατὴρ καὶ ὁ Λόγος αὐτῆ καὶ τὸ Πνεῦ-
„ μα αὐτῆ. Λόγος δὲ ἀνυπόστατον γέννημα, διὸ καὶ Υἱός·
„ καὶ Πνεῦμα ἀνυπόστατον ἐκπόρευμα καὶ πρόβλημα, δι'
„ Υἱῆ δὲ, καὶ ἐκ ἐξ Υἱῆ· ὡς Πνεῦμα ςόματος Θεῆ λόγε
ἐξαγγελτικόν. Καὶ ἐν τῷ ὀγδόῳ Κεφαλαίῳ τῶν αὐτῆ
„ δογματικῶν· „ τὸ Πνεῦμα τὸ ἅγιον λέγομεν Πνεῦμα τῆ
„ Πατρός, ὡς ἐκ τῆ Πατρὸς ἐκπορευόμενον· ἐδεμία γὰρ
„ ὁρμὴ ἀνὰ Πνεύματος· καὶ Υἱῆ Πνεῦμα, ἐχ ὡς ἐξ αὐ-
„ τῆ, ἀλλ' ὡς δι' αὐτῆ ἐκ τῆ Πατρὸς ἐκπορευόμενον· μό-
„ νος γὰρ αἴτιος ὁ Πατήρ· ὡσαύτως καὶ ἐν τῷ ιδ'. χρὴ
„ γινώσκειν, φησὶν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐκ τῆ
„ Πατρὸς λέγομεν, καὶ Πνεῦμα Πατρὸς ὀνομάζομεν, ἐκ
„ τῆ Υἱῆ δὲ τὸ Πνεῦμα ἐ λέγομεν· καὶ πάλιν ἐν τῷ αὐ-
„ τῷ, ὅσα ἁρμόζει αἰτίῳ, πηγῇ, γεννήτορι, τῷ Πατρὶ
„ μόνῳ προσαρμοτέον, ὅσα δὲ αἰτιατῷ, Υἱῷ, λόγῳ, τῷ
Υἱῷ. Ἄκρε καὶ τῆ Νύσσης Γρηγορίε, ἐν τῷ περὶ θεω-
„ νυμίας λόγῳ, „ τὰ τῆ ἀνθρώπε, φησὶ, πάντα πρόσω-
„ πα, ἐκ ἀπὸ τῆ αὐτῆ προσώπε κατὰ τὸ προσεχὲς ἔχει
„ τὸ εἶναι, ὡς πολλὰ καὶ διάφορα εἶναι πρὸς τοῖς αἰτια-
„ τοῖς καὶ τὰ αἴτια, ἐπὶ δὲ τῆς ἁγίας Τριάδος ἐχ ἕτως·
„ ἓν γὰρ πρόσωπον καὶ τὸ αὐτὸ τῆ Πατρὸς, ἐξ ἧπερ ὁ
„ Υἱὸς γεννᾶται καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται·

„ δι' ὅπερ

διὸ ὅπερ κυρίως καὶ τὸν υἱὸν αἴτιον μετὰ τῶν ἐξ αὐτοῦ αἰτιατῶν, υἱὸν Θεὸν φαμὲν τεθαρρηκότες. Πρὸς δὲ καὶ τῷ περὶ θεογνωσίας ὁ αὐτὸς λόγῳ, Πνεῦμα λέγει τὸ τῆς Πατρικῆς ἐκπορευόμενον ὑποστάσεως· τοῦτο γὰρ ἕνεκα καὶ Πνεῦμα σώματος, ἀλλ' ἐχὶ καὶ λόγον σώματος ὁ Δαβὶδ εἴρηκεν, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πατρὶ μόνῳ προσοῦσαν πιστώσηται· τί ταύτης τῆς θεολογικῆς μαρτυρίας σαφέστερον, πρὸς τὴν προκειμένην ἡμῖν ὑπόθεσιν γένοιτ' ἄν;

Καὶ ὁ μακαρίτης δὲ Θεοδώρητος Κύρε, ὃν διδάσκαλον ἡ τρίτη τῶν συνόδων ἐκύρηξεν, ἀκούσας τοῦ θείου Κυρίλλου ποτὲ, ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Νεστορίου αὐτῷ ἀνάτε ἀναθεματισμοῦ λέγοντος „ ὡς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, πάντα ὑπάρχει ὅσα καὶ ὁ Πατὴρ, καὶ ἴδιον ἔχει τὸ ἐξ αὐτοῦ καὶ ἐσιωδῶς ἐμπεφυκὸς αὐτῷ ἅγιον Πνεῦμα, ταύτης ἐπιλαβόμενος τῆς φωνῆς, εἰ μὲν ὡς ὁμοφυὲς, ἔφη, τῷ Υἱῷ, τοῦ δὲ Πατρὸς ἐκπορευόμενον, λέγεις τὸ Πνεῦμα; συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν· εἰ δ' ὡς ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο καὶ δυσεβὲς ἀποῤῥίψομεν· πιστεύομεν γὰρ τῷ κυρίῳ λέγοντι, τὸ Πνεῦμα, ὃ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· καὶ τῷ θειοτάτῳ δὲ Παύλῳ ὁμοίως φάσκοντι, ἡμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. Εἴ δέ τις λέγει, ὡς ἀνεθεματίσθη τὰ κατὰ τοῦ θείου Κυρίλλου γραφέντα πάντα Κεφάλαια παρὰ τῆς πέμπτης Συνόδου, μεμνήσθω, ὡς οὐχὶ καὶ ἡ πρὸς ταῦτα τότε ἀπολογία ὠβελίσθη ποσῶς, σέσεγται δὲ ὡς ὀρθόδοξος· ἐπεὶ πρὸς ταῦτα δυχεράναντα τὸν μέγαν Κύριλλον, οὕτως καὶ φάναι καὶ γράψαι γέγραπται, „ μὴ λέγειν ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐκ μὲν τοῦ Πατρὸς ἐκπορεύεσθαι, εἶναι δὲ τοῦ Υἱοῦ ἐκ ἀλλοτρίου, κατὰ τὸν τῆς οὐσίας λόγον.

Ἀλλ' ἐπὶ πλεῖον συρίξων τὰ ἡμέτερα, καὶ ὁ ἁγιώτατος Πάπας Δάμασος παρελθέτω εἰς μέσον· ὃς σὺν

τῇ πρὸς Παυλῖνον Θισσαλονικέα ἐπιστολῇ, οὕτω τίθησιν·
„ „ εἴ τις μὴ εἴποι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι
„ ἀληθῶς καὶ κυρίως, ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς θείας οὐ-
„ σίας, καὶ Θεοῦ Θεὸν λόγον, ἀνάθεμα ἔστω· τὶ δέ τις ἂν
φαίη πρὸς τὸ τοῦ θείου Κυρίλλου, ὅπερ σαφῶς ἐν τῷ περὶ
„ Τριάδος αὐτοῦ λόγῳ διέξεισιν; „ αἱ προσκυνηταὶ τρεῖς
„ ὑποστάσεις, λέγων, γινώσκονται καὶ πιστεύονται, ἐν Πα-
„ τρὶ ἀνάρχῳ, καὶ ἐν Υἱῷ μονογεννεῖ, καὶ ἐν Πνεύματι
„ ἁγίῳ τῷ ἐκπορευομένῳ ἐκ τοῦ Πατρός· οὐ γεννητῶς, κα-
„ θάπερ ὁ Υἱὸς, ἀλλ' ἐκπορευομένῳ, καθάπερ εἴρηται, ἐκ
„ μόνου τοῦ Πατρὸς, ὡς ἀπὸ στόματος, πεφηνότος δὲ διὰ
„ τοῦ Υἱοῦ, καὶ λαλήσαντος ἐν τοῖς ἁγίοις πᾶσι Προφήταις
„ τε καὶ Ἀποστόλοις. Καὶ πάλιν οὐχ ὥσπερ ὁ Υἱὸς ἀπὸ τοῦ
„ Πατρὸς γεννητῶς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ
„ Υἱοῦ ἐκπορευτῶς· ἄπαγε τῆς βλασφημίας καὶ τῆς πο-
„ λυθείας· εἷς γὰρ παρ' ἡμῖν ἀμφοῖν τοῖν προσώποιν αἴτιος
„ ὁ Πατήρ. Ὦ μακαρίζωσε θεῖε Κύριλλε τῆς φωνῆς! ὡς
ἀπήλλαξας ἡμᾶς πραγμάτων! καὶ τὸ λέγειν ἐκπορεύε-
σθαι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα καθ' ὕπαρξιν, πολυθέων
δόγμα ἀποκαλεῖς. Καὶ οἱ τῆς ἑώας δὲ, διὰ Θεοδωρίτου,
πρὸς Ἰωάννην τὸν Ἀντιοχείας πέμποντες, καὶ περὶ τῶν
λεχθέντων καὶ γραφέντων ἐν τῇ τρίτῃ Συνόδῳ τῷ προῤ-
ῥηθέντι φωστῆρι ἀπολογούμενοι, οὕτω γράφουσι κατὰ λέ-
„ ξιν· „ ἐν κοινῷ ἀναγνόντες τὰ αἰγύπτια γράμματα, καὶ
„ ἐξετάσαντες αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὕρομεν σύμ-
„ φωνα τοῖς εἰρημένοις, τὰ ἐκεῖθεν ἀπεσταλμένα· τῇ γὰρ
„ εὐαγγελικῇ εὐγενείᾳ καλλύνεται· καὶ Θεὸς τέλειος, καὶ
„ ἄνθρωπος τέλειος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν αὐτοῖς
„ ἀναγορεύεται· καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἐξ Υἱοῦ, ἢ
„ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον· ἀλλ' ἐκ τοῦ Πατρὸς μὲν ἐκπο-
„ ρευόμενον, ἴδιον δὲ τοῦ Υἱοῦ, ὡς ὁμοούσιον ὀνομαζόμενον.
„ Ταύτην τοίνυν τὴν ὀρθότητα ἐν τοῖς γράμμασι θεασά-
„ μενοι, ὑμνήσαμεν τὸν τὰς ψελλιζούσας γλώσσας ἰατρεύ-
„ σαντα, καὶ τὸν ἀπηχῆ φθόγγων, εἰς ἡδείαν ἁρμονίαν
„ μεταῤῥυθμίζοντα.

Σὺ

Σὺ δὲ καὶ τὸ γράψαι μὲν τὸν δυσεβῆ Νεζόριον ἐν τῷ ἰδίῳ συμβόλῳ, πιστεύειν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἀλλ' ἐχὶ καὶ ἐκ τοῦ Υἱοῦ, τιὼ τε τρίτιω Συνόδων ἀποδέξασθαι τὸ δόγμα, καὶ ὅλως ἐν τούτῳ μὴ ἀντειπεῖν, ἰχυρότατον καὶ ἀκραιφνέσατον τῆς καθ' ἡμᾶς ὀρθοδοξίας τὸ γνώρισμα κέκτησο· ἔθος γὰρ κεκρατηκότος πόρρωθεν, ἐν ταῖς οἰκουμενικαῖς τῶν Συνόδων, τὰ μὲν ὑγιᾶ τῶν δογμάτων ἀκίνητα ἐᾶν, τὰ δὲ μὴ ἔτως ἔχοντα πάντα ἐξελέγχειν, καὶ γραφικαῖς ἀνάγκαις, καὶ δημοσίαις ἀποκηρύξεσι, καὶ τοῖς ἄλλοις ἐπιτιμίοις, πῶς ἐχ ὑπέρδεινον τιὼ μακαρίαν ταύτιω Σύνοδον, πάντα μὲν μετὰ τοῦ προσήκοντος ὁρίσαι χήματος, τὸν δὲ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος λόγον, πρὸς Νεζόριον διαστραφέντα, σιγῇ παρελθεῖν; πῶς δὲ καὶ ἀμφότερα Νεζορίου λέγοντος, ὅτι τε ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκ ἔχει τιὼ ὕπαρξιν, καὶ ὅτι ὁ Χριστὸς ψιλὸς ἄνθρωπος, σωῆλθον μὲν ἐπὶ τῷ ἁγίῳ, ἐπὶ τῷ ἑτέρῳ δὲ ὃ σωῆλθον; ἢ ὧδί μὲν ἐμίσειν τὸ ψεῦδος, ὧδί δὲ ἀπεδέχοντο; καὶ ταῦτα τοῦ θείου Κυρίλλου ἐν τοῖς δώδεκα ἀναθεματισμοῖς ἀκριβῶς ἐκθεμένου πάντα κατὰ λέξιν, δι' ὧν Νεζόριος ἐξωστράκισαι; εἰ δὲ μήτε διδάσκοντες Νεζόριον, μητ' αὐτὸν κρίνοντες, μήτε κατ' αὐτοῦ ψηφιζόμενοι, μήτε τοῦτον, ὡς φίλον ἀνακαλέμενοι, φαίνονται μηδὲν ἐκείνῳ περὶ θεολογίας μεμφόμενοι, πῶς ἐσὶ δίκαιον τιὼ ἐναντίαν τῶν Πατέρων ἰσίαν, ὧν ἡ γνώμη κέκριται ψῆφος εἶναι Θεοῦ; εἰ γὰρ ἀναθέματος ἄξιον τὸ δοξάζειν, μὴ ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τί τὸν τοῦτο λέγοντα Νεζόριον, ἐκ ἀπήτησαν ἡ Σύνοδος ἀναθεματίσαι, κατὰ μέρος ἐκθεμένη ἅπερ ἐκεῖνον ἀναθεματίσαι ἐχρῆν;

Ἄξιον δὲ μηδὲ τὸν τιὼ γλῶτταν χρυσῆν Ἰωάννιω τῷ λόγῳ παραδραμεῖν, ὃς ἐν μὲν τῷ πρώτῳ τῶν περὶ ἀκαταλήπτου φησὶν „ὅτι μὲν ἀπανταχοῦ ἐσὶν ὁ Θεὸς οἶδα, τὸ δὲ πῶς, ἐκ οἶδα· οἶδα ὅτι Υἱὸν ἐγέννησε, τὸ δὲ πῶς, ἀγνοῶ· οἶδα ὅτι τὸ Πνεῦμα ἐξ αὐτοῦ, τὸ δὲ πῶς ἐξ αὐτοῦ,

„ αὐτῦ, ἐδαμῶς ἐπίσταμαι. Ἐν δὲ τῇ ή. καὶ ξ'. Ὁμιλίᾳ
„ τῦ κατὰ Ἰωάννην Εὐαγγελίε γράφει· καὶ γὰρ πάντα
„ τὰ τῦ Πατρὸς τῦ Υἱῦ ἐστί· καὶ τὰ τῦ Υἱῦ τῦ Πνεύμα-
τος. Καὶ ὁ μακάριος Αὐγεστῖνος, ἐν τῷ δ'. τῦ δευτέρε
„ περὶ Τριάδος, „ δῆλον ἐστὶν ὡς πάντα ὅσα ἔχει ὁ Πατὴρ,
„ ἐ μόνε τῦ Υἱῦ, ἀλλὰ καὶ τῦ ἁγίε Πνεύματος ἐστίν.
Ἀλλὰ δὴ καὶ ὁ τῆς Θεολογίας ἐπώνυμος καὶ γρηγορος
νῦς αἰτίας ἡμᾶς ἐξαιρέμενος, ἐν τῷ περὶ τῦ ἁγίε
„ Πνεύματος λόγῳ φησὶν „ ἡμῖν εἷς Θεὸς, ὅτι μία θεότης,
„ καὶ πρὸς ἓν τὰ ἐξ αὐτῦ τιλὶ ἀναφορὰν ἔχει. Σκοπεῖ-
τε τί φησιν ὁ διδάσκαλος; ἐπεὶ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦ-
μα πρὸς ἓν αἴτιον ἀναφέρονται τὸν Πατέρα, διὰ τῦτο
καὶ μία θεότης ἐστὶν ἡ Τριὰς, καὶ εἷς ἡμῖν ὁ Θεός· δη-
λῦντος τῦ λόγε καὶ τὸ ἀνάπαλιν· ὅτι εἰ μὴ πρὸς ἓν μό-
νον αἴτιον τὰ ἐκ τῦ Πατρὸς προϊόντα τιλὶ ἀναφορὰν
ἔχει, ἤτε μία ἐστὶν ἡ θεότης, ἤτε εἷς Θεὸς ἡ Τριάς·
πρὸς δὲ, εἰ ὁ μὲν Υἱὸς μόνος, πρὸς ἓν αἴτιον ἀναφέρεται
τὸν Πατέρα, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκ εἰς ἓν, ἀλλ' εἰς
δύο, ὁ θεολόγος ἔτος ἐκ ἀληθεύει λέγων, ὅτι πρὸς ἓν
τὰ ἐξ αὐτῦ τιλὶ ἀναφορὰν ἔχει. Πάλιν ὁ αὐτὸς φησὶ
„ θεολόγος ῥητῶς ἔτωσί· „ πάντα ὅσα ἔχει ὁ Πατὴρ, τῦ
„ Υἱῦ, πλιὼ τῆς αἰτίας· τῦτο τὸ πλιὼ τῆς αἰτίας, ἔτις
νομίζοι, ἢ διὰ τιλὶ τῦ Υἱῦ πρὸς τὸν Πατέρα αἰτίαν, ἢ
διὰ τιλὶ τῦ Υἱῦ πρὸς ἑαυτὸν εἰρῆθαι, ἔτος ἀνερος ἀδόλε-
χος· τὶς γάρ ποτε τῶν ἀνθρώπων, περί τινος υἱῦ πλη-
ροφορῶν τὺς ἀκόντας, ὡς πάντα ἔχει τὰ τῦ πατρὸς,
ἐπάγει τότε ἀπόδειξιν, ἢ τὸ πλιὼ τῦ εἶναι πατέρα τῦ
ἰδίε πατρὸς, ἢ τὸ πλιὼ τῦ ἑαυτῦ εἶναι αἴτιον;

„ Καὶ ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίε, τὰ κοι-
„ νὰ Πατρὶ καὶ Υἱῷ, ταῦτα κοινὰ καὶ τῷ Πνεύματι·
„ ποῖα κοινά; πάντα, πλιὼ τῆς ἀγεννησίας καὶ τῆς γεν-
„ νήσεως, καὶ τῆς ἐκπορεύσεως· τῦτο δὲ ὁ ἐρανοφάντωρ
ἀφ' ἑαυτῦ ἐκ εἴρηκε πρῶτος, ἀλλὰ παρὰ τῦ ἐξ Ἀρείε
πάγε Διονυσίε λαβὼν, καθάπερ ἀμέλει κἀκεῖνος ἀπὸ
Χρισῦ· πῶς ἂν ἐκτέθειται τὰ παρ' ἐκείνε περὶ τῦ προ-
κειμένε

κειμένη ῥητά; ἔτωσί. „ὅσα ἐστὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ κοινωνικῶς καὶ ἑνωμένως, καὶ τῷ ἁγίῳ Πνεύματι ὁ θεαρχικὸς ἀναλίθησι λόγος· εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἔστι δὲ κατά τινας κοινὸν Πατρὶ καὶ Υἱῷ τὸ προβάλλειν τὸ Πνεῦμα τὸ ἅγιον, ἔσαι τοῦτο κοινὸν καὶ τῷ Πνεύματι, καὶ προβαλεῖ προσωπικῶς ἑαυτό· ὃ τῆς ὀρθῆς περὶ τὸ Πνεῦμα δόξης ἀλλότριον. Ταὐτὰ τούτοις καὶ ἡ τῶν θεολόγων, ὡς ἄντις εἴποι σφραγὶς, Ἰωάννης ὁ Σύρος πολλαχοῦ τῶν ἑαυτοῦ Κεφαλαίων πολυτρόπως ἐκτίθησι, νυνὶ μὲν λέγων· „πάντα ὅσα ἐστὶν ὁ Υἱὸς, ἐστὶ καὶ τὸ Πνεῦμα, πλὴν τοῦ εἶναι Υἱός· νυνὶ δὲ, πάντα τὰ τοῦ Υἱοῦ ἐστὶ καὶ τοῦ Πνεύματος, πλὴν τῆς γεννήσεως· νυνὶ δὲ, πάντα ὅσα ἔχει καὶ ἐστὶν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἔχει καὶ ἐστὶ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως.

Καὶ ταῦτα μὲν ἰδίᾳ τῶν θεολόγων ἕκαστος τίθησι, κοινῇ δὲ πάντες, πάντα, φασὶ, τὰ κοινὰ Πατρὶ καὶ τῷ Υἱῷ, ταῦτα κοινὰ καὶ τῷ Πνεύματι· καὶ πρὸς τὸ παρ' αὐτῶν ἀποφανθὲν τρεφόμενοι καὶ ἐρωτῶσι τὸν λόγον, καὶ βεβαιοῦσι, λέγοντες, ἔτωσί· ποῖα κοινά; πάντα, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσεως. Οὐκοῦν ὡς ὁ Πατὴρ ἐκ ἔχει τὸ γεννᾶσθαι, ἢ τὸ ἐκπορεύεσθαι, ἄλλων γὰρ ἴδια ταῦτα, καὶ ἃ κοινά· ἔτως ἑκάτερον τῶν λοιπῶν, ἔτε τὸ γεννᾶν ἔχει, ἔτε τὸ ἐκπορεύειν· καὶ ὡς ὁ Υἱὸς, ἐχὶ καὶ ἐκ τοῦ Πνεύματος, ἔτω καὶ τὸ Πνεῦμα, ἐχὶ καὶ ἐκ τοῦ Υἱοῦ· καὶ ὡς τὸ Πνεῦμα κατ' ἀδύνατον τρόπον ἔχει τὴν γέννησιν, ἔτω καὶ ὁ Υἱὸς, κατ' ἀδύνατον τρόπον ἔχει τὴν ἐκπόρευσιν· καὶ ὡς ὁ Πατὴρ αἴτιος μόνον, ἀλλ' ἐχὶ καὶ αἰτιατὸς, ἔτω καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα μόνον αἰτιατά· ἀλλ' ἐχὶ τὸ μὲν Πνεῦμα αἰτιατὸν μόνον, ὁ δὲ Υἱὸς καὶ αἴτιος ὁ αὐτὸς καὶ αἰτιατός· καὶ ὡς ὁ Υἱὸς γέννημα τέλειον, ἀνυπόστατον, ἐκ μόνε τοῦ Πατρὸς, ἔτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπόρευμα τέλειον, ἀνυπόστατον, ἐκ μόνε τοῦ Πατρός· καὶ ὡς ὁ Υἱὸς ἀμέσως ἐκ τοῦ Πατρὸς γεννητῶς, ἔτω καὶ τὸ

Πνεῦμα

Πνεῦμα τὸ ἅγιον ἀμέσως ἐκ τȣ̃ Πατρὸς ἐκπορευτὸν, καὶ ȣ̓δὲν τȣ́των ἐφεξῆς τοπικῶς· καὶ ὡς ὁ Πατὴρ ἅμα μόνος αἴτιος ἀμφοῖν, ȣ̃τω καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἐκ τȣ̃ Πατρὸς μόνον ἅμα αἰτιατὰ, καὶ ȣ̓δὲν τȣ́των καθεξῆς χρονικῶς· καὶ ὥσπερ ὁ Υἱὸς, ȣ̓ δι' ἄλλȣ μεσίτȣ ἐκ τȣ̃ Πατρὸς γεννᾶται προσωπικῶς, ȣ̃τω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ȣ̓ διάτȣ μεσίτȣ ἐκ τȣ̃ Πατρὸς καθ' ὑπόςασιν ἐκπορεύεται· καὶ ὥσπερ πάντα ὅσα ἔχει ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἔχει καὶ ὁ Υἱὸς, πλὴν τῆς ἀγεννησίας καὶ τῆς ἐκπορεύσεως, ȣ̃τω πάντα ὅσα ἔχει ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἔχει καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως· καὶ ὥσπερ ὁ Πατὴρ μόνος αἴτιος, τȣ̃τε Υἱȣ̃ καὶ τȣ̃ Πνεύματος, ȣ̃τω καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τȣ̃ Πατρὸς μόνον αἰτιατὰ, ἀλλ' ȣ̓χ' ὁ μὲν Υἱὸς ἐκ τȣ̃ Πατρὸς μόνȣ, τὸ μέν τοι Πνεῦμα καὶ ἐκ τȣ̃ Πατρὸς καὶ ἑτέρωθεν· τȣ̃το γὰρ ἀναιρεῖ ἡ βασίλειος τῆς ἐκκλησίας φωνὴ, ἐν τοῖς ἀντιῤῥητικοῖς ȣ̃τω θεολογȣ̃σα· „ γεννᾷ ὁ Θεὸς ȣ̓χ' ὡς ἄνθρωπος, γεννᾷ δὲ ἀληθῶς, καὶ τὸ γεγεννημένον ἐξ αὐτȣ̃, ἐμφαίνει λόγον ȣ̓κ ἀνθρώπινον· ἐκφαίνει δὲ λόγον ἐξ αὐτȣ̃ ἀληθῶς· καὶ ἐκπέμπει Πνεῦμα διὰ ςόματος, ȣ̓χ οἷον τὸ ἀνθρώπινον, ἐπεὶ μηδὲ ςόμα Θεȣ̃ σωματικῶς· ἐξ αὐτȣ̃ δὲ τὸ Πνεῦμα, καὶ ȣ̓χ ἑτέρωθεν. Πρόχες πᾶς ὁ βȣλόμενος, ὅτι τὸ ȣ̓χ ἑτέρωθεν τȣ̃το, κοινὸν ἐςὶν ὑποςατικὸν, καὶ πάντα περιέχει τὰ παρὰ τὸν Θεὸν καὶ Πατέρα, εἴτε τὸν Υἱὸν λέγειτις, εἴτε τὰ κτίσματα, εἴτέ τινα ἄλλην φύσιν πάντῃ ἀκατανόητον. Εἰ δέ τις χριςιανῶν, μὴ καταδέχοιτο ταυτὶ τὰ προσεχῶς παρ' ἡμῶν εἰρημένα, τȣ̃τον ἀνάγκη παλινῳδίαν ᾆσαι, καὶ ὥσπερ ὀςράκȣ μεταπεσόντος, τἀναντία τȣ́των δοξάζειν εὐθύς· ἤγȣν, ὅτι ὥσπερ ὁ Πατὴρ ἔχει τὸ γεννᾷν ὁμȣ̃ καὶ τὸ ἐκπορεύειν, ȣ̃τω καὶ ὁ Υἱὸς τὸ γεννᾷν καθ' αὑτὸν, καὶ τὸ Πνεῦμα ἰδίως τὸ ἐκπορεύειν πλȣτεῖ· καὶ ὥσπερ τὸ Πνεῦμα προβάλλει προσωπικῶς ὁ Υἱὸς, ȣ̃τω καὶ τὸ Πνεῦμα γεννᾷ τὸν Υἱὸν καθ' ὑπόςασιν· καὶ ὥσπερ ὁ Υἱὸς ȣ̓κ αἰτιατὸς μόνον, ἀλλὰ καὶ αἴτιος, ȣ̃τω καὶ τὸ Πνεῦμα,

καὶ

καὶ αἴτιον ἔσαι τὸ αὐτὸ, καὶ αἰτιατόν· καὶ ὥσπερ τὸ Πνεῦμα ἐκ ἐκ μόνε τε Πατρὸς, ἔτω καὶ ὁ Υἱὸς ἐκ ἐκ μόνε τε Πατρὸς· καὶ ὥσπερ τὸ Πνεῦμα διὰ μεσίτε ἐκ τε Πατρὸς· ἔτω καὶ ὁ Υἱὸς διὰ μεσίτε ἐκ τε Πατρός. Ἀλλ' ὡς ἂν μὴ καὶ τὸν ἀέρα μολιώνωμεν διόντες τὰ ἐντεῦθεν τικτόμενα βλάσφημα, τῦτο ἀντὶ πάντων ἀρκέσει ῥηθὲν, ὅτι περ ἡ μιᾶς, ἡ πασῶν τῶν ἐν τῇ Τριάδι θεωρεμένων ἰδιοτήτων συγχεομένων, αὐτίκα πάντα συγχεῖται τὰ ἐν ταύτῃ κοινὰ, καὶ τὰ ἴδια, κἂν πρόσωπον εἴη τὸ μέσον, κἂν χρόνος ἢ τὸ διεῖργον, κἂν τόπος ὑπάρχοι τὸ μεταξὺ Πατρὸς καὶ Υἱῦ, ἢ Πατρὸς καὶ Πνεύματος, ἢ Υἱῦ καὶ Πνεύματος· ἢ τὸ ἑνῶν καὶ σιωπᾶν τὰς ὑποτάσεις καὶ σιωπᾶν, τὸ ἀμέσως πρὸς τὸ ἐμμέσως, καὶ τὸ συναιρέμενον πρὸς τὸ διαιρέμενον, καὶ ἐπὶ πάντων καὶ πάντοτε κατὰ διάμετρον ἀντιφέρεται.

Ἀλλ' ἐπὶ τὸν τῦ λόγε εἰρμὸν ἰτέον, ὅτι καὶ ὁ πολύτλας Ἀθανάσιος τοῖς προῤῥηθεῖσι Πατράσι σωάδων, ἐν τῷ περὶ Τριάδος αὐτῦ λόγῳ φησί· „Θεὸς ἐστὶν ἡ πάντων ἀρχὴ κατὰ τὸν Ἀπόστολον λέγοντα, εἷς Θεὸς ὁ Πατὴρ ἐξ ᾧ τὰ πάντα, καὶ γὰρ ὁ Λόγος ἐξ αὐτῦ γεννητῶς, καὶ τὸ Πνεῦμα ἐξ αὐτῦ ἐκπορευτῶς. Ὡσαύτως ἔν τε τῷ ά. Βιβλ. τῶν αὐτῦ θεολογικῶν, καὶ ἐν τῷ δευτέρῳ, „μόνος, φησὶν, ἀγέννητος, καὶ μόνος πηγὴ θεότητος ὁ Πατήρ. Παραπλησίως τέτῳ τῷ μεγάλῳ Πατρὶ, καὶ ὁ πολὺς τὰ θεῖα Διονύσιος ἐν τῷ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας κεφαλαίῳ φησί· „μόνη πηγὴ τῆς ὑπερσοὶ θεότητος ὁ Πατήρ. Οἷς ἐστὶν ὅτα ἀκέειν ἀκέσατε, καὶ οἱ ἔχοντες σιώσιν σιώετε· μόνη πηγὴ τῆς ὑπερσοὶ θεότητος φησὶν, ὁ μόνος γεννήτωρ καὶ προβολεὺς· κατὰ ταῦτα γὰρ καὶ θεογόνος. Τί ταύτης τῆς μαρτυρίας καὶ δεικτικώτερον καὶ φανερώτερον; τὸ γὰρ μόνος, ἢ μόνη, ἢ μόνον, ἐφ' ὅπερ ἂν λέγοιτο ἰδιαίτατον ὂν, ἀδεμίαν κοινωνίαν πρὸς ἄλλο πόσως παραδέχεται, κατ' αὐτὸ τῦτο τὸ μόνος, ἢ μόνη, ἢ τὸ προσδιορισθὲν ὁπωσῦν· εἰ δὲ ποσῶς τῦτο τὸ λέγεσθαι μόνως ἀποβαλεῖ, ἐκ ἔτι μόνον λεχθήσεται.

Ἐπὶ

Ἐπὶ πᾶσι τέτοις ἡ σὺν Νικαίᾳ τὸ πρῶτον συναθροιθεῖσα Συνόδος ἀποφαίνεται πρὸς τὸν διαπορῆντα φιλόσοφον· „ δέχε μίαν θεότητα τῦ Πατρὸς τῦ γεννήσαντος τὸν Υἱὸν ἀνεκφράστως, καὶ τῦ Υἱῦ τῦ γεγεννημένε ἐξ αὐτῦ, καὶ τῦ ἁγίε Πνεύματος τῦ ἐκπορευομένε ἐξ „ αὐτῦ τῦ Πατρός. Καὶ θέαμοι κὰν τέτῳ τινὶ τῶν θεολόγων ἀκρίβειαν; ὡς ἐχ ἁπλῶς καὶ ἀπροσδιορίστως τὸ ἐκπορευόμενον ἴδιον τῦ Πνεύματος τίθεται, ἀλλὰ μετὰ προσδιορισμῦ σαφεστάτε, τὸ ἐκ τῦ Πατρὸς ἐκπορευόμενον ἴδιον πάντως τῦ Πνεύματος λέγεσι, προορῶντες καὶ προανατρέποντες τινὶ περιττῇ προθήκῃ, ἵνα μή τις καὶ ἐκ τῦ Υἱῦ ἐκπορεύεσθαι νομίσῃ τὸ Πνεῦμα τὸ ἅγιον· ἐπεὶ γὰρ τὸ μὲν γεννητὸν συνεισάγει τῇ διανοίᾳ τὸν Πατέρα, τὸ δὲ ἐκπορευτὸν ἐχ ἅτω, διὰ τᾶτο τὸ ἐκ τῦ Πατρὸς ἐκπορευόμενον, ἴδιον πάντες τῦ Πνεύματος ἀπεφήναντο· καὶ πρό γε πάντων, αὐτὸς ὁ Κύριος· διὰ τέτε πᾶσι δεικνῦτες, ὅθεν ἔχει τὸ Πνεῦμα τινὶ ὕπαρξιν· ἔνθεντοι οἱ μέν φασι, μόνος Υἱῦ καὶ Πνεύματος αἴτιος ὁ Πατήρ· οἱ δὲ, ὃ Πνεῦμα ἅγιον τὸ ἐκπορευόμενον ἐκ μόνε τῦ Πατρός· οἱ δὲ, ἐκ μόνε τῦ Πατρὸς τὸ Πνεῦμα, ἀλλ' ἐχὶ καὶ ἐκ τῦ Υἱῦ· οἱ δὲ, μόνῳ τῷ Πατρὶ ἡ ἐκπορευτικὴ ἰδιότης πρόσεστιν· οἱ δὲ, ὅσα ἁρμόζει αἰτίῳ, τῷ Πατρὶ μόνῳ προσαρμοστέον· οἱ δὲ, μόνον πατρόθεν, ὡς ἐκ νέ, καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα προήλθοσαν· οἱ δὲ, ἐξ αὐτῦ φασὶ τῦ Πατρὸς οἱονεὶ δακτυλοδεικτῦντες, ὅθεν ἔχει τὸ Πνεῦμα τινὶ ὕπαρξιν· ὥσπερ ὅλη κἀνταῦθα, διαῤῥήδην ἡ Συνόδος. Τὶς ἓν τέτοις τολμήσει ἀντερεῖν τῦ λοιπῦ, εἰ μὴ τῷ θείῳ Πνεύματι αἱρεῖτο μάχεσθαι προφανῶς;

Τέτων ἅτω δὴ προϋποκειμένων, εἰπατέ μοι πρὸς αὐτῆς τῆς Τριάδος, τὶ ὑμῖν δοκεῖ; εἰ καὶ ἐκ τῦ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον λέ ἐκπορευόμενον, ἐκ ἔδει ταύτινι τινὶ ῥῆσιν ἐν τῷ Εὐαγγελίῳ γεγράφθαι; ἐκ ἔδει φέρεσθαι ἐν ταῖς τῶν Ἀποστόλων ἐπιστολαῖς σαφῶς ἅτωσι, πανταχῦ τῆς ἀληθῦς θεογνωσίας αὐτῶν φροντιζόντων; ἐκ ἐχρῆν περιέ-

περιέχεθαι ἐν ταῖς τῶν Μαρτύρων ὁμολογίαις; ἢ εἰμὴ ἐν τούτοις εὑρίσκετο γεγραμμένη, ἐκ ἔδει γραφῆναι πρὸς τῶν ἱερῶν διδασκάλων τῶν τε προῤῥηθέντων καὶ τῶν λοιπῶν, ὡς ἀναγκαίοντι χρῆμα, καὶ μέγα, καὶ οὐ τῶν ἀπαραιτήτων ταύτῃ ὑπάρχεσαν τῇ φωνῇ; ἀλλαμὴν, ἐν ἑδενὶ τῶν προειρημένων εὑρίσκεται· τὸ δὲ τοῖς προῤῥηθεῖσι πᾶσι σιωπηθὲν, ὡς μὴ ὂν σεσιώπηται, καὶ σιωπῆς πάντως ἄξιον· ὥσπερ δὴ καὶ τὸ πᾶσιν ἀνομολογηθὲν, ὡς ὁμολογίας ἀπάσης καὶ κηρύξεως ἄξιον ὡμολόγηται· εἰ δὲ καὶ τἀναντία τῷ λέγεθαι τοῦτο εὑρεθεῖεν οἱ διδάσκαλοι ψηφιζόμενοι, ἐκ ἐγκλήματος ἄξιοι, οἱ σιωπᾶθαι τοῦτο ἀξιοῦντες· ἐπίσης γὰρ τόλμης καὶ αὐθαδίας μεστὸν, καὶ τὸ πρὸς τῶν ἁγίων κηρυττόμενον δόγμα διδόναι σιγῇ, καὶ τὸ παρ' αὐτῶν σιωπώμενον ἀπ' αἰῶνος, ἄρτι κηρύττεθαι παρ' ἡμῶν· τὸ δὲ δημοσίᾳ διδάσκειν, τὸ ἐκ διαμέτρου τοῖς τούτων δόγμασιν ἀνθιστάμενον, ποίαν ἀναιδείας ὑπερβολὴν καταλείπει; ἔτα τούτων οὕτως ἐχόντων μετάθεσιν πίστεως πρᾶξαι ἡμεῖς ἀνεξόμεθα; καὶ ταῦτα μετὰ τὸ παραδραμεῖν τοσούτους κινδύνους, καὶ ὑπομεῖναι τοσαῦτα δεινὰ, νῦν ἐν τῇ σωτελείᾳ τοῦ κόσμου, καὶ τῷ βαθεῖ τούτῳ γήρᾳ, ὅτε ἡμῖν ἐδὲν ἄλλο προσδοκᾶται, ἢ τὸς τῆς ἀσεβείας καὶ κάρτερίας ὅσον οὔπω σεφάνους ἀπολαβεῖν; καὶ πῶς ὁ τὸ σοιχεῖον τοῦτο τῆς γῆς αὐτίκα ῥαγήσεται, καὶ καταπίεται ζῶντας ἡμᾶς; πῶς δὲ ὁ ὠρανὸς σέξει τοσαύτῃ παράνοιαν, καὶ ἐκ αἰθρίου ἐκεῖθεν πῦρ ἐξαφθήσεται καθ' ἡμῶν; τίσι δὲ ὀφθαλμοῖς τὸν ἥλιον μετέπειτα θεασόμεθα; τί δὲ ἀπολογησόμεθα τοῖς ἁγίοις ἐν ἡμέρᾳ τῆς δίκης, ὅτι λῷ αὐτοὶ λόγοις, ἰδρῶσι, καὶ αἵμασιν ἐκράτυναν πίστιν, μετὰ παρέλθοσιν τοσοῦτοι χρόνοι ἡμεῖς ἀπωλέσαμεν ἐκτάσει μόνῃ φρενῶν; πάντα ἡμεῖς τὰ ἐν τῷ κόσμῳ καλὰ χεδὸν ἀφηρέθημεν δι' ἀσέβειαν· πόλεις, χώρας, ἀγορὰς, ἀμπελῶνας, ἀρχὰς, τιμὰς, χρήματα, πρὸς δὲ καὶ ὄνειδος πᾶσιν ἀνθρώποις γεγόναμεν, καὶ νῦν γε ταύτης ἀποσησόμεθα; μηδαμῶς Κύριε πάντων ἑάσῃς τοῦτο γενέθαι, ἀλλ' ἐν ὀρθοδοξίᾳ πάντας ἐν-

τεῦθεν παραλαβε, τὰς τῶν ὀρθοδόξων πατέρων ὑβς. Καὶ ταῦτα μὲν ὧδε.

Δεῦρο δὲ καὶ αὖθις περὶ ἀγάπης, τίνι ὑμετέραν ἀγάπην ὑπομνήσωμεν· ὅτι πᾶσα ψυχὴ λογικὴ τρία μέρη κέκτηται, λογισμὸν, θυμὸν, καὶ ἐπιθυμίαν· ἐὰν ἡ ἐν τῷ θυμῷ ἀγάπη καὶ φιλανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ καθαρότης καὶ σωφροσύνη, ὁ λογισμὸς ἐστὶ πεφωτισμένος. Ἐὰν δὲ ἡ ἐν τῷ θυμῷ μισανθρωπία, καὶ ἐν τῇ ἐπιθυμίᾳ ἀκολασία, ὁ λογισμὸς ἐστὶν ἐσκοτισμένος. Ὁ μὲν ἓν λογισμὸς τότε ὑγιαίνει καὶ σωφρονεῖ, ὅταν τὰ πάθη ἔχῃ ὑποτεταγμένα, καὶ τὰς λόγους τῶν τῆ Θεῆ κτισμάτων πνευματικῶς θεωρῇ, καὶ ὅλως πρὸς τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα νοῇ. Ὁ δὲ θυμὸς πάλιν τότε κινεῖται κατὰ φύσιν, ὅταν πάντας ἀνθρώπους ἀγαπᾷ, καὶ πρὸς ἑδένα αὐτῶν λύπην ἢ μνησικακίαν κέκτηται. Ἡ δ' ἐπιθυμία, ὅταν ὑπ' ἐγκρατείας, καὶ ταπεινοφροσύνης νεκρώσῃ τὰ πάθη· τότε ἐν ἡδονὴν σαρκὸς, καὶ χρημάτων, καὶ δόξης παρερχομένης ἔφεσιν, καὶ τραπῇ πρὸς τὸν θεῖον ἔρωτα· καὶ γὰρ ἡ ἐπιθυμία πρὸς τρία τὴν κίνησιν ἔχει, ἢ πρὸς ἡδονὴν σαρκὸς, ἢ πρὸς δόξαν κενὴν, ἢ πρὸς ἀπάτην χρημάτων, καὶ διὰ τὴν παράλογον τέτων ἔφεσιν, καταφρονεῖ τῆ Θεῆ καὶ τῶν θείων, καὶ τῆς οἰκείας ἐπιλανθάνεται συγγενείας, καὶ πρὸς τὸν πλησίον ἐκθηριῶται, καὶ τὸν λογισμὸν σκοτίζει, καὶ ἐ συγχωρεῖ ἀναβλέψαι πρὸς τὴν ἀλήθειαν· ὧν ὁ ἀνώτερον κτησάμενος φρόνημα, ἀπ' ἐντεῦθεν ἀπολαύει τῆς βασιλείας τῶν ἐρανῶν, καὶ ζῇ μακαρίαν ζωὴν, προσδοκῶν τὴν ἀποκειμένην μακαριότητα τοῖς ἀγαπῶσι τὸν Κύριον.

Ὅτι ἀνὴρ ἀγάπης ἐδεὶς τὸν Κύριον ὄψεται· καὶ μαρτυρεῖ ὁ θειότατος Παῦλος λέγων, „ ὑμεῖς ἐστὲ σῶμα „ Χριστῆ καὶ μέλη ἐκ μέρες· καὶ ὃς μὲν ἔθετο ὁ Θεὸς ἐν „ τῇ ἐκκλησίᾳ πρῶτον Ἀποστόλες, δεύτερον Προφήτας, „ τρίτον Διδασκάλες, ἔπειτα δυνάμεις, ἔτα χαρίσματα „ ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν· μὴ

„ πάντες

„ καὶ οὗτοι τὸ ποίμνιον τὶ ἐποίησαν; γενέσθω ἡ χείρσου ἐπ'
„ ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. Καὶ ὁ μακάριος
„ Παῦλος· ἤθελον ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν
„ ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα, οἵτι-
„ νες εἰσὶν Ἰσραηλῖται· ἀγάπην δὲ λέγω οὐ τὴν εἰς ἕνα πε-
„ ριγραφομένην, ἀλλὰ τὴν εἰς πάντας ἐκχεομένην· εἰ γὰρ
„ ὁ ὀφθαλμὸς τὴν πρόνοιαν τὴν ὑπὲρ τοῦ παντὸς σώματος
„ ἔχει, εἰς τὴν χεῖρα περιστήσειε, καὶ τῶν ἄλλων ἑαυτοῦ
„ ἀποστρέψας μελῶν, ἐκείνῃ μόνῃ προσέχοι, οὐχὶ τῷ παντὶ
„ λυμανεῖται; εἰκότως· οὕτω καὶ ἡμεῖς ἂν τὴν ἀγάπην
„ τὴν εἰς πᾶσαν τὴν ἐκκλησίαν τοῦ Θεοῦ ὀφείλουσαν ἐκτεί-
„ νεσθαι, εἰς ἕνα καὶ δεύτερον περιστείλωμεν, καὶ ἡμῖν αὐ-
„ τοῖς, κἀκείνοις, καὶ τῷ παντὶ λυμαινόμεθα. Ἀγάπη
„ ῥίζα καὶ πηγὴ καὶ μήτηρ ἐστὶν ἁπάντων τῶν ἀγαθῶν·
„ καὶ γὰρ ὡς ῥίζα μυρίους τῆς ἀρετῆς τοὺς κλάδους ἀναδίδω-
„ σι, καὶ ὡς πηγὴ πολλὰ τίκτει τὰ νάματα, καὶ ὡς μή-
„ τηρ εἴσω τῶν ἑαυτῆς κόλπων περισφίγγει τοὺς εἰς αὐ-
„ τὴν καταφεύγοντας· ὃ δὴ καὶ ὁ μακάριος Παῦλος συνι-
„ δὼν καρπὸν αὐτὴν τοῦ Πνεύματος ἐκάλεσεν, οὕτως εἰπὼν,
„ ὁ καρπὸς τοῦ Πνεύματος ἐστὶν ἀγάπη, χαρὰ, εἰρήνη,
„ μακροθυμία, κξ. καὶ ὅρα μοι λέξεως ἀκρίβειαν, καὶ δι-
„ δασκαλίας ἀκολουθίαν· προέταξε τὴν ἀγάπην, καὶ τό-
„ τε τῶν ἑξῆς ἐμνημόνευσεν· ἔθηκε τὴν ῥίζαν, καὶ τότε
„ τὸν καρπὸν ἀπέδειξε· κατέβαλε τὸν θεμέλιον, καὶ τό-
„ τε τὴν οἰκοδομὴν ἐπήγαγεν· ἀπὸ τῆς πηγῆς ἤρξατο,
„ καὶ τότε ἦλθεν ἐπὶ τοὺς ποταμούς· οὐδὲ γὰρ ἡ τῆς χα-
„ ρᾶς πρότερον ἐπεισελθεῖν ὑπόθεσις δύναται, ἂν μὴ τῆς
„ ἀγάπης ἡ ῥίζα φανῇ· οὐδὲ τὸ τῆς εἰρήνης περιπλακῆναι
„ καλῶς δυνάμεθα, ἂν μὴ πρότερον οἰκεῖα τὰ τοῦ πλη-
„ σίον ἅπαντα λογισώμεθα· οὐκοῦν ἤκουσας τούτου λέγον-
„ τος, τὶς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;
„ θλίψις; ἢ στενοχωρία; ἢ κίνδυνος; ἢ μάχαιρα; καὶ
„ ὅσα τίθησιν ἐφεξῆς; ταύτην καὶ σὺ δανεισάμενος τὴν
„ φωνὴν μετ' εὐλαβείας καὶ ζεούσης καρδίας, εἰπὲ, τὶς
„ ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ ἀδελφοῦ; θλίψις;
„ ἢ στενοχωρία; ἢ κίνδυνος; ἢ μάχαιρα; εἰς γὰρ τὸ αὐ-

„ τὸ

τὸν νῦν ὑμῶν εἰς τὸ λεγόμενον· τοῦτον τὸν κύκλον νομίσατε εἶναι τὸν κόσμον, αὐτὸ δὲ τὸ μέσον τοῦ κύκλου τὸν Θεόν· τὰς δὲ ἀθείας τὰς ἀπὸ τοῦ κύκλου ἐπὶ τὸ μέσον, τὰς ὁδούς, ἤτοι τὰς πολιτείας τῶν ἀνθρώπων· ἐφ' ὅσον οὖν εἰσέρχονται οἱ ἅγιοι ἐπὶ τὰ ἔσω, ἐπιποθοῦντες ἐγγίσαι τῷ Θεῷ, κατὰ ἀναλογίαν τῆς εἰσόδου πλησίον γίνονται τοῦ Θεοῦ καὶ ἀλλήλων· καὶ ὅσον πλησιάζουσι τῷ Θεῷ, πλησιάζουσιν ἀλλήλοις· καὶ ὅσον πλησιάζουσιν ἀλλήλοις, πλησιάζουσι τῷ Θεῷ· ὁμοίως νοήσατε καὶ τὸν χωρισμόν· ὅταν ἀφιστῶσιν ἑαυτοὺς ἀπὸ τοῦ Θεοῦ, καὶ ἀποστρέφωσιν ἐπὶ τὰ ἔξω, δῆλον ἐστὶν ὅτι ὅσον ἐξέρχονται καὶ μακρύνουσιν ἑαυτοὺς ἀπὸ τοῦ Θεοῦ, τοσοῦτον μακρύνονται ἀπ' ἀλλήλων· καὶ ὅσον μακρύνονται ἀπ' ἀλλήλων, τοσοῦτον μακρύνονται ἀπὸ τοῦ Θεοῦ· ἰδοὺ τοιαύτη ἐστὶν ἡ Φύσις τῆς ἀγάπης· ὥστε, ὃ μικρὸν πρόσθεν εἶπον, ἄνδρα ἀγάπης, ἐὰν εἰς τὸν Κύριον ὕψεται· ἵνα κτήσασθαι πάντες σπουδάσωμεν, ἵνα διὰ αὐτῆς καὶ Θεῷ πλησιάσωμεν, καὶ ἐν αὐτῷ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωμεν. Ἀμήν.

ἐχ ὁ τὰ παραδεδομένα πρὸς τῆ Χριστῆ Φυλάττων ἀπλήθωτα καὶ ἀμείωτα. Ὥστε καὶ μόνος ἀγέννητος ὁ Πατὴρ, ἀχέτως ἀντιδιατιθέμενος πρὸς ἑδὲ ἓν πρόσωπον κατὰ τοῦτο· πρὸς ἑδὲν γὰρ ἄλλο ἐπαναβεβηκὸς, ἢ ὑποβεβηκὸς τοῦτο λέγεται· καὶ μόνος Πατὴρ, τοῦτο χετικῶς ἀντιδιατιθέμενος πρὸς τὸν Υἱόν· καὶ προβολεὺς μόνος, ταύτῃ καθ' ἑτέραν χέσιν ἄγνωστον, καὶ ὑπὲρ ἡμᾶς, ἀντιδιατιθέμενος πρὸς τὸ Πνεῦμα τὸ ἅγιον.

Ὁ τοίνυν γνησιώτατα τῆς ἀληθείας ἀντιποιούμενος, ἔτε ταῖς τῶν συλλογισμῶν πλεκτάναις ἁλώσεται, ἔτε τῇ παραγωγῇ τῶν γραφῶν κλαπήσεται, ὡς ἀντεῦθεν ἕξαι τῇ οἱαδήτινι δόξῃ, ἀλλὰ τῇ ἀρχαίᾳ ἕψεται τῶν πατέρων διδασκαλίᾳ, καὶ ἰῷ ἀνέκαθεν ἐκεῖνοι παρέδωκαν πίσιν, ταύτῃ μόνῃ προσκείσεται, καὶ πᾶν τὸ παρὰ τινὶ ἐκείνων παράδοσιν ὡς δυσεβὲς ἀποτρέψεται, μηδοτιῶν ἐφιεὶς πρὸς τινὶ τότε παραδοχινὶ, μήτε λογικαῖς ἀποδείξεσι, μήτε ταῖς ἐκ τῶν γραφῶν παρασάσεσι δῆθεν, ὧν πολλοὶ καταψεύδονται. Δίδωσι γὰρ ἡμῖν ταῖς τῶν θείων πατέρων θαῤῥεῖν παραδόσεσιν, ἐχ ἡ τῶν ἀποδείξεων πιθανότης ἁπλῶς, ἀλλὰ καὶ πᾶσα παλαιὰ καὶ νέα γραφὴ, τοῖς ἐκείνων λόγοις συνᾴδουσα, καὶ πρὸ τῶν γραφῶν ἡ κατ' ἀρετινὶ ἀπαραμίλλος ἀγωγὴ, καὶ ὁ ἀγγελικὸς ἐκείνων βίος, καὶ τῶν θαυμάτων ἡ δύναμις. Ταῦτα γὰρ αὐτοῖς ἅμα, καὶ τῷ βίῳ καὶ τῆς κατ' εὐσέβειαν ἀκριβείας, ἐναργὲς ὑπῆρξε μαρτύριον· τούτοις καὶ ἕλλιμας ἐχειρώσαντο, καὶ πρὸς τινὶ εὐσέβειαν μετήγαγον.

Δῆλον μὲν ἔν ἐκ τῶν εἰρημένων εὐσεβεῖς εἶναι ἡμᾶς, τὸς ἕτω λέγοντας τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, ἐ μινὶ καὶ ἐκ τοῦ Υἱοῦ· ἐ γὰρ ἡμετέρα αὕτη ἡ δόξα καὶ νεωτέρα, ἀλλ' ὡς δέδεικται, τῶν πατέρων, καὶ παλαιά· καὶ ταύτῃ τῇ ὁμολογίᾳ οἱ τῆς ὀρθοδοξίας μεγάλοι πρόβολοι συνέζησαν, μᾶλλον δὲ ταύτῃ ζῶσι καὶ μετὰ θάνατον· ἀλλὰ καὶπεῖθεν ἔσαι τοῦτο μάλα σαφέστερον, ἐκ ἐκ τῶν λόγων ὡς ἂν εἴποι τις τῶν ἁγίων

μόνον,

γων, ἢ γράφων κεκοίμηται, τὰς ἱερὰς τῶν οἰκουμενικῶν συνόδους γενέσθαι εὐδόκησε, σὺν αὐτοῖς δ' ἄρα καὶ πλείους τῶν τοπικῶν, ἵν' ὅπερ ἰδίᾳ κατορθοῦται ἑκάστῳ, ἢ ὡς δόγμα δοξάζεται, τοῦτο πρὸς πάντων εἰς μέσον δοκιμασθὲν, εὐαπόδεκτον εἴη τοῦ λοιποῦ, οὐκ ἀπόβλητον. Οὕτω γοῦν ἡ πρώτη τῶν οἰκουμενικῶν ἐδογμάτισε σύνοδος, οὕτως ἡ δευτέρα ἐθέσπισεν, οὕτω παρέδωκεν ἡ τρίτη, οὕτως ἐκήρυξεν ἡ τετάρτη, οὕτως ἐβεβαίωσεν ἡ πέμπτη, οὕτως ἐκύρωσεν ἡ ἕκτη, καὶ ἐπεσφράγισε λαμπρῶς ἡ ἑβδόμη, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἀραρότως ἐκπορεύεσθαι δογματίσασαι, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ· καὶ τοὺς μὴ οὕτω φρονοῦντας, τῷ ἀναθέματι παραπέμψασαι. Ἐν γὰρ ταῖς προῤῥηθείσαις συνόδοις, οὐ δέκα καὶ εἴκοσιν ἄνδρες τριοβολιμαῖοι, τυχὸν, ἢ ἀγοραῖοι, καὶ γωνίας ἄξιοι συνηθροίσθησαν, ἀλλὰ κρείττους χεδὸν ἀριθμοῦ, ὄργανα πάντες τοῦ Πνεύματος. Ὅτι δὲ πάντες μίαν ἐκέκτηντο δόξαν ἴσην καὶ τὴν αὐτὴν, καὶ τοῖς μετ' ἔπειτα οἱ πρότερον, καὶ τοῖς προτέροις οἱ μετὰ ταῦτα, τῶν ἐν τῇ
» ἑβδόμῃ συνόδῳ πατέρων τὸν ὅρον ἀκούσατε. Ἡμεῖς φησὶ
» τῇ ἀρχαίᾳ θεσμοθεσίᾳ τῆς Καθολικῆς ἐκκλησίας ἐπα-
» κολουθοῦμεν· ἡμεῖς τοὺς θεσμοὺς τῶν Πατέρων φυλάττο-
» μεν· ἡμεῖς τοὺς προστιθέντας τὶ, ἢ ἀφαιροῦντας ἐκ τῆς
» ἐκκλησίας ἀναθεματίζομεν. Βαβαί! τίσι δεῖ προσέχειν τὸν νοῦν; τούτοις τοῖς τοσούτοις καὶ τοιούτοις, καὶ μετὰ τοσαύτης ἀπειλήσασι τῆς ἰσχύος, καὶ τῆς πνευματικῆς ἐξουσίας, ἢ τοῖς πειθανολογοῦσι τὸ τήμερον; ἆρ' οὐ τῷ τοιούτῳ ἀναθέματι περιπεσεῖν ἡμᾶς βούλονται οἱ προτρεπόμενοι προστιθέναι τὸ, καὶ ἐκ τοῦ Υἱοῦ; πλὴν αὕτη μὲν ἡ προῤῥηθεῖσα ἑβδόμη σύνοδος, κατὰ τὸ ἐξακισχιλιοστὸν διακοσιοστὸν ἐννενηκοστὸν ἕκτον ἔτος συναθροισθεῖσα, κατὰ τὸ ὄγδοον ἔτος δηλαδὴ τῆς βασιλείας Κωνσταντίνου καὶ τῆς μητρὸς αὐτοῦ Εἰρήνης, τοῦτον τὸν ὅρον ἐξέθεντο, τοὺς ἐνεστῶτας, ὥσπερ τοὺς ἐπελθόντας καὶ τοὺς μέλλοντας ὀρθοδόξους, ἐνὶ ὅρῳ γνωρίσασα, καὶ τοῦτον ἐπισφραγίσασα. Ὁ δὲ μάλιστα νῦν εἰς ἔλεγχον μὲν ἑτέρων, εἰς ἡμετέραν δὲ συνηγορίαν φέρει, ὡς ἐκ τῶν οἰκείων καιρίων

βάλλον

ποιῆσαι ἀποθρασυνθείη, κατάκριτος καὶ πάσης χριστιανικῆς ὁμολογίας ἀλλότριος· τὸ γὰρ ἀφελεῖν ἢ προσθῆναι, ἀτελῆ τὴν εἰς τὴν ἁγίαν Τριάδα, μέχρι σήμερον ἄνωθεν κατιοῦσαν ὁμολογίαν ἡμῶν δείκνυσι, καὶ τῆς τε Ἀποστολικῆς παραδόσεως, καὶ τῆς τῶν Πατέρων διδασκαλίας καταγινώσκει. Καὶ ταῦτα μὲν ἐν τοῖς πρακτικοῖς τῆς συνόδου ταύτης ἐκφέρεται, οἷς πᾶσιν, οἵτε τοποτηρηταὶ τοῦ Ῥώμης ὑπέγραψαν, καὶ πάντες οἱ τῆς δύσεως τοῖς γεγραμμένοις ἠρέσθησαν.

Καὶ Φωτίῳ δὲ ὁ προῤῥηθεὶς ἁγιώτατος Πάπας Ἰωάν-
„ νης ἐπιστέλλων τοιάδε φησὶ, „ πάλιν οὖν παραδηλοῦμεν τῇ
„ αἰδεσιμότητί σου, ἵνα περὶ τοῦ ἄρθρου τούτου, δι' ὃ συνέβη
„ τὰ σκάνδαλα μέσον τῶν ἐκκλησιῶν τοῦ Χριστοῦ, ἔχῃ πλη-
„ ροφορίαν εἰς ἡμᾶς, ὅτι οὐ μόνον οὐ λέγομεν τοῦτο, ἀλλὰ
„ καὶ τοὺς πρώτως θαῤῥήσαντας τῇ ἑαυτῶν ἀπονοίᾳ τοῦτο
„ ποιῆσαι, παραβάτας τῶν θείων λογίων κρίνομεν, καὶ
„ μεταποιητὰς τῆς θεολογίας τοῦ δεσπότου Χριστοῦ, καὶ τῶν
„ ἁγίων Πατέρων, οἱ συνοδικῶς συνελθόντες παρέδωκαν
„ ἡμῖν τὸ ἅγιον σύμβολον, καὶ μετὰ τοῦ Ἰούδα αὐτοὺς τάτ-
„ τομεν· ἀκούεις φρικωδεστάτην ἀπόφασιν; ὦ φείσαι Κύριε
Σῶτερ καὶ Θεὲ τῶν ἁπάντων καὶ ῥύσαι τοιαύτης μερίδος
πάντα χριστιανὸν σωθῆναι σπουδάζοντα! αὕτη οὖν πασῶν
μάλιστα τῶν συνόδων, περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκ-
πορεύσεως, ἡμῖν καὶ τῇ ἀληθείᾳ συνηγορεῖ· οὐ μόνον ὅτι
ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων, καὶ οἰκουμενικὴ, καὶ
γὰρ καὶ ἄλλαι· ἀλλ' ὅτι τὸν τῆς ῥώμης ἁγιώτατον Πά-
παν κρινόμενον εἶχεν, ὥσπερ καὶ ἀπολογούμενον, καὶ
ἐπικυροῦντα τὸ ἡμέτερον δόγμα, καί γε οὐ μόνον τῶν ἄλ-
λων, ἀλλὰ καὶ τῆς κατ' αὐτὸν ἐκκλησίας, καὶ τῶν ὑπ'
αὐτὴν, τῆς εἰς τὸ ἑξῆς εὐσεβείας ποιούμενον πρόνοιαν,
καὶ τοὺς νῦν καινοφωνοῦντας προαναστέλλοντα κηδεμονικῶς·
καὶ τὸ δὴ θαυμαστὸν, μᾶλλον δ' εἰς πίστωσιν ἱκανὸν, ὅτι
ἔκτοτε καὶ μέχρι τοῦ Χριστοφόρου Πάπα, ἔτη παρῆλθε
τριάκοντα πρὸς τοῖς ἑκατὸν, ἐν οἷς πάντες οἱ κατὰ καιρὸς τῆς Ῥώμης ἐπίσκοποι, καὶ οἱ σὺν αὐτοῖς, ἡμῖν ἐν

ἅπασι

„ δεδώκαμεν, ἵνα ὁ γινώσκων ἑαυτὸν χριστιανὸν ἐκεῖνο φυ-
„ λάττῃ, ὅπερ παρὰ τῶν Ἀποστόλων παρεδόθη, λέγοντος
„ τῷ ἁγίῳ Παύλῳ, εἴτις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ πα-
„ ρελάβετε, ἀνάθεμα ἔστω· ὅτε θεολόγος Γρηγόριος,
ἐπαρᾶται τὰς εὐριπίσας, ἕτω γράφων, „ μὴ ἴδοι ἐω-
„ σφόρον ἀνατέλλοντα, μηδὲ τῆς ἐκεῖσε λαμπρότητος τιὼ
„ δόξαν θεάσηται, ὃς συμμεταβάλλεται τοῖς καιροῖς, ἄλ-
„ λοτε ἀλλοῖος γενόμενος, καὶ περὶ τῶν μεγίστων σαθρῶς
„ βεβουλόμενος. Κελεστῖνος δὲ ὁ θεῖος, Ἐπίσκοπος δὲ καὶ
ἕτος τῆς Ῥώμης, κατὰ Νεστορίου γράφων, „ τίς φησὶ
„ πώποτε ἐκ ἀξιος ἀναθεματισμῷ ἐκρίθη, ἢ ἀφελόντι,
„ ἢ προσιθεὶς τῇ πίστει; τὰ γὰρ μεστῶς καὶ φανερῶς πα-
„ ρὰ τῶν Ἀποστόλων παραδοθέντα ἡμῖν, ἔτε προθήκλυ,
„ ἔτε μείωσιν ἐπιδέχεται. Ἀγάθων δὲ ὁ ἀοίδιμος, Ῥω-
μαίων δὲ καὶ ἕτος Ἐπίσκοπος λῶ, πρὸς τὸς Βασιλέας
Ῥωμαίων ἐπιστέλλων ἀν ἀρχῆς μέρει ποιεῖται, „ ἵνα μη-
„ δὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα σημειωθῇ, μηδ' ἀλλα-
„ γῇ, ἢ προστεθῇ, ἀλλὰ ταῦτα καὶ ῥήμασι καὶ νοήμασιν
„ ἀπαράτρωτα φυλαχθῇ. Σιωπᾷ τέτῳ καὶ ὁ μέγας
Βασίλειος ἀντέλλεται λέγων, „ χρὴ ἀπαράβατον μένειν
„ τιὼ ἀ τῷ ζωοποιῷ Πνεύματι παραδεδομένιν παράδοσιν,
„ ὦ προδιῶάτι, ἢ ἀφελεῖν, ζωῆς ἐστὶ τῆς ἀιδίς προδήλως
„ ἔκπλωσις· εἰ γὰρ ἄλλοτε ἄλλας δεῖ πίστεις συγγράφειν,
„ καὶ μετὰ τῶν καιρῶν ἀλλοιᾶθαι, ψεῦδης ἡ ἀπόφασις
„ τῷ εἰπόντος, εἷς Κύριος, μία πίστις, ἀ βάπλισμα· καὶ
„ πάλιν, ζήκετε κρατῆντες τὰς παραδόσεις ἃς παρελά-
„ βετε, εἴτε διὰ λόγς, εἴτε δι' ἐπιστολῆς· καὶ αὖθις κἂν
„ ἡμεῖς, κἂν ἄγγελος ἐξ ὐρανᾶ εὐαγγελίσηται ὑμῖν, παρ'
„ ὃ παρελάβετε, ἀνάθεμα ἔστω· καὶ μάλα εἰκότως· εἰ
„ γὰρ πιστὸς μὲν ὁ Κύριος ἀ πᾶσι τοῖς λόγοις αὐτᾶ, πίστις
„ δὲ πᾶσαι αἱ ἀντολαὶ αὐτᾶ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα
„ τᾶ αἰῶνος, πεποιημέναι ἀ ἀληθείᾳ καὶ εὐθύτητι, φα-
„ νερὰ πίστεως ἔκπλωσις, καὶ ὑπερφανείας κατηγορία, ἢ
„ ἀθετεῖν τι τῶν γεγραμμένων, ἢ ἐπεισάγειν τι τῶν μὴ
„ γεγραμμένων. Καὶ Διονύσιος ὁ τὰ θεῖα πολὺς, καὶ κα-
„ θόλε ὀ τολμητέον εἰπεῖν, ἔτε μιὼ ἀνοῆσαι περὶ τῆς

ὑπερσοῖσ

ἑκατέρωθεν τὰς ὄρας ἐσὶν ἀθετεῖν, ἔκτε τῇ προσιθέναι τέτοις καὶ ἀφαιρεῖν· καὶ μήτοι νομίσητε τὸ κατὰ τὸν προσθήκην ἔγκλημα τῦτο τῇ κατ' ἀφαίρεσιν τολμήματος ὑστερεῖν· ἐδὲν τῦτο διαφέρει ἐκείνε, εἰς μετάθεσιν πίστεως· ἐπεὶ ὁ εἰπὼν μὴ ἀφέλης ἐν τέτοις τὸ μὴ προσθήσης τῦτο προσέταξεν. Ἀλλὰ καὶ ἀμφότερα ταῦτα, τῆς τῶν παραδιδομένων μεταποιήσεως ἢ διαφθορᾶς, ἐδὲν, ἢ μικρὸν δεύτερον ἔχει· προσθήκη γὰρ, ἢ ἀφαίρεσις, ἢ μεταποίησις, ἢ διαφθορά, μὴ μόνον τὸ δέτι δόγμα, ἢ τινὰ δέτινα πίστιν, ἀλλὰ καὶ πᾶν πρᾶγμα ᾧ ἂν ἐπιγένηται, ἀλλοῖ καὶ μεθίστησιν.

Ἐπιστήσαντες τοίνυν ἐκ τέτων, ὅτι τὸ προσιθέναι τι τῇ πίστει, τῆς παραδόσεως πάντων τῶν ἁγίων ἐναντιότης ἐστὶ, καὶ τῆς ὀρθοδόξε πίστεως ἀνατροπὴ, φεύγετε τῦτο λοιπόν· ἠκέσατε τινὸς ζημίαν; μὴ ζημιωθῆτε δι' ὀλίγον τινὸς σωτηρίας· ἢ τάχα μικρόντι πρᾶξαι νομίζετε τὸν τοιῦτο τολμήσαντά τι, τιμωρίας δὲ τῇ τυχέσῃ ὑποκεῖσθαι τὸν τοσέτων σκανδάλων αἴτιον οἴεσθε; „ εἰ γὰρ τῷ μόνον ἕναπε τῶν μικρῶν σκανδαλίζοντι, ὡς ὁ Κύριος λέγει, συμφέρει ἵνα κρεμασθῇ μύλος „ ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτῦ καὶ καταποντισθῇ ἐν τῷ „ πελάγει· καὶ πάντες δὲ ὅσοι τύπτεσι τινὸ σωμείδησιν „ τῶν ἀδελφῶν, εἰς αὐτὸν ἁμαρτάνεσι τὸν Χριςὸν, ὁ τοσαύτας μυριάδας σκανδαλίσας, καὶ τὰς νῦν καὶ τὰς μέλλοντας, τό γε εἰς αὐτὸν ἧκον συγχέοντε καὶ μερίζων, τί πέσεται; καὶ εἰ διὰ πλᾶσμα τὸ τυχόντις τῶν κατὰ διαφόρες καιρὲς καὶ τόπες Ἐπισκόπων, ἀφορίσας τινὰς τῶν ἀνθρώπων ἐξορίσες πεποίηκε τῦ Θεῦ, ὃν τοσῦτοι καὶ τοιῦτοι, μᾶλλον δὲ πάντες ἅγιοι ἀφορίζεσι, διὰ τινὸ ἐπὶ τῇ πίστει καινοτομίαν, πῦ τάξεται εἰπέμοι; πῦ ςήσεται; Καὶ μικὸ καὶ τινὸ τῦ κακῦ Φορᾶν, εἴτις δυνάμενος ἐπισχεῖν, καὶ τὸν διερχόμενον συρράψαι χρισῦ χιτῶνα, ὃ κέχρηται τῇ δυνάμει, ἀλλὰ παροράᾳ κακῶς ἔχοντα, καὶ διαφθειρομένε ὑπὸ τῆς διασάσεως τινὸ ἐκκλησίαν, ὑπὲρ ἧς ὁ δεσπότης ἐξέχεε τὸ ἴδιον αἷμα, ταῖς αὐταῖς, οἶμαι, κολάσεσιν ἔνοχος ἔσαι, καὶ πολλᾷ μᾶλλον,

βάθη τῦ Θεῦ ἐρευνῶντος Πνεύματος ἑαυτὸν οἴεται, καὶ παιδάζει ἀνδείκνυθαι, ὅπερ πάσης μανίας ἐπέκεινα· ἀλλὰ τάτων μὲν ἄλις· ἵνα δὲ ὁ λόγος ἡμῖν πάλιν εἰς τὴν προτέραν ἀκολυθίαν ἐπανέλθῃ ἐκεῖνο προθέντες τῆς ἐπικαίρε πρὸς ὑμᾶς ὑποθήκης ἀψόμεθα.

Ὅτι ἐχ ὡς ἄντις νομίσῃ, σαθρόντι καὶ ἀμφιγνοέμενον δόγμα πλετῦμεν ἡμεῖς, ἢ πρὸς ὀλίγων καὶ τῶν τυχόντων βεβαιωθὰ, ἀλλ' ὅπερ Προφῆται μὲν πάλαι προεκήρυξαν, Ἀπόστολοι δὲ τῇ οἰκεμένῃ πάσῃ ἐδίδαξαν, Μάρτυρες τυράννων ἐνώπιον ὡμολόγησαν, Διδάσκαλοι πάντες τανῦς διεσάφησαν, ὁ Χριτὸς παρέδωκε, τὸ Πνεῦμα τὸ ἅγιον ἐπεσφράγισεν, ὁ Θεὸς καὶ Πατὴρ ἐν πᾶσι καὶ διὰ πάντων προσεμαρτύρησε, καὶ ἡμεῖς διὰ τῶν ἀναγγειλάντων Πατέρων παραλαβόντες φυλάτλομεν ἀπαράτρεπτον. Λοιπὸν εἴτις ταύτης ἡμᾶς τῆς ὀρθοδοξίας καινοῖς λόγοις πειρᾶται ἀπαγαγεῖν, γυμνῇ τῇ κεφαλῇ, καὶ λαμπρᾷ τῇ φωνῇ εἰπάτε πρὸς αὐτὸν μάλα τεθαρρηκότες· ἡμεῖς μέλη ἐσμὲν ἀλλήλων, τῇ τῆς ἐκκλησίας ἡμῶν κεφαλῇ σωαρμολογηθέντα διὰ τῦ θείε βαπτίσματος, καὶ ἡμεῖς τῇ τῦ Χριτῦ λογικῇ καὶ ὀρθοδόξῳ ἀγέλῃ θρέμματα ἐσμὲν σωτατλόμενα, καὶ ὑπ' αὐτῦ σεσημασμένα καὶ ποιμαινόμενα· ἡμεῖς διὰ τὸν Κύριον Ἰησῦν δῦλοι ἐσμὲν τῦ κατὰ καιρὸς οἰκεμενικῦ, καὶ ὀφείλομεν λοιπὸν ἀδενὶ ὑπακέειν ἑτέρῳ, ἐπίσης σοφῷ καὶ ἀσόφῳ, ἰδιώτῃ καὶ ἄρχοντι, ἀλλ' ἢ τῷ Κυρίῳ ἡμῶν· ἀ τάτῳ ἃ γνωρίζομέν σε ποιμένα, ἀλλοτρία γάρσε ἡ φωνή· ἐκ οἴδαμέν σε κύριον, τὶ ἡμῖν ἐπιτάτλεις; τὶ δὲ τὴν κεφαλὴν ἀφεὶς, ὡς ἀθενεστέροις ἡμῖν μέλεσι πεῖραν προσάγεις δεινὴν, εἰ τῆς τῶν Πατέρων ἐχόμεθα πίτεως; τὶ παρεὶς τὲς Πατέρας, ἡμῖν πολεμεῖς; ὡς ἂν εἴτις μὴ δυνάμενος τῷ κυρίῳ πρὸς πάλιν ἐλθεῖν, ἰχυΐ πάσῃ τῷ τάτε δέλῳ ἐπιταθείη· ἢ τῦδε τὴν πόλιν μηχανῇ πάσῃ ἑλεῖν ἀτονῶν, τοῖς ἀγροῖς ἐπιτρέχοι τυραννικῶς τοῖς αὐτῦ· εἰ δὲ τὴν σαυτῦ ἐν τοῖς λόγοις ἰχὺν ἐπιδείξαθαι βάλει, ἔχεόνσε τὴν σοφίαν ἐπὶ τὲς μὴ εἰδό-

βειαν, ἀσάλευτον καὶ βεβαίαν τὴν πίστιν τηρήσωμεν, αἱδεσθῶμεν τοὺς Πατέρας, εὐλαβηθῶμεν τοὺς Ἁγίους, φοβηθῶμεν τὸν Κύριον, καὶ μὴ τὴν ἡμῶν σωτηρίαν προδῶμεν· οὐδεὶς ἡμᾶς ἀναγκάζει, οὐδεὶς βιάζεται προφανῶς, ἂν μὴ ἡμεῖς τοῦ καλοῦ τῆς ἐκκλησίας πληρώματος ἡμᾶς αὐτοὺς ἀποστήσωμεν. Στῶμεν λοιπὸν ἀνδρείως, καὶ οὐδεὶς ἡμᾶς ἀνατρέψαι δυνήσεται· καὶ ταῦτα συνεργοῦντος ἡμῖν ἐν πᾶσιν ἀγαθοῖς τοῦ Θεοῦ. Καὶ ταῦτα μὲν ὑπέμνησα τῇ ὑμετέρᾳ ἀγάπῃ, ἵνα καὶ ἐν ὑμῖν αὐτοῖς καὶ πρὸς τοὺς ἔξω εἰρήνην ἔχητε πάντες· πρὸς μὲν τοὺς ἔξω, τῷ τὰς ἐπεισάκτους προτάσεις, αἳ τὰς ἀκαίρους μάχας καὶ τὰς ἔρεις ἀπογεννῶσι μηδαμῶς παραδέχησθε, ἐν ἑαυτοῖς δὲ, τῷ μηκέτι ἀμφίβολον περὶ τὸ δόγμα κεκτῆσθαι τὸ φρόνημα, ἀλλ' ὡς ἔδει βεβαιωθέντας, ἀπαρατρέπτους μένειν εἰς τὸ ἑξῆς.

Πλὴν σπουδάσωμεν σὺν τῷ εἶναι ὀρθόδοξοι, καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ ποιεῖν· ὅτι αἱ τοῦ Θεοῦ ἐντολαὶ ὑπὲρ πάντας τοὺς θησαυροὺς τοῦ κόσμου, καὶ ὁ ταύτας κτησάμενος ἐντὸς αὐτοῦ εὑρήσει τὸν Κύριον· ἐλάβομεν γὰρ ἐντολὰς παρὰ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, τὰς ἀπ' ἐντεῦθεν θεουργούσας καὶ ποιούσας ἡμᾶς ἀναμαρτήτους διάγειν, καὶ ὡς ἀγγέλους ἀναστρέφεσθαι μετὰ τῶν ἀνθρώπων· οἷον τὴν μετάνοιαν, τὴν ταπεινοφροσύνην, τὸ διηνεκὲς πένθος, τὴν πρὸς Θεὸν ἀγάπην τὴν ἐξ ὅλης καρδίας ἐγγινομένην, καὶ τὴν πρὸς τὸν πλησίον διάθεσιν, τὴν καθαρὰν προσευχὴν, καὶ τὴν ἑαυτῶν ἀπάρνησιν, καὶ τὸ δι' ὅλου πρὸ ὀφθαλμῶν ἔχειν τὸν ὑπὲρ αὐτοῦ θάνατον, καὶ ἐν τῷ φωτὶ αὐτοῦ ἀδιαλείπτως πορεύεσθαι, καὶ τὸ ἔχειν ἑαυτοὺς ὑποκάτω πάσης κτίσεως, καὶ δέεσθαι τοῦ Θεοῦ διηνεκῶς· ταύτας γὰρ τὰς θείας ἐντολὰς ὁ μετὰ πίστεως ὀρθῆς ἐργαζόμενος, Θεοῦ Υἱὸς γίνεται, καὶ Υἱὸς φωτὸς, καὶ κληρονόμος Θεοῦ, καὶ συγκληρονόμος Χριστοῦ, καὶ σύμμορφος τῆς εἰκόνος αὐτοῦ, καὶ σύμφυτος καὶ σύσσωμος, καὶ ἁπλῶς εἰπεῖν, θέσει καὶ κατὰ χάριν Θεός. Εἰσὶ δὲ καὶ ἕτεραι ἐντολαὶ τοῦ Χριστοῦ, αἱ ἄφεσιν

μὲν

ἀκλίσιν ὑπερλαμπόμεναι, τὴν καθ' ἑαυτὰς χάριν ἀμυδροτέραν παρέχονται· ἐ γὰρ χολὴ καταλιπόντας τὰ ὑπερβάλλοντα ἐκ τῶν ἐλαττόνων μετρεῖν τῷ Δεσπότῃ τὴν ἀγαθότητα· σιωπάσθωσαν τοίνυν ἡλίου ἀνατολαὶ, καὶ σελήνης περίοδοι, κράσεις ἀέρων, ὡρῶν ἀλλαγαὶ, ὕδωρ ἀπὸ νεφῶν, καὶ ἀπὸ γῆς ἕτερον, γῆ σύμπασα καὶ τὰ ἐκ γῆς φυόμενα, αὐτὴ ἡ θάλασσα, καὶ τὰ ἐν τοῖς ὕδασι διαιτώμενα, τὰ ἐν ἀέρι γένη, αἱ μυρίαι τῶν ζώων διαφοραὶ, πάντα τὰ πρὸς ὑπηρεσίαν τῆς ζωῆς ἡμῶν τεταγμένα.

Ἀλλ' ἐκεῖνο ἐδὲ βελομένοις παρελθεῖν δυνατόν· καὶ σιωπῆσαι μὲν τὴν χάριν τῷ γε νῦν ὑγιᾶ καὶ λόγον ἔχοντι παντελῶς ἀμήχανον, εἰπεῖν δέ τι πρὸς ἀξίαν πλέον ἀδυνατώτερον, ὅτι κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν ποιήσας τὸν ἄνθρωπον ὁ Θεὸς, καὶ τῆς ἑαυτοῦ γνώσεως ἀξιώσας, καὶ λόγῳ παρὰ πάντα τὰ ζῶα μόνον κατακοσμήσας, καὶ τοῖς ἀμηχάνοις τοῦ παραδείσου κάλλεσιν ἐντρυφᾶν παραχόμενος, καὶ τῶν ἐπιγείων ἁπάντων ἄρχοντα καταστήσας, εἶτα κατασοφισθέντα διὰ τοῦ ὄφεως καὶ καταπεσόντα εἰς τὴν ἁμαρτίαν, καὶ διὰ τῆς ἁμαρτίας εἰς τὸν θάνατον, καὶ τὰ τότε ἄξια, ἐ περιεῖδεν· ἀλλὰ τὰ μὲν πρῶτα, νόμον ἔδωκεν εἰς βοήθειαν, ἀγγέλους ἐπέστησεν εἰς φυλακὴν καὶ ἐπιμέλειαν, προφήτας ἐξαπέστειλεν εἰς ἔλεγχον κακίας καὶ διδασκαλίαν ἀρετῆς, τὰς ὁρμὰς τῆς κακίας ταῖς ἀπειλαῖς ἀνέκοψε, τῶν ἀγαθῶν τὴν ἐργασίαν ἐπαγγελίαις διήγειρε, τὸ πέρας ἑκάστε πολλάκις, ἐν διαφόροις προσώποις εἰς νουθεσίαν τῶν ἄλλων προλαβὼν ἐφανέρωσε· καὶ ἐπὶ τούτοις καὶ τοῖς τοιούτοις ἅπασιν ἐπιμένοντας τῇ ἀπειθείᾳ ἐκ ἀπεγράφη· ἐ γὰρ ἀφείθημεν ὑπὸ τῆς ἀγαθότητος τοῦ δεσπότου, ἐδὲ ἀνέκοψεν αὐτοῦ τὴν εἰς ἡμᾶς ἀγάπην, ἀναισθησίᾳ τῶν τιμῶν, ἢ τὸν Δεσπότην περιϋβρίσαμεν, ἀλλ' ἀνεκλήθημεν ἐκ τοῦ θανάτου, καὶ ἐζωοποιήθημεν πάλιν ὑπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾧ καὶ ὁ τρόπος τῆς Δεσποτείας, μειζον ἔχει τὸ θαῦμα· „ἐν μορφῇ γὰρ Θεοῦ ὑπάρχων,

„ἐχ

αἱ τῦ Θεῦ ἐντολαὶ ταῖς ἐμπαθέσι ψυχαῖς· κἂν μὴ πάσας δυνήταί τις τηρῆσαι, ἡ τῆς ἀγάπης κατ' ἐνέργειαν τήρησις, τῶν λοιπῶν ἐστὶ πρᾶξις πεπληρωμένη· καὶ πᾶσα πρᾶξις ἀγαθὴ καρπὸς ἐστὶν ἀγάπης. Ὅτι μὲν τοῖς ἄλλοις τὸ μέτρον ἄριστον, ἐν δὲ τῇ ἀγάπῃ ὁ τὸ πλέον ἔχων θεοφιλέστατος· μέγιστον μὲν καὶ τὸ τὰ ἐλάττονα μέρη τῆς ἀρετῆς κατορθῦν, πολλῷ δὲ μεῖζον, τὸ ἐν τῷ ἀκροτάτῳ πάντων, εἶναι πάντων ἀκρότατον. Ἄλλοι ἦν ἄλλα τίμια δῶρα Θεῷ προσάγωσι, σὺ δὲ ἐναντι πάντων εἰστήνεγκε τιὼ πρὸς πάντας ἀγάπιω, ἣ χαίρει Θεὸς μᾶλλον, ἢ πᾶσιν ὁμῦ τοῖς ἄλλοις, δῶρον ἴδιον, δῶρον ἄμωμον, δῶρον ἀγάπιω Θεῦ προσκαλέμενον· καὶ μὴ ἀλλάξῃς τιὼ ἀγάπιω τῦ ἀδελφῦ σε, ἀγάπῃ τινὸς τῶν γηΐνων πραγμάτων· διότι τῶν πάντων τιμιώτερον λελησθότως εἴδοθεν κέκληται· ἐκ γὰρ τῦ πλησίον ἐστὶν ἡ ζωὴ καὶ ὁ θάνατος· ἐὰν γὰρ κερδήσωμεν τὸν ἀδελφὸν, Χριστὸν τὸν Θεὸν κερδαίνομεν, καὶ ἐὰν σκανδαλίσωμεν τὸν ἀδελφὸν, εἰς Χριστὸν ἁμαρτάνομεν· διά τοι τῦτο εἰ τιὼ ἀγάπιω τωόντι προσκτήσασθαι θέλῃς, μὴ ὅ,σοι δοκεῖ, ἀλλὰ πᾶν ὅ, τῷ πλησίον ἀρέσκει, ἂν μὴ πόρρω Θεῦ βάλῃ, ἔτω καὶ λέγε καὶ ςέργε καὶ πρᾶτε ὡς σον καταθύμιον, καὶ μὴ ζήτει τὸ σὸν ἵνα εὑρῇς τὸ σόν· ὁ γὰρ ζητῶν τὸ ἑαυτῦ ἐχ ὑρίσκει τὸ ἑαυτῦ· τὸ γὰρ οἰκεῖον συμφέρον, ἐν τῷ συμφέροντι κεῖται τῦ πλησίον· καὶ τὸ ἐκείνε πάλιν ἐν σοί· καὶ τοιῦτος γίνε τοῖς πᾶσιν, οἵῦς σεαυτῷ τὺς πάντας θέλεις.

Τῦτο δὲ τὸ τῆς ἀγάπης μέρος, ἔτε διδασκάλε δεῖται πρὸς δεῖξιν, ἔτε λόγε πρὸς μάθησιν· ἔτως ἐστὶ πᾶσι καὶ γνώριμον εἰς γνῶσιν, καὶ πρόχειρον εἰς κατόρθωσιν. Κἀγὼ πολλῶν ἤκυσα πολλάκις λεγόντων, πῶς ποτε δυνησόμεθα τιὼ γέενναν ἐκφυγεῖν, καὶ σωτηρίας ὁ λέγετα μεταχεῖν, τοσέτων ἐντολῶν εἰς ἐργασίαν ἡμῖν προκειμένων; τὶς δυάται πάσας ὡς χρὴ φυλάξαι, ἢ ἀριθμῆσαι κἂν γᾶν; ἔτως εἰσὶ δυσκατόρθωτοι, καὶ ἀριθμεῖθαι ἐκ ὀχερεῖς· οἷς ἡδέως ἀντεῖπον ὠθύς· καὶ ποῖον κόπον, ἢ ποίαν δαπάνιν ἢ δυχέρειαν ἔχει τὸ πάντα ἀνθρω-

ΛΟΓΟΣ Θ.

ΠΕΡΙ ΤΗΣ ΘΕΙΑΣ ΤΡΙΑΔΟΣ,

Λαληθεὶς ἐν τῷ βασιλικῷ Κοιτῶνι· ἀποδεικνύων σαφέστατα ὅτι τὸ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεσθαι, οὐχὶ τὴν τῆς ὑποστάσεως πρόοδον, ἀλλὰ τὴν πρὸς ἡμᾶς χορηγίαν σημαίνει τοῦ Πνεύματος.

Θαῤῥούντως μοι τὴν ἐλπίδα ἐπὶ τὴν τοῦ παρακλήτου Πνεύματος βοήθειαν τιθεμένῳ, καὶ τὰ πνευματικὰ λαμβάνοντι ὅπλα, τὰ τοὺς λογισμοὺς καθαιροῦντα, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, μηδείς μου καταβοάτω, ὅτι τῇ τῶν Πατέρων πανοπλίᾳ φραξάμενος, ὡς οἰκείαις κατεπαίρομαι, ταῖς ἐκ τῶν ὅπλων τούτων ἀνδραγαθίαις· ἢ πάντων ἂν ἦν σχετλιώτατον, ἄλλους μὲν οὕτως εὐκόλως πρὸς τὸν τῆς προσθήκης λόγον ἀποθρασύνεσθαι, ὡς καθοπλίσαντας ἑαυτοὺς τοῖς τῶν ἁγίων λόγοις ἡμῖν ἐπιέναι, καὶ μέγα θαῤῥεῖν, ὡς δῆθεν μετὰ τῶν διδασκάλων ἀπαντῶντας σαφῶς, ἡμᾶς δὲ ἀληθείᾳ, οὐχὶ δοκήσει, προασσιστὴν καὶ συνήγορον ἔχοντας τὴν αὐτοαλήθειαν, ὀκνεῖν τὸν λόγον διακονεῖν, τὸν ἐκ τῆς τῶν Πατέρων παραδόσεως πρὸς ἡμᾶς, ἀκολουθίᾳ μνήμης, καὶ γραφικοῖς διδάγμασιν ἤδη διασωθέντα. Ἀλλὰ καὶ πρὸς τῶν ἁγίων, οἶμαι, τῆς τῶν ὅπλων ἕνεκα τούτων περιβολῆς, ὡς ἰδίοις δήπουθεν κοσμουμένοις,

δώσειε τέτες, τρέπων εἰς δέθεα τὰ σκολιὰ, καὶ πληρῶν τὰς ἐλλιπεῖς τῶν γνώσεων φάραγγας, καὶ λείας ἡμῖν ἀπεργαζόμενος τὰς τραχείας τῶν λόγων ὁδές.

Τί ἔν ἐςὶ τὸ νῦν καθ' ἡμῶν προτεινόμενον; προσέχετε· ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς δι' Υἱῦ ἐκπορδέεται, δόξα τῆς ἐκκλησίας κοινή· τέτο δὲ ταὐτὸν ἐςὶ τῷ ἐκ Πατρὸς, καὶ Υἱῦ καθ' ὑπόςασιν ἐκπορδέεθαι· τὸ Πνεῦμα ἄρα τὸ ἅγιον ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ ἐκπορδέεται· οἷς ὡς ἔγωγε οἶμαι, ἕτω χρὴ ἀπαντᾶν. τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῦ Πατρὸς δι' Υἱῦ ἐκπορδέεθαι λέγεται παρὰ πολλῶν διδασκάλων, ἔχ ὅτι τέτο ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ ἐκπορδέεται καθ' ὑπόςασιν· ἄπαγε. ἀλλ' ὅτι τὸ ἐκπορδέεθαι τέτο, ὡς τὸ διϊέναι καὶ πέμπεθαι καὶ δίδοθαι ἀναῦθα ἐξείληπται· καὶ τέτο σαφῶς ἀποδείξαι διωάμεθα σωαιρεμένε Θεῦ, εἰ διωηθείημεν ἐξηγητὰς παρασῆσαι τῆς θεολογικῆς ταύτης ῥήσεως, αὐτὸς ἐκείνες τὸς ταύτιν πολλαχῦ τῶν ἑαυτῶν συγγραμμάτων εἰπόντας ἀγίᾳ τινὶ φωνῇ· ἂν γὰρ τέτο γένηται, καὶ τῶν ἁγίων ἕκαςος παρελθὼν εἰς μέσον ἑαυτὸν ἐξηγήσηται, καὶ οἱ λοιποὶ πάντες τέτο σωηγορῶσι, καὶ τινὶ ἐκ Πατρὸς δι' Υἱῦ τὸ Πνεῦμα ταύτιν φωνὴν, εἰς τινὰ αὐτὴν καὶ μίαν ἔννοιαν ἅπαντες ἐκλαμβάνωσι, τὶς τοσῦτον ἐκτραπήσεται τῶν ἰδίων φρενῶν, ὥτε λοιπὸν ἄλλοτι βέλεθαι καὶ φρονεῖν παρὰ τινὶ ἐκείνων ἐξήγησιν; Ἀλλὰ τίνες εἰσὶν οἱ ἐξ ἀρχῆς ταύτιν εἰπόντες καὶ ἐξηγησάμενοι τινὶ φωνῇ; καὶ πῶς ποτε γνώμης ἔχσι περὶ τῦ προκειμένε ζητήματος; καὶ τί βέλεται τέτοις ἡ ἐκ τῦ Πατρὸς διὰ τῦ Υἱῦ τὸ Πνεῦμα χρῆσις αὕτη, ἤδη λέγομεν, καὶ προσέχετε.

Οἱ μὲν δὴ ταύτιν εἰπόντες, ἕτοί εἰσι· τὸ Πνεῦμα τὸ ἅγιον, ἡ Θεοτόκος Μαρία, ὁ Δαγγελιςὴς Ἰωάννης, Γρηγόριος ὁ θαυματεργὸς, Κύριλλος ὁ τῆς Ἀλεξάνδρε, ὁ Νυσσαέων Γρηγόριος, Ἀθανάσιος ὁ πολύτλας, ὁ μέγας Βασίλειος, ὁ μέγιςος Μάξιμος, Ἀνδρέας ὁ Κρήτης, ὁ Δαμασκηνὸς Ἰωάννης, καὶ πᾶς ὁ τῶν σεπτῶν διδασκάλων

πληθιωτικῶς ποτὲ λέγεται· ἀλλ' ὅπε ἂν εὑρηται τᾶτο ἐν πάσῃ τῇ θείᾳ γραφῇ, ἢ περὶ τᾶ Πατρὸς μόνου, ἢ περὶ τῶν τριῶν ἅμα προσώπων σὺνικῶς πάντοτε λέγεται· ἐνταῦθα γᾶν τὸ ἐκ Θεᾶ τετὶ ὄνομα, περὶ τᾶ Πατρὸς μόνε λέγεται.

Δεύτερος δὲ μαρτυρήσων παρίτω ὁ τλὺ ἀξίαν ἐ δεύτερος, Ἀθανάσιος ὁ τὰ θεῖα πολύς· „ ἔτος ἦν ἐν τοῖς „ πρὸς Σεραπίωνα, νῦν μὲν φησὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὃ „ παρὰ τᾶ Πατρὸς ἐκπορεύεται, καὶ δι' Υἱᾶ δίδοται· νῦν „ δὲ, εἰ γὰρ ἐφρόνεν ὀρθῶς καὶ περὶ τᾶ Λόγε, ἐφρόνεν ἂν „ ὑγιῶς καὶ περὶ τᾶ ἁγίε Πνεύματος, ὃ παρὰ τᾶ Πατρὸς „ ἐκπορεύεται, καὶ τᾶ Υἱᾶ ἴδιον ὂν παρ' αὐτᾶ μεταδίδοται „ τοῖς μαθηταῖς, καὶ πᾶσι τοῖς πιςεύεσιν εἰς αὐτόν.

Ὁ δὲ μέγας Βασίλειος ἐν μὲν τῇ πρὸς τὸν ἀδελφὸν „ Γρηγόριον ἐπιςολῇ, ὁ δὲ Υἱὸς τὸ ἐκ τᾶ Πατρὸς ἐκπορεύόμενον Πνεῦμα, δι' ἑαυτᾶ καὶ μεθ' ἑαυτᾶ γνωρίζων φησίν· ἐν δὲ τοῖς ἀντιῤῥητικοῖς, καὶ τὸν ἀπόςολον Παῦλον εἰς τλὺ ἐκ Πατρὸς δι' Υἱᾶ φωνλὺ ταύτλυ μάρτυρα παρεισάγει λέγων, ἐν τῷ τέτων δ'. τὸ μὲν ἐκ Θεᾶ τὸ Πνεῦμα „ εἶναι, τρανῶς ἐκήρυξεν ὁ Ἀπόςολος εἰπὼν, ὅτι τὸ Πνεῦμα τὸ ἐκ τᾶ Θεᾶ ἔλαβε, καὶ τὸ δι' Υἱᾶ πεφωνέναι, „ σαφὲς πεποίηκεν, Υἱᾶ ὀνομάσας αὐτό. Σωίες αὐτὸ ἀκριβῶς, ὅτι Πνεῦμα μὲν τὸ ἐκ τᾶ Θεᾶ, ἤτοι τᾶ Πατρὸς ἀκέει ὁ μέγας τὸ Πνεῦμα ἐνταῦθα· ὡς προσωπικῶς αὐτὸ ἐκ τᾶ Πατρὸς ἐκπορεύεθαι· Πνεῦμα δὲ Υἱᾶ τᾶτο λέγει, ἐχ ὡς ἐξ αὐτᾶ ἐκπορεύόμενον, ἀλλ' ὡς δι' αὐτᾶ τοῖς ἀνθρώποις φανερωθέν· καὶ ταῦτα μὲν ὁ ἐρανοφάντωρ.

Εἰσίτω δὲ καὶ ὁ τὰ αὐτὰ φρονῶν τέτῳ Γρηγόριος, καὶ κατὰ φύσιν αὐτάδελφος αὐτῷ, καὶ ἐξηγείσθω σαφῶς τλὺ ἰδίαν φωνλὺ, καὶ διδασκέτω τὶ βέλεται τέτῳ ἡ διὰ τᾶ Υἱᾶ ἐκ τᾶ Πατρὸς τᾶ θείε Πνεύματος πρόοδος· φησὶ γᾶν ἐν τοῖς κατ' Εὐνομίε, τὸ Πνεῦμα τὸ „ ἅγιον ἕτερον τοιᾶτον φῶς, κατὰ τὸν αὐτὸν τρόπον νοέ-

„ μενον,

„ τὸς ὁ Υἱός· καὶ νῦν μὲν ἐν ταῖς συλλογισικαῖς ἀποδείξε-
„ σιν, ἐκὲν, ἐκ ἀλλότριον τῦ Θεῦ καὶ Πατρὸς, ἔτε μὴν
„ τῦ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐκ Πατρὸς δι' Υἱῦ
„ διαβαῖνον εἰς τὴν κτίσιν· μέτοχος γὰρ ἡ κτίσις ἐχ ἑαυ-
„ τῆς, ἀλλὰ τῦ κατὰ φύσιν ὑπὲρ αὐτὴν, τετέσι τῦ Θεῦ,
„ διὰ Πνεύματος. Καὶ πάλιν· πῶς ἐκ ἔσαι τὸ Πνεῦμα
„ Θεὸς, ὅλλως ἔχον ἐν ἑαυτῷ ἐσιωδῶς τὴν ἰδιότητα τῦ Πα-
„ τρὸς καὶ τῦ Υἱῦ, ὧν καὶ Πνεῦμα ἐςὶ δι' Υἱῦ τῇ κτίσει
χορηγέμενον; νῦν δὲ ἀ τῇ ἐξηγήσει τῦ θείε συμβόλε·
„ προχεῖται μὲν φησὶν, „ ἤτοι ἐκπορεύεται τὸ Πνεῦμα τὸ
„ ἅγιον ἐκ τῦ Θεῦ καὶ Πατρὸς, χορηγεῖται δὲ τῇ κτίσει
„ δι' Υἱῦ· ἀκέεις; αὐτὸ γὰρ τὸ διαιρετικῶς διὰ τῶν σω-
„ δέσμων τὸν λόγον προαγαγεῖν τὸν διδάσκαλον, καὶ εἰπεῖν
„ περὶ τῦ ἁγίε Πνεύματος, ὅτι προχεῖται μὲν, ἤτοι ἐκ-
„ πορεύεται τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῦ Θεῦ καὶ Πατρὸς,
„ χορηγεῖται δὲ τῇ κτίσει δι' Υἱῦ, ἐ σαφῶς φρονέντος
ἐςὶν ἐκ τῦ Πατρὸς μόνε τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα
τὸ ἅγιον; κοινῆς γὰρ ἔσης τῆς τῦ Πνεύματος χορηγίας
Πατρὶ καὶ Υἱῷ, εἰ κοινὴ τέτοις καὶ ἡ ἐκπορευτικὴ ἰδιό-
της ὑπῆρχε, μᾶλλον ὁ μερισμὸς, καὶ ἡ τῦ προχεῖσθαι
ἐξήγησις, καὶ παρὰ τὴν κοινὴν χρῆσιν ἡ τῶν λεγομέ-
νων ἐξαγγελία· ἀλλὰ καὶ πάντες ἁπλῶς οἱ τῆς τῶν ὀρ-
θοδόξων θεολογίας καθηγεμόνες, τῷ διαιρετικῷ τέτῳ
χήματι, ἐν ταύτῃ πολλάκις ἐχρήσαντο, τὰ θεῖα διακ-
ρίνοντες πρόσωπα.

Ὅμως ταυτὰ τέτοις καὶ Ἀνδρέας ὁ Κρήτης, ἐκ τῶν
ἐν τῇ ἕκτῃ συνόδῳ Πατέρων, ἐν τῷ εἰς τὴν Μεταμόρ-
„ φωσιν αὐτῦ λόγῳ φησὶ, „ καὶ γὰρ ἀδ' ἔσιν ἄλλως, ἢ ἐν
„ τῷ Υἱῷ τὸν Πατέρα, ἢ ἐν τῷ Πατρὶ τὸν Υἱὸν ἐνοπτρί-
„ ζεσθαι, ἢ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ, ὃ παρὰ τῦ Πατρὸς
„ ἐκπορεύεται μὲν, Υἱῷ δὲ κατ' ἰσίαν ἐμφιλοχωρεῖ καὶ
„ ἀναπέπαυλαι, καὶ δι' αὐτῦ τοῖς ἀνθρώποις παρέχεται.

Σὺν τέτοις παρίτω ὁ ἐν ὁμολογηταῖς μέγιςος Μά-
ξιμος, καὶ ὁμολογείτω σαφέςατα τίνα περὶ τῆς προκει-
μένης ζητήσεως ἐκέκτητο γνώμην, ἵν' ἐκ περισσοῦ ἡμῖν ὁ

λόγος

τῷ Υἱῷ τὴν αἰτίαν διδόναι τῆς Πνεύματος, διὰ τὸ τὸν θεολογικὸν τοῦτον γνώμονα, τὴν ΔΙΑ συγχωρεῖν μόνον ἐπὶ Υἱοῦ, ἀλλ' ἐχὶ τὴν ΕΚ, διὰ τὸ τὸν Υἱὸν τὴν αἰτίαν μὴ ἔχειν τῆς Πνεύματος.

Ἀλλὰ παρίτω καὶ ὁ πάντων μεταγενέστερος θεολόγος, Ἰωάννης ὁ Δαμασκόθεν, ὃν ἡ τῶν οἰκουμενικῶν συνόδων ἑβδόμη φωστῆρα διαλάμποντα ἐν τῷ κόσμῳ, καὶ λόγον ζωῆς ἐπέχοντα ἀνεκήρυξε, καὶ λεγέτω τι βέλεται τοῦτο τὸ ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ λέγειν τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι· ἔτος ἦν, ἐν μὲν τῇ πρὸς Ἰορδάνῃ μονάζοντα ἐπιστολῇ φησὶ, „ δι' Υἱοῦ δὲ τὸ Πνεῦμα „ τὸ ἅγιον καὶ ἐκ ἐξ Υἱοῦ, ὡς Πνεῦμα στόματος Θεοῦ λόγε „ ἐξαγγελτικόν· ἐν δὲ ιά. Κεφ. τῶν αὐτοῦ Δογματικῶν, „ χρὴ γινώσκειν φησὶν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ „ Πατρὸς λέγομεν, καὶ Πνεῦμα Πατρὸς ὀνομάζομεν, ἐκ „ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, Πνεῦμα δὲ Υἱοῦ, καὶ „ δι' Υἱοῦ πεφανερῶσθαι καὶ μεταδεδόσθαι ὁμολογοῦμεν· καὶ „ ἐν τῷ ιγ'. αὐτὸς ἔνεστι Νοῦς λόγε ἄβυσσος, λόγε γεννήτωρ, καὶ διὰ λόγε προβολεὺς ἐκφαντορικοῦ Πνεύματος. ἐν δὲ τῷ τέτων ὀγδόῳ, καὶ Υἱοῦ Πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορεύομενον· μόνος γὰρ αἴτιος ὁ Πατήρ· ὁρᾷς, πῶς καὶ ὁ διδάσκαλος ἔτος, τὴν μὲν ΔΙΑ ἐπὶ τοῦ Υἱοῦ συγχωρεῖ, οὐδαμῶς δὲ τὴν ΕΚ παραδέχεται, ἀλλ' ἐκβάλλει; καὶ ἡ αἰτία σαφής· „ διὰ τὸ μόνον τὸν Πατέρα φησὶν εἶναι τοῦ Πνεύματος αἴτιον· τί ταύτης τῆς θεολογικῆς διαιρέσεως ἀκριβέσερον; ἐκ ἐκ τοῦ Υἱοῦ, φησὶ, λέγομεν τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ διὰ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι· διατί; διότι ὁ Πατὴρ ἐστὶ μόνος τοῦ Πνεύματος αἴτιος. εἰ δὲ μόνος ὁ Πατὴρ τοῦ Πνεύματος αἴτιος, ὁ Υἱὸς πάντως ἐκ αἴτιος· καὶ διὰ τοῦτο ἡ μὲν ΕΚ πρόθεσις ἐτέθησεται ἐπὶ τοῦ Υἱοῦ, ἀλλ' ἡ ΔΙΑ φησὶ, διὰ τὸ μὴ σημαίνειν αἰτίαν, ἀλλ' ἐνεργητικὴν πρόοδον. Καὶ ἐντεῦθεν πάλιν πρόδηλον, ὅτι ὅτε διὰ τὸ λέγεσθαι τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, ἢ καὶ ἐκ τῆς ἐσίας τοῦ Υἱοῦ εἶναι, αἴτιον τοῦ Πνεύ-

» τῦτο φέρει καὶ συμφωνεῖ καὶ ἡ λέξις ἡ λέγυσα, τὸ
» Πνεῦμα ἐκ τῦ Πατρὸς δι' Υἱῦ ἐκπορεύεσθαι, ἀθετῶ καὶ
» ἀποσρέφομαι πάντη καὶ ἀποβάλλομαι.

Ἀλλ' ἵνα ἐπὶ τὸν τῦ λόγυ σκοπὸν ἐπανέλθωμεν, ὁρᾶς πῶς τιὼ μὲν ΕΚ πάντες οἱ θεολόγοι προσνέμυσι τῷ Πατρὶ, ὅταν μὴ περὶ κτισμάτων, ἀλλὰ περὶ τῆς τῦ Πνεύματος ἐκπορεύσεως ἐσὶν ὁ λόγος αὐτοῖς, καὶ περὶ τῆς ὑπαρκτικῆς προόδυ τῦ Πνεύματος λεγομένιω ταύτιω ἀκέσι, τιὼ μέντοι ΔΙΑ, διδόασι τῷ Υἱῷ, καὶ περὶ τῆς ὡς ἡμᾶς δι' αὐτῦ τῦ Πνεύματος χορηγίας, καὶ διαδόσεως τιθεμένιω ταύτιω ἐκδέχονται; Πνεῦμα ἓν ἀκέων ἐκ Πατρὸς δι' Υἱῦ, μὴ τιὼ ἐκ τῦ Πατρὸς τῦ θείυ Πνεύματος ὕπαρξιν, ἀλλὰ τιὼ πρὸς ἡμᾶς αὐτῦ διὰ τῦ Υἱῦ μετάδοσιν, ὁδὺς δηλῦσθαί σοι νόμιζε, ὡς τοῖς ἁγίοις δοκεῖ. Καὶ μὴ θαύμαζε πῶς προσωπικῶς τὰ περὶ τῆς τῦ Πνεύματος ἐνεργείας ἐκφέρεται· φιλεῖ γὰρ ὡς ἐπίπαν ἡ γραφὴ Πνεῦμα ὁμωνύμως καὶ τιὼ ἐνέργειαν τῦ Πνεύματος καλεῖν· καὶ τιὼ ὑπόσασιν αὐτῦ, καὶ μέντοι καὶ τιὼ φύσιν αὐτῦ· ἀλλὰ τῇ μὲν φύσει ἄναρχον ὂν, κατὰ ταύτιω τὸ Πνεῦμα τὸ ἅγιον, ἐξ ἀδυνὸς ἐκπορεύεται, ὅτι μία φύσις Πατρὸς καὶ Υἱῦ καὶ Πνεύματος ἁγίυ, παρ' ἀδυνὸς ἐκπορευομένη· τῇ γεμιὼ ὑποσάσει ἐκ ἄναρχον, ἀρχιὼ γὰρ ταύτης κέκτηται τὸν Πατέρα, ἐξ ὃ καὶ ἐκπορεύεται· τῇ δὲ ἐνεργείᾳ ἐκ Πατρὸς καὶ Υἱῦ καὶ ἐξ ἑαυτῦ πρόεισι, καὶ τῦτο πρῶτον ἐθεολόγησαν ἐν ὀλίγαις λέξεσιν ὁ τῶν θεολόγων αἴτιος
» Ἰησῦς Χριςὸς, εἰπὼν ὅταν ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ
» πέμψω ὑμῖν παρὰ τῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀλη-
» θείας, ὃ παρὰ τῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυ-
» ρήσει περὶ ἐμῦ· ἐν μὲν ἓν τῷ εἰπεῖν, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τῦ Πατρὸς, τιὼ ἐσιώδη ἐνέργειαν τῦ Πατρὸς λέγει· κοινὴ δὲ αὕτη ἡ πέμψις καθάπερ προείρηται· ἐν δὲ τῷ εἰπεῖν, τὸ Πνεῦμα τῆς ἀληθείας, ἤτοι αὐτῦ τῦ λέγοντος, τιὼ μόνιμον τῦ Πνεύματος φύσιν ἐδήλωσε, καθ' ἣν ἴδιον ἐσὶν αὐτῦ καὶ τῦ Πατρὸς τὸ Πνεῦμα, ὡς ὁμο-

ριος Παῦλος, τότε χάριν φησὶ κάμπλω τὰ γόνατά με πρὸς τὸν Πατέρα τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριςῦ, ἵνα δῴη ὑμῖν κατὰ τὸν πλῆτον τῆς δόξης αὐτῦ, δυνάμει κραταιωθῆναι διὰ τῦ Πνεύματος αὐτῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριςὸν ἐν ταῖς καρδίαις ὑμῶν. Καὶ μὴν καὶ ἐκ τῶν ἱερῶν τελετῶν, διὰ τῦ Πνεύματος αὐτὸν λαμβάνομεν τὸν Χριςὸν, τὴν τῦ Χριςῦ λέγω χάριν· ἐ γὰρ δὴ τὴν ἐσίαν εἴποι τις ἂν, ἢ τὴν ὑπόςασιν, ὑγιαίνων τὸν νῶν. Ὥςε ἡ καὶ ὁ Χριςὸς ἐκ τῦ Πνεύματος, ἅτε δεδόμενος δι' αὐτῦ, ἢ ἐδὲ τὸ Πνεῦμα ἐξ αὐτῦ, διὰ τὸ δίδοσθαι δι' αὐτῦ· ὅπερ ἓν πρὸ μικρῦ σωτομώτερον εἶπον, τῦτο καὶ πλατύτερον ὧδε δίειμι, εἰ θέλεις κἀνταῦθα ὁσεβεῖν.

Ἐπεὶ διτλή ἐςιν ἡ τῦ ἁγίε Πνεύματος πρόοδος, ἡ μὲν ἐκ τῦ Πατρὸς μόνε προσωπικήτε ἅσα καὶ ἄχρονος, ἡ δὲ ἐκ Πατρὸς δι' Υἱῦ ἐνεργητικήτε καὶ χρονική· ὅπερπερ ἂν εὕροις ἐν τῇ γραφῇ ἐκ τῦ Πατρὸς δι' Υἱῦ τὸ Πνεῦμα προερχόμενον, ἢ χορηγέμενον, ἢ προϊὸν, ἢ ἐκλάμπον, ἢ πεφηνὸς, ἢ παρεχόμενον, ἢ διδόμενον, ἢ τοιῦτόντι, μὴ περὶ τῆς ἀναρχε ἐκείνης προόδε ταῦτα λέγεσθαι νόμισον, ἀλλὰ περὶ τῆς ἐνεργητικῆς ταύτης καὶ χρονικῆς· καὶ ὡς μέγαν τῦτο τήρει κανόνα ἢ ἀπαράτρεπτον· ἐπεὶ πᾶσα ἡ τῆς ὀρθῆς περὶ τῆς τῦ Πνεύματος δόξης παρεκτροπὴ, ἐντεῦθεν ἐγεγόνει τοῖς Ἰταλοῖς· διάτοι τῦτο ἴδε εἰρηκά σοι, καὶ πάλιν ἄλλως ἐρῶ· ἰδὲ ἂν εὕρῃς τὴν ΔΙΑ τῇ ΕΚ προσκειμένην ἐπὶ τῆς προόδε τῦ Πνεύματος μὴ περὶ τῆς ὑποσατικῆς αὐτῆς ἐκπορεύσεως τὸν λόγον νόμιζε, ἀλλὰ μόνην μὲν τὴν ΕΚ τῇ ἐκπορεύσει παρακειμένην, μόνῳ ταύτῃ προσνέμεσθαι τῷ Πατρὶ, καὶ μόνῃ τῇ ἀνάρχῳ ἐκείνῃ ἁρμόζειν προόδῳ· προσκειμένην δὲ ταύτῃ βλέπων ἢ τὴν ΔΙΑ, αὐτίκα τὸν τῦ λόγε πάντα σκοπὸν ἀφορᾶν, εἰς τὴν δι' Υἱῦ πρὸς ἡμᾶς χορηγίαν τῦ Πνεύματος πίσευε· καίγε πρὸς πίσωσιν ἀναμφίβολον κέκτησο μάρτυρας τὲς τῦτό σε προπληροφορήσαντας θεολόγες, καὶ αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον τὸ λαλῆν δι' αὐτῶν,

περιέρχεσθαι τὸν κόσμον, καὶ τὸ περὶ αὐτὸν κενὸν, καὶ εἰς τὸ ἀπειρίαν τοῦ αἰῶνος ἐκτείνεσθαι, καὶ τὸν περιοδικὸν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμβάνειν, καὶ τὸ φιλεῖν τὸν πλησίον, καὶ τὸ μηδένα ἑαυτῆς προτιμᾶν· ὅτι τὰ πράγματα αὐτὰ δι' ὁπωσιῶν ψυχῆς ἅπλετα, δι' ἔχει εἴσοδον πρὸς αὐτὴν, δὲ τὸ τρέψαι, δὲ κινῆσαι ψυχὴν διώκεται· ἔστι γὰρ ἐκ πάντων ἐλεύθερα, καὶ πάντων ἀνωτέρα· τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη, καὶ οἵων ἂν κριμάτων καταξιώσῃ ἑαυτὴν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προϋφεστῶτα, καὶ δὲν τῶν παρὰ Θεοῦ δοθέντων ἡμῖν εἰς χρῆσιν κακόν· πάντα γὰρ ὅσα ἐκ τοῦ Θεοῦ καλά· καὶ ἐχ ἁπλῶς καλὰ, ἀλλὰ καὶ καλὰ λίαν· πλὴν ἡ παράχρησις μόνον κακόν· τοῦ ἡμετέρου δὲ ἐστὶν αὕτη αὐτεξουσίου· διὸ δὲ τὰ βρώματα κακόν, ἀλλ' ἡ γαστριμαργία· ἐχ ὁ οἶνος κακόν, ἀλλ' ἡ μέθη· ἐχ ἡ παιδοποιία κακόν, ἀλλ' ἡ πορνεία· δὲ τὰ χρήματα κακόν, ἀλλ' ἡ φιλαργυρία· ἐχ ἡ δόξα κακόν, ἀλλ' ἡ κενοδοξία· καὶ χρὴ ἕτω πάντα ποιεῖν, ὥστε τὸν παράχρησιν φεύγειν.

Ὅτι τῶν πραγμάτων τὰ μὲν ἐστὶ κυρίως καλὰ, τὰ δὲ κυρίως κακὰ, τὰ δὲ μέσα· κυρίως μὲν καλὰ, φρόνησις, ἀνδρία, σωφροσυνὴ, καὶ δικαιοσυνὴ· κυρίως δὲ κακὰ, ἀφροσυνὴ, δειλία, ἀκολασία, καὶ ἀδικία· μέσα δὲ πλοῦτος, πενία, δόξα, ἀδοξία, ὑγεία, νόσος, πολυμάθεια, ἀμάθεια, καὶ τὰ ὅμοια· μέσα δὲ λέγονται διὰ τὸ καθ' ἑαυτὰ, μήτε κυρίως καλὰ εἶναι, μήτε κυρίως κακὰ, ἀλλὰ πρὸς τὴν προαίρεσιν τῶν χρωμένων, ἢ τοῦτο ἢ ἐκεῖνο γινόμενα· οἷον ὁ πλοῦτος, καλὸν μὲν πρὸς ἐλεημοσυνὴν διδόμενος, κακὸς δὲ πρὸς ἡδονὰς δαπανώμενος· ὡσαύτως καὶ ἡ πενία, καλὴ μὲν καρτερίαν, καὶ εὐχαριστίαν, καὶ ἐλευθερίαν ἡμᾶς διδάσκουσα, κακὴ δὲ βλασφημίαν, καὶ ἀνελευθερίαν, ἐκ τοῦ μὴ καρτερεῖν ἡμᾶς, ἀποτίκτουσα· καλὴ καὶ ἡ δόξα, ὅταν πρὸς προσασίαν τῶν ταπεινοτέρων ταύτῃ χρώμεθα, κακὴ δὲ ὅταν πρὸς περιφρόνησιν· καλὴ δὲ καὶ ἡ ἀδοξία ὅταν ταπεινοφροσύνην ἡμᾶς ἐκδιδάξῃ, καὶ τῆς μελλούσης

δόξης

δικῆ ὅση δυνάμις· νυῦ δὲ ἔτως εἰσί τινες πρὸς ἀμφότερα διακείμενοι ἀνοήτως, ὅτι τὰς μὲν προσκρέοντας τῷ Θεῷ καθ' ἑκάστω καὶ τοῖς πλησίον, ἐπ' ἀδενὶ τῶν ἁπάντων κρίνεσιν, ἢ ἐλέγχεσι, τὰς δ' εἰς αὐτὰς πλαίσαντας αὖ τινι, παρὰ πάντα τὸν βίον μισᾶσι, καὶ ἀδιάλλακτοι πρὸς αὐτὰς μένεσιν· ἃ χρὴ δ' ἔτω ποιεῖν, ἀλλὰ πᾶν τἐναντίον· τὰ μὲν εἰς ἡμᾶς πλημμελέμενα πᾶσι συγχωρεῖν ἐκ ψυχῆς τοῖς πλησίον, τὰ δὲ πρὸς ἄλλως ἁμαρτανόμενα, καὶ μάλιτα πρὸς Θεὸν, ἐπεζικύαι τὸ κατὰ δύναμιν· ὅθεν εἴρηται τῷ Σωτῆρι, „ἄφες ἡμῖν τὰ ὀ„φειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις „ἡμῶν· ἐχὶ τοῖς σοῖς, ἢ τοῖς ἄλλων· καὶ πάλιν ἐὰν „ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σε κ.ξ. ἐχὶ ἐὰν πρὸς τὸν Θεὸν, ἢ τινὰ τῶν πλησίον· ὥτε ἔτι καὶ δίκα πάθες ἐπιτιμῆσαι, καὶ χωρὶς ἁμαρτίας ἐλέγξαι, καὶ θεαρέστως κρίναι τὰς πλαίοντας, ἰωίκα δι' ἀγάπιν Θεῦ μόνιν ταῦτα γίνεται, καὶ τὰ πλησίον βοήθειαν, καὶ τὰ πλημμελῆντος διόρθωσιν. Ἔστιν ἔλεγχος φημὶ κατὰ κακίαν καὶ ἄμιναν, καὶ ἔστιν ἄλλος, κατὰ φόβον Θεῦ καὶ ἀλήθειαν· ὅταν γὰρ ἡ τὰ ἑνὸς βλάβη εἰς τὰς πολλὰς ἀνατρέχῃ, τότε ἃ δεῖ μακροθυμεῖν, ἀδ' ἐφησυχάζειν, ἀδὲ ζητεῖν τὸ ἑαυτῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν ἵνα σωθῶσι· διότι τῆς μονομερῦς ἀρετῆς, ἡ πολυμερὴς ὠφελιμωτέρα· τῦτο δὲ λέγω γίγνεθαι ἀπαθῶς· ἐὰν δέτινι ἐπιτιμῶν εἰς ὀργιὼ κινηθῆς, ἴδιον πάθος πληροῖς· καὶ ἐκ ἔστι καλὸν, ἵνα ἄλλως μὲν σώσῃς, σεαυτὸν δὲ ἀπολέσῃς. Ὥσπερ δ' ἐν τῇ τῶν ἁμαρτημάτων ἀφέσει, παρ' ἡμῶν αἱ ἀρχαὶ, ἔτω καὶ ἐν τῇ κρίσει, παρ' ἡμῶν τὰ μέτρα τῆς καταδίκης τίθεται· ἐν ᾧ γὰρ κρίνειτις τὸν ἕτερον, δρᾷ δὲ τὰ αὐτὰ, ἑαυτὸν κατακρίνει, καὶ καθ' ἑαυτῦ τιὼ ψῆφον ἐλέεινῶς ἐκφέρει.

Οἶδα ἀδελφὸν ἐν ἐρήμῳ καθήμενον, μεταξὺ ἑπλὰ καὶ δέκα ἀδελφῶν, ὃς ὑπὸ τῦ κρίνειν τὰς αὐτῷ πλαίοντας ἐνοχλέμενος, ἑαυτῷ ἐπετίμα λέγων· ἔτω μάταιος εἶ, καὶ ἄλογος, καὶ αὐτῶν τῶν λίθων ἀναισθητότερος,

καὶ

„ τᾶμεν τὰς ὐτολας· διὰ τᾶτο ἔτε σιωετιζόμεθα εἰς τὸ
„ ἀγαθόν· ὅτι καὶν μικρόντί ποτε φωτιθῶμεν, ὐθέως ἐπ
„ τᾶ πλησίον ἀπαιτᾶμεν αὐτό, μεμφόμενοι αὐτὸν καὶ λέ-
„ γοντες, ὅτι ὀφείλει τό δε ποιῆσαι, καὶ διατὶ τοιῶς δε
„ ἐκ ἐποίησε; πρόχες καλῶς καὶ τῷ ἁγίῳ Μαξίμῳ γρά-
„ φοντι, ἐκ ἔσι φρίξαι, καὶ ἐκπλαγλιῶαι, καὶ ἐκτλῶαι
„ τῇ διανοίᾳ, ὅτι ὁ μὲν Θεὸς καὶ Πατὴρ κρίνει ἐδένα,
„ πᾶσαν δὲ τλὼ κρίσιν δέδωκε τῷ Υἱῷ· ὁ δὲ Υἱὸς κρά-
„ ζει μὴ κρίνετε ἵνα μὴ κριθῆτε, καὶ μὴ καταδικάζετε
„ ἵνα μὴ καταδικαθῆτε· καὶ ὁ Ἀπόςολος ὁμοίως, μὴ πρὸ
„ καιρᾶτι κρίνετε ἕως ἂν ἔλθῃ ὁ Κύριος· καὶ ἐν ᾧ κρί-
„ ματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· οἱ δὲ ἄν-
„ θρωποι ἀφέντες τὸ κλαίειν τὰς ἑαυτῶν ἁμαρτίας,
„ ἦραν τλὼ κρίσιν ἀπὸ τᾶ Υἱᾶ, καὶ αὐτοὶ ὡς ἀναμάρ-
„ τητοι κρίνεσι καὶ καταδικάζεσιν ἀλλήλες; καὶ ὁ μὲν
„ θρανὸς ἐξέση ἐπὶ τάτῳ, ἡ δὲ γῆ ἔφριξεν, αὐτοὶ δὲ ἐκ
„ αἰχμώονται ἀναιθητᾶντες; Ἀλλ' ὁ ζῆλός σε θλίβει;
„ πειθέτω σε ὁ ἅγιος Ἰσαὰκ λέγων, „ ἄνθρωπος ζηλω-
„ τὴς ἀδέποτε φθάνει τλὼ εἰρλίλω τᾶς διανοίας· ὁ δὲ
„ ἀλλότριος τᾶς εἰρλίλης, ἀλλοτριώτερός ἐσι τᾶς χαρᾶς·
„ ἐὰν γὰρ λέγηται ἡ εἰρλίλη τᾶς διανοίας ὑγίεια τελέια,
„ ὁ δὲ ζῆλος τᾶς εἰρλίλης ἀνάντιος, λοιπὸν νόσον μεγά-
„ λιὼ νοσεῖ ὁ ἔχων ζῆλον πονηρόν. Ὦ ἄνθρωπε ὁ ἐξ
ἀναντίας τῶν ἀλλοτρίων νοσημάτων δοκῶν ἐκφέρειν τὸν
ζῆλόν σε! σὺ τλὼ ὑγείαν τᾶς ψυχᾶς σε ἐδίωξας, πρὸς
ὑγίειαν ἦν τᾶς ψυχᾶς σε φιλοπόνησον· ἐὰν δὲ τὲς ἀθε-
νεῖς ἐπιθυμᾶς θεραπεῦσαι, γνῶθι ὅτι οἱ ἀῤῥῶσοι ἐπιμε-
λείας χρήζεσι μᾶλλον, ἢ τᾶ ἐπιτιμίε. πλιὼ ἐπειδὰν
ἄλλοις σὺ ἐ βοηθῇς, καὶ σεαυτὸν εἰς μεγάλιω νόσον
ἐμβάλλῃς ὀδιωηρᾶς, ἐκ ἐκ τῶν εἰδῶν τᾶς σοφίας ψυ-
φίζεται ὁ ζῆλός σε, ἀλλ' ἐκ τῶν νοσημάτων τᾶς ψυ-
χᾶς· ὅτι ἐς δοκᾶμεν ἡμεῖς κατακρίνειν, ἐκεῖνοι μὲν τᾶ
βάρες ἐλαφρᾶντα, ἡμεῖς δὲ ἀντ' αὐτῶν ἀχθοφορᾶντες
ὑρισκόμεθα, καὶ ἑαυτὲς κατακρίνοντες· καὶ ἃς
ἡμεῖς ἐξεθανᾶμεν, τάτες ὁ Θεὸς ἐπιλέγεται· καὶ ἃς
ἡμεῖς ὐτελίζομεν, τάτες ὁ Θεὸς εἰς μέτρον ἄγει.

Οὕτω

ΛΟΓΟΣ Ι.

ΠΕΡΙ

ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ.

Εἰσηγούμενος ἀριδήλως, ὅτι περ ἡ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα φωνὴ, συνεπτυγμένως οὕτω κειμένη παρὰ πᾶσι τοῖς θεολόγοις, ΑΜΑ σημαίνει, καὶ τὴν ΜΕΤΑ πρόθεσιν, καὶ ΣΥΝ, ἀλλ' οὐχὶ προσωπικῶς τοῦ Πνεύματος οὐσίωσιν. Εἴρηται δὲ ἐν τοῖς ἁγίοις Ἀποστόλοις τοῖς μεγάλοις· παρόντος καὶ τοῦ Βασιλέως.

λογίων

Δεῖ τοὺς ἀκροωμένους τῶν θείων λόγων, ἐκεῖνα συνεισφέρειν τοῖς λόγοις, ἃ φέρει πρὸς σωτήριον ἕνωσιν· ἀκοὴν εὐγνώμονα, εὔνοιαν πρὸς τὸ συγγενὲς, λόγους εἰρήνης, γνώμην εὐχάριστον, ἦθος χρηστὸν, καὶ τὰ τούτοις ἑπόμενα. Ταῦτα συνάπτει, ταῦτα ἑνοῖ, ταῦτα ὁμοφρονεῖν ποιεῖ, οἷς ἄν γε παρῇ. Ἀμέλει κἀγὼ τῇ πρὸς πάντας εὐνοίᾳ φερόμενος, περὶ οὗ διαφερόμεθα μάλιστα, προῄρημαι νῦν εἰπεῖν πρὸς ὑμᾶς· διὸ καὶ ὑμεῖς εὐνοϊκῶς ἀκοῦσαι μου παρακλήθητε· ἑνὸς γὰρ τουτωνὶ τῶν καλῶν οὐ διαμαρτήσεσθε πάντως· ἢ γὰρ μαθόντες παρ' ἡμῶν τὴν ἀλήθειαν, ὀνήσεσθε τὴν πασῶν ὑπερκειμένην ὠφέλειαν, ἢ γνόντες ἀμωσγέπως τὰ πρὸς αὐτὴν ἄγοντα, σαφέστερον εἴσεσθε, πῶς οὐκ ἂν αὐτῆς διαμάρτητε· πλὴν χαίρειν μακρὰν ταῖς εὑρεσιλογίαις εἰπόντα, καὶ

ταῖς

ὡς, λόγε χάριν, ἡ θερμαντικὴ δύναμις διὰ τῆς φωτιστικῆς δυνάμεως ἐκ τῦ πυρὸς προβάλλεται· ἅμα γὰρ καὶ ἀχωρίστως, ὁμῦ τῇ φωτιστικῇ δυνάμει καὶ ἡ θερμαντικὴ δύναμις ἐκ τῦ πυρός, καὶ μετὰ τῆς θερμαντικῆς δυνάμεως ἡ φωτιστικὴ δύναμις πρόεισι, καὶ ὅλη ἡ φωτιστικὴ δύναμις ἐν ὅλῃ τῇ θερμαντικῇ θεωρεῖται δυνάμει, καὶ ὅλη ἡ θερμαντικὴ ἐν ὅλῃ τῇ φωτιστικῇ ὁμολόγηται· καὶ ἔθ' ἡ φωτιστικὴ δύναμις ἐκ τῆς θερμαντικῆς δυνάμεως ἔχει τὸ εἶναι, ἔθ' ἡ θερμαντικὴ ἐκ τῆς φωτιστικῆς ἔχει τιὼ ὕπαρξιν, ἀλλ' ἄμφω ταῦτα καὶ ἅμα ἐκ τῦ πυρὸς προέρχεται· καὶ ὃν τρόπον ἡ ἀκτὶς καὶ τὸ φῶς· τέτων γὰρ ἑδετέρω παρὰ θατέρε πέφυκε πρὸς ἐσίωσιν ὕπαρξις, ἀλλὰ καὶ πηγιὼ καὶ αἰτίαν τῦ εἶναι, ὡς ἀρχιὼ αὐτῶν φυσικιὼ πλετεῖ καὶ ἄμφω ταῦτα τὸν ἥλιον· ἔτω δὴ τὸ παναγιον Πνεῦμα ἐκπορεύεται μὲν ἐκ τῦ Πατρὸς ἀῤῥήτως, ἅμα τῷ τὸν Υἱὸν αὐτὸν γεννηθῆναι ἀχρόνως καὶ ὑπὲρ ἔννοιαν πᾶσαν, πρόεισι δὲ διὰ τῦ Υἱῦ φυσικῶς τε καὶ προαιωνίως καὶ ἀϊδίως, καθάπερ ἄρα διὰ τῆς ἀκτῖνος τὸ φῶς, κἂν μηδεὶς ὁ φωτιζόμενος ᾖ· πᾶν γὰρ ὅ,τι πάρεσι νιῶ περὶ τὸν Θεὸν, κἂν μεθεκτὸν ἡμῖν, κἂν ἀμέθεκτον ᾖ, παρ' αὐτῷ καὶ πρὸ τῆς τῦ κόσμε συςάσεως ἰῶ, κἂν ὁ μεθέξων αὐτῦ μὴ παρῇ.

Καὶ κατὰ τῦτο τὸ σημαινόμενον, τιὼ δὶ Υἱῦ φωνιὼ ὧδε ἀντὶ τῦ μετὰ τῦ Υἱῦ οἱ ἅγιοι λέγεσιν, ὡς ὁ θεῖος Ταράσιος ἐν τῇ ὁμολογίᾳ τῆς ἑαυτῦ πίσεως, „ πιστεύειν „ φησὶ, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τῦ Πατρὸς διὰ „ τῦ Υἱῦ ἐκπορευόμενον, καὶ αὐτὸ Θεὸν εἶναι γνωριζόμενον· „ τετέσι μετὰ τῦ Υἱῦ προϊὸν, ὡς ὁ Δαμασκιωὸς Ἰωάννης „ ἐν τῷ ιγ'. Κεφ. τῶν αὐτῦ θεολογικῶν Δογματικῶν, „ τὸ „ Πνεῦμα, λέγει, τὸ ἅγιον, ἡ ἐκφαντορικὴ τῦ κρυφίε τῆς „ θεότητος δύναμις τῦ Πατρὸς, ἐκ Πατρὸς ἐσὶ δὶ Υἱῦ ἐκ„ πορευομένη, σιὼ τῷ Υἱῷ δηλαδή. Ὡς ὁ μέγας ἐν ὁμο„ λογηταῖς Μάξιμος τιθησιν, ἐν τῇ εἰς τὸν προφήτιω Ζα„ χαρίαν ἐξηγήσει· τὸ Πνεῦμα, λέγων, τὸ ἅγιον, ὥσπερ „ φύσει κατ' ἐσίαν ὑπάρχει τῦ Θεῦ καὶ Πατρὸς, ἔτω καὶ

„ τῦ

„ τὸ ἅγιον. Καὶ ὁ θεῖος Δαμασκιλιὼς, ἐν τοῖς δογματικοῖς
„ αὐτῦ κεφαλαίοις, Πνεῦμα φησὶ μεμαθήκαμεν τὸ συμ-
„ παρομαρτῆν τῷ λόγῳ, καὶ φανερῆν αὐτῦ τὴν ἐνέρ-
γειαν. Συμπαρομαρτεῖν δὲ ἐστὶ τὸ σιωακολθεῖν, ὡς αὐ-
τὸς ἐκεῖ φησὶ, σιωακολθέσης ἀδιασάτως τε καὶ ἀχρό-
νως τῇ γεννήσει τῆς ἐκπορεύσεως· μεμαθήκαμεν δὲ ἔφη-
σαν, ὡς τῶν πρὸ αὐτῦ θεολόγων ἕτω διδασκόντων αὐτό·
παρ' ὧν μυηθεὶς ἕτω νοεῖν τὸ Πνεῦμα δι' Υἱῦ, τὸ ἐκ τῦ
Υἱῦ τῦτο λέγειν παντάπασιν ἀπηγόρευσε, τὸ παρὰ
τοῖς Πατράσι σιωεπιγυμνόν καὶ δύσληπτον, ταῖς λεπτο-
τέραις καὶ κατὰ μέρος ἐρεύναις ἀναπτύσσων τε καὶ δια-
σαφῶν. Οὐκῦν ὅταν ἀκούσῃς ἐκ Πατρὸς δι' Υἱῦ τὸ Πνεῦ-
μα τὸ ἅγιον ἐκπορεύεσθαι, ὡς συμπαρομαρτῆν τῷ λόγῳ
καὶ αὐτὸς νόησον· ἕτω γὰρ τὴν ΔΙΑ, ἐχὶ κακῶς εἰς
τὴν ΕΚ μεταλήψη, ἀλλὰ καλῶς μᾶλλον εἰς τὴν ΜΕ-
ΤΑ καὶ τὴν ΣΥΝ, ὡς τοῖς ἁγίοις δοκεῖ. Λέγει δὲ καὶ
ὁ πολὺς τὴν σοφίαν Κύριλλος, ἐν τῷ περὶ τῦ ἁγίε Πνεύ-
„ ματος ἀγωνιστικῷ αὐτῦ λόγῳ· „ τὸ Πνεῦμα τὸ ἅγιον
„ ὥσπερ κατ' ἐσίαν ὑπάρχει τῦ Πατρὸς, ἕτω καὶ τῦ Υἱῦ
„ κατ' ἐσίαν ἐσίν· ὡς μετὰ τῦ Υἱῦ ἐσιωδῶς γεννηθέντος,
„ ἐκ τῦ Πατρὸς ἀφράστως ἐκπορευόμενον· ὁρᾶς; ὅπερ ὁ
θεῖος Μάξιμος πρὸ μικρῦ ἐν χρήσει ταύτῃ παραπλησίῳ
διὰ τῦ Υἱῦ εἴρηκεν, ἕτος ἐνταῦθα μετὰ τῦ Υἱῦ τιθη-
σι, ταυτοδωαμεῖν ὧδε πιστῶν τὴν ΜΕΤΑ τῆ ΔΙΑ.
Ὁ γε μὴν Γρηγόριος ὁ Νύσσης ἐν τοῖς κατ' Εὐνομίε φησί·
„ „ Πατὴρ μὲν ἄναρχος καὶ ἀγένητος, καὶ ἀεὶ Πατὴρ
„ νοεῖται· ἐξ αὐτῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιασάτως ὁ μο-
„ νογενὴς Υἱὸς τῷ Πατρὶ σιωεπινοεῖται· δι' αὐτῦ δὲ καὶ
„ μετ' αὐτῦ, πρίν τι κανόντε καὶ ἀνυπόστατον διὰ μέσε
„ παρεμπεσεῖν νόημα, οὕθως καὶ τὸ ἅγιον Πνεῦμα σιωημ-
„ μένως καταλαμβάνεται, ἐχ ὑστερίζον κατὰ τὴν ὕπαρ-
„ ξιν μετὰ τὸν Υἱὸν, ὥστε ποτὲ καὶ τὸν μονογενῆ δίχα
„ τῦ Πνεύματος νοηθῆναι. Ὁρᾶ ὅτι τὸ δι' αὐτῦ εἰπὼν προ-
ϊδησι προσεχῶς καὶ τὸ μετ' αὐτὸν, ἵνα τὴν ἀπάτην
ἀνέλῃ τῶν τὴν ΔΙΑ νομιζόντων καὶ ἐνταῦθα αἰτίας
εἶναι σημαντικήν· εἰ γὰρ μετ' αὐτῦ πρόεισι καὶ σιωημ-
μένως

δηλονότι, ἀδὲ μετὰ τῦ Πνεύματός μι. Καὶ ἁπλῶς περὶ τὰς τῆς ἀκολουθίας ἐκφωνήσεις πᾶσα ἡ ἐκκλησία, καὶ περὶ τὰ τέλη τῶν λόγων πάντες οἱ ταύτης διδάσκαλοι, τλὼ δι' ἓ ταύτλω, καὶ τλὼ μεθ' ἓ χρῆσιν ἐπὶ τῦ Υἱῦ λέγοντες ἀδιάφορον οἴονται.

Ἀλλ' ἔπερ ἡ ΔΙΑ φησὶν ἐνταῦθα τὸ ΑΜΑ ἐδήλι, καὶ τλὼ ΜΕΤΑ πρόθεσιν, καὶ τλὼ ΣΥΝ, ἐχρῆν ὡσαύτως ἐπ' ἀμφοῖν ἀντιτρέφειν τὸν λόγον λοιπόν· ἵν' ὥσπερ φαμὲν παῤῥησίᾳ τὸ Πνεῦμα ἐκ Πατρὸς δι' Υἱῦ ἐκπορδέεθαι, ἕτω θαῤῥέντος καὶ περὶ τῦ Υἱῦ λέγειν ἔχομεν, ὅτι ὁμοίως γεννᾶται καὶ ὁ Υἱὸς ἐκ Πατρὸς διὰ τῦ Πνδ́ματος· νῶ δὲ, ὅτι μὲν τὸ Πνεῦμα ἐκ Πατρὸς δι' Υἱῦ ἐκπορδέται, τοῖς διδασκάλοις ἅπασιν ὡμολόγηλαι, ὅτι δὲ γεννᾶται ὁ Υἱὸς ἐκ Πατρὸς διὰ Πνδ́ματος παρὰ πάντων σεσίγηται· ὥστε τοῖς σιωραῶν τλὼ ἀλήθειαν ὅπωσδν αἱρεμένοις φωτὸς φανώτερον δείκνυται, ὅτι ἀντὶ τῆς ΕΚ μᾶλλον ἡ ΔΙΑ δεῦρο κεῖται, καὶ τλὼ τῦ Υἱῦ αἰτίαν πρὸς τὸ Πνεῦμα ἀριδήλως παρίσησι· καθάπερ πάντως καὶ ἡ τῦ λόγυ ἀπαγγελία δηλοῖ, καὶ ἡ κατ' ὀδθείαν τῶν θείων προσώπων ὑπαρίθμησις μαρτυρεῖ. Πρὸς δὲ ταῦτα, τῦτο πιωθάνομαι τῶν ἕτω προτεινομένων· ταυτὸν ἐσὶ τὸ ἐκ Πατρὸς καὶ Υἱῦ λέγειν τὸ Πνεῦμα προσωπικῶς ἐκπορδέεθαι, τῷ ἐκ Πατρὸς δι' Υἱῦ, ἢ ἄλλο μά τι σιωάγει τὸ πρῶτον, καὶ ἄλλοτι δηλδν τὸ δδύτερον βέλεται; εἰ μὲν ταυτὸν ἐσὶ τὸ ἐκ Πατρὸς καὶ Υἱῦ, τῷ ἐκ Πατρὸς δι' Υἱῦ, καὶ αἱ διάφοροι αὗται χρήσεις ἀδιαφορόν τι σιωάγεσι, πάντως καὶ ἡ ΔΙΑ πρόθεσις, τῷ ΚΑΙ σιωδέσμω ταυτὸν ἐσὶ, καὶ ὁ ΚΑΙ σιώδεσμος ἀντιμεδίσεται τῇ ΔΙΑ, καὶ τὸ μιᾷ προθέσει σαφέσατα σημαινόμενον, καὶ διὰ δύο σημαίνεται, ὅπερ παρέλκον δοκεῖ· εἰ δὲ ἄλλοτι τὸ πρῶτον σημαίνει, καὶ ἄλλοτι συμπεραίνει τὸ δδύτερον· τὸ μὲν γὰρ δηλοῖ ἀριδήλως, τὸ ἐκ δύο προσώπων προσεχῶς αὖ σιωίσαθαι πρόσωπον, περὶ ἓ μάλισα καὶ διαφερόμεθα· τὸ δὲ, τὸ ἐκ τῦ Υἱῦ μὲν εἶναι τὸ Πνεῦμα δι' ἑαυτὸ, ἐκ δὲ τῦ

Πατρὸς

δι' Υἱῦ καθ' ὑπόστασιν τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, τίς ἔτι χρεία καὶ τὰ νοήματα, καὶ τὰς λόγους, καὶ τὰς ἁγίας, καὶ τὰς θείας ἀποφάσεις, καὶ πάντα βιάζεσθαι ῥέπειν ζυγὰ πρὸς τὸν ἡμέτερον ὅλιθον; εἰ δὲ περὶ μὲν τῦ Πνεύματος εὕρηται πολλαχῦ, ὅτι ἐκ τῦ Πατρὸς δι' Υἱῦ ἐκπορεύεται, περὶ δὲ τῦ Υἱῦ εἴρηται ἐδαμῦ, ὅτι ἐκ Πατρὸς διὰ Πνεύματος γεννᾶται καθ' ὑπόστασιν, τὸ αἴτιον πρόδηλον· ἵνα γὰρ μὴ καὶ τὸ Πνεῦμα Υἱὸς τῦ Πατρὸς, καὶ τῦ Υἱῦ Πατὴρ τὸ αὐτὸ νομίζηται πρός τινος, ἡ χετικὴ αὕτη ἀντιστροφὴ ἔτε πρὸς τὸν Πατέρα, ἔτε πρὸς τὸν Υἱὸν ἀπὸ τῦ Πνεύματος λέγεται· ὃ καὶ ὁ ἱερὸς Αὐγυστῖνος ἐν τῷ περὶ Τριάδος φησί· καὶ ὁ Νύσσης Γρηγόριος ἐν τῇ εἰς τὸ Πάτερ ἡμῶν ἐξηγήσει θεολογεῖ· καὶ πολλοὶ τῶν θεηγόρων ἑτέρωθι· μᾶλλον δὲ πᾶσα ἡ ἐκκλησία, ἐκ τῦ Πατρὸς μὲν τὸ Πνεῦμα κηρύττει, ῥήμασί τε καὶ γράμμασιν, Υἱὸν δὲ τῦτο λέγειν Πατρὸς ἀπαναίνεται· καίτοιγε τῦ Πατρὸς πρὸς Υἱὸν λεγομένυ Πατρὸς, τὸν καθ' ὑπόστασιν ἐξ αὐτῦ προϊόντα, καὶ τῦ προερχομένυ προσώπυ προσωπικῶς ἐκ Πατρὸς, πρὸς Πατέρα κατὰ τὴν χετικὴν ἀντιστροφὴν ἀποβλέποντος, ἀλλ' ὅμως τὸ μὲν τάτων κηρύττεται παρ' αὐτοῖς, τὸ δὲ σιγῇ παραδέδοται· ἕτω δὲ καὶ ἐπὶ τῆς ἀπαιτυμένης ταύτης ἀντιστροφῆς· ὅτι μὲν ἐκ Πατρὸς δι' Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ἤτοι ἅμα τῷ Υἱῷ, καὶ συὼ τῷ Υἱῷ, καὶ μετὰ τῦ Υἱῦ ἐκεῖθεν ἔχει τὸ εἶναι, καὶ τοῖς προῤῥηθεῖσιν ἁγίοις τεθεολόγηται, καὶ αἰτεικὸς ἐδὲν ἔπεισιν· ὅτι δὲ γεννᾶται καὶ ὁ Υἱὸς ἐκ Πατρὸς διὰ Πνεύματος τοῖς πᾶσι σεσίγηται· διατί; ὅτι ὥσπερ εἰ λέγοιμεν ἐκ Πατρὸς τὸν Υἱὸν γεννᾶσθαι διὰ τῦ Πνεύματος, δύο τῦ Υἱῦ Πατέρας λέγομεν εἶναι, ἕτως εἰ λέγοιμεν ἐκ Πατρὸς διὰ τῦ Υἱῦ τὸ Πνεῦμα προσωπικῶς ἐκπορεύεσθαι, δύο αἰτίας εἶναι τῦ Πνεύματος λέγομεν· καὶ ὥσπερ εἰ λέγοιμεν κατ' ἐσίαν Πατὴρ, Πνεῦμα, Υἱὸς, καὶ τὸ ἓν ἅμα ποιῦμεν αἴτιον τοῖν δυοῖν, καὶ τὰ δύο αἴτια τῦ ἑνός· ἕτως εἰ λέγοιμεν κατ' αἰτίαν, Πατὴρ, Υἱὸς, Πνεῦμα, καὶ τὸ ἓν ποιῦμεν αἴτιον τοῖν δυοῖν, καὶ τὰ δύο ἅμα

αἴτια

σον ἑκατέρᾳ πρὸς αὐτὸν χέσιν παραδηλοῖ· περὶ ὧν, ἐν τοῖς περὶ τάξεως, Θεοῦ διδόντος, εἰρήσεται σαφέστερόν τε καὶ γνησιώτερον.

Ἀλλὰ τίς ἡ ἐπὶ τούτοις αὐτῶν ἀνθυποφορά; ὡς θαυμασὴ, καὶ τοῖς ὅλοις ἀήθητος! Οὐκοῦν φασὶν, ὥσπερ ἐ λέγομεν προσωπικῶς ἐκ Πατρὸς γεννᾶσθαι τὸν Υἱὸν διὰ Πνεύματος ἁγίου, ἵνα μὴ τοῦτο Πατρὶ τῷ Υἱῷ νομίζηται πρός τινος, ἅτως ἐπεί περ ὁμολογοῦμεν ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, τρανώτατα διαγγέλομεν τὸν Υἱὸν τοῦ Πνεύματος αἴτιον· ἀλλ' ᾧ βέλτιε ἀνδρῶν (πρὸς τὸν τοῦτο προτεινόμενον, δικαίως πᾶς τις ἐρεῖ) εἴπερ δι' οὗ μόνου ἄτοπον ὁ Υἱὸς τοῦ Πνεύματος ἐ θεολογεῖται παράτινος, διὰ τοσαῦτα ἑπόμενα ἄτοπα καὶ τοιαῦτα, οἷα προείρηται, πῶς ἐκ τοῦ Υἱοῦ καθ' ὑπόσασιν τὸ Πνεῦμα ῥηθήσεται; ἔπειτα πρὸς τοῖς εἰρημένοις κἀκεῖνο ἔξιν εἰπεῖν, ὀχ ὅτι μὴ ἐξὶν ὁ Υἱὸς ἐκ Πατρὸς σιωπῶντα τὸ λέγεσθαι τοῦτον ἐκ Πατρὸς διὰ Πνεύματος εἶναι, ἤτοι μετὰ τοῦ Πνεύματος· τοῦτο γὰρ προδήλως αἱρετικώτατον, καὶ πάσης τῆς Χριστοῦ ἐκκλησίας ἀλλότριον, τὸ δοξάζειν μὴ ἅμα καὶ ἄμφω τὰ πρόσωπα ταῦτα Πατρόθεν ἔχειν τινὶ ὑπαρξιν· ἀλλ' ἵνα ὁ τῆς ἀκολουθίας πατροπαράδοτος τρόπος ἀμεταποήτος σώζηται, ἐκ ἐκ Πατρὸς διὰ Πνεύματος ἐπὶ τὸν Υἱὸν, ἀλλ' ἐκ Πατρὸς δι' Υἱοῦ ἐπὶ τὸ Πνεῦμα λεγόμενος· ἐπεὶ ὅτι ἀσεβές ἐστι τὸ λέγειν ἐπὶ Υἱοῦ ἀντὶ τῆς ΣΥΝ καὶ ΜΕΤΑ τινὶ ΔΙΑ, καὶ ἑτέραν αὐτῶν παραιτεῖσθαι ὡς ἀναιρετικὴν τῆς ἑτέρας, οἱ πρὸ μικροῦ καταλεγόντες φωστῆρες μάρτυρες πιστότατοι· ὥστε ἡ ΔΙΑ πρόθεσις ἐ σημαίνει τινὶ ΕΚ λεγομένη ἐνταῦθα, ἀλλὰ σαφῶς τινὶ ΜΕΤΑ ὡς προδέδεικται· καὶ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα λέγεσθαι πρὸς τῶν θεολόγων, ἐ τινὶ ἐκ Πατρὸς καὶ Υἱοῦ τοῦ ἁγίου Πνεύματος ὕπαρξιν δείκνυσιν· ἄπαγε. ἐπεὶ ἀφῃρεῖτ' ἂν τὸν Πατέρα, τὸ μόνον αἴτιον εἶναι θεότητος, ἀπήλεγχε δὲ καὶ τοὺς τοῦτο φάσκοντας θεολόγους, ἐκ ἀληθεῖς θεολόγους εἶναι· ὃ πάσης τόλμης ἐπέκεινα.

ἔτω ταῦτα ἐκ τῆ Θεῆ, ὡς ἐκ τῆς ἐσίας αὐτῆ· ἕτερον δὲ τρόπον ἐκ τῆ Θεῆ κατ' αἰτίαν ἐστὶν, ὡς ἐκ τῆς Φύσεως αὐτῆ· τὶω γὰρ θείαν ἐνέργειαν ἐκ τῆ Θεῆ φαμὲν, ὡς ἐκ τῆς Φύσεως αὐτῆ· ἄλλον δὲ τρόπον ἐκ τῆ Θεῆ λέγομεν κατὰ αἰτίαν, ὡς ἐκ τῆς ὑποςάσεως· καὶ τῆτο διχῶς, ἢ κατὰ γέννησιν ἄῤῥητον, ὡς τὸν Υἱὸν ἐκ τῆ Πατρὸς, ἢ κατὰ τὶω ἀπόῤῥητον πρόοδον, ὡς τὸ Πνεῦμα ἐκ τῆ Πατρὸς· ἐκ τῆ Πατρὸς γὰρ καὶ ἄμφω κατὰ τὶω ὑπόςασιν· ἕτερον δὲ τρόπον ἐκ τῆ Θεῆ λέγομεν, ἢ κατ' αἰτίαν, ἀλλὰ κατὰ λόγον οἰκειώσεως· φησὶ γὰρ ὁ Κύ-
„ ριος, ἐν τῷ κατὰ Ἰωάννιν εὐαγγελίῳ „ ὁ ὢν ἐκ τῆ
„ Θεῆ, τὰ ῥήματα τῆ Θεῆ ἀκέει· παρὰ δὲ ταῦτα πάντα, λέγεται τὸ ἔκτινος εἶναι τι καὶ καθ' ἕτερον τρόπον, τὶω πρὸς ἄλληλα τῶν προσώπων ὁμοσιότητα σημαίνοντα· καὶ τῆτον ὁμοίως ἐπί τε τῶν θείων, ἐπί τε τῶν ἀνθρωπίνων λεγόμενον· καθὸ σημαινόμενον λέγομεν, ὁ Ἰωάννης ἐστὶν ἐκ τῆς ἐσίας τῆ Πέτρε, καὶ τῆ Παύλε· καὶ Παῦλος τῶν ἀνθρώπων· ἐχ ὅτι γεγέννηται ἐκ πάντων αὐτῶν, ἀλλ' ὅτι ὁμοφυής ἐστιν αὐτοῖς, καὶ τῆς αὐτῆς αὐτοῖς ἐσίας· καὶ κατὰ τῆτο τὸ σημαινόμενον, οἱ θεῖοι Πατέρες τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς ἐσίας εἶναι τῆ Πατρὸς καὶ τῆ Υἱῆ ἀποφαίνονται, τὶω πρὸς αὐτὸς συμφυίαν τῆ Πνεύματος παραςῆσαι βελόμενοι.

Ὡσαύτως δὲ καὶ τὸ διά τινος εἶναί τι, λέγεται μὲν καὶ ὡς διὰ τόπε, ὡς τό δε τὸ ὕδωρ ἐκρεῖ διὰ τῆ σωλῆνος εἰς ταυτιωὶ τὶω δεξαμενίν· λέγεται δὲ καὶ ὡς διὰ χρόνε, ὡς ὀδεῖνα πεποίηκέ τι δι' ἐνιαυσιαίε χρόνε· λέγεται καὶ ὡς διὰ προσώπε, ὡς τὸ διὰ τῆ δεῖνος σωτυχέτις τῷ Αὐτοκράτορι· λέγεται καὶ ὡς διὰ τῶν οἰκείων μελῶν, ὡς ὁ ἄνθρωπος διὰ τῶν ὀφθαλμῶν βλέπει, διὰ τῶν χειρῶν γράφει, καὶ τῶν ποδῶν περιπατεῖ· τῆτο δ' ἔοικε τῷ ὡς δι' ὀργάνε· ἔστι δ' ὅτε σημαίνει καὶ τὸ ταυτὸν τῆς δυνάμεως, ὡς τὸ διὰ τῆς ἀκτῖνος τὸ φῶς τὸ ἡλιακὸν ἐκλάμπει· ταυτοδυάμια γὰρ, τό, τε ἡλιακὸν φῶς, καὶ ἡ τῆ ἡλίε ἀκτὶς· ἔστι δ' ὅτε καὶ ἀντὶ τῆς ΥΠΟ

λαμβά-

λέγεται δείκνυσι· πλὴν ἡμεῖς ἔστω δεχόμεθα τὴν δι' Υἱοῦ τὸ Πνεῦμα φωνήν· ἄλλως δὲ πῶς ἂν εἴποι τις τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι; εἰ μὲν διαβατικῶς καὶ προοδικῶς, τῆς ἀτοπίας! ὡς γὰρ διὰ σωλῆνος τοῦ Υἱοῦ τὸ Πνεῦμα νομίζει διέρχεσθαι· καὶ κενὸν ἑαυτοῦ τοίνυν ἕξει μεταξὺ, ὃ καὶ πλήρης ὢν ἀεὶ καὶ τὰ πάντα πληρῶν· καὶ ὡς ἐν τόπῳ τῷ Υἱῷ περιληφθήσεται τὸ Πνεῦμα· καὶ πέρας ἕξει τοῦ Υἱοῦ, καθὸ τὸ Πνεῦμα περιλήψεται· πῶς δὲ καὶ αὐτὸς ὁ Υἱὸς ἐστὶν ἐν τῷ προοδικῶς δι' αὐτοῦ διερχομένῳ Πνεύματι; εἰ δὲ ὡς δι' ὀργάνου, καὶ τοῦτο βλάσφημον· ἢ καθάπερ δι' αὐτοῦ τὰ πάντα ἐκ τοῦ Πατρὸς, ὡς τῷ Πατρὶ συνδημιουργοῦντος, ἔστω καὶ τὸ Πνεῦμα δι' αὐτοῦ; ἀλλὰ καὶ τοῦτο δύσφημον· λοιπὸν εἰπεῖν, ὅτε συνεκπορεύοντος αὐτό· ἐκεῖν καὶ αὐτὸ ἑαυτὸ συνεκπορεῦον τὸ Πνεῦμα τελειώσει ἑαυτὸ, ὥσπερ κἀκεῖ συνδημιουργοῦν τελεσιουργεῖ τὰ πάντα· τί γάρ ποτε κοινὸν Πατρίτε καὶ Υἱῷ, ὃ μὴ κοινόν ἐστι καὶ τῷ Πνεύματι; εἶεν.

Ἀλλ' ἡ ΔΙΑ φασὶν ἐφ' ὧν τίθεται, τὴν τοῦ Υἱοῦ μόνον μεσότητα πρός τε τὸν Πατέρα καὶ τὸ Πνεῦμα δείκνυσιν, ἀλλ' οὐχ ἑτέραν διαφοράν· ἡ γὰρ ΔΙΑ, φησὶν ὁ μέγας Βασίλειος, „ἐκ ἄτονον τοῦ Υἱοῦ παρίστησι τὴν ἐνέργειαν, ἀλλὰ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν „ἔχει· καὶ πάλιν· πανταχοῦ γὰρ ἡ ΔΙΑ ἐφ' ὧν παραλαμβάνεται, τῷ πρὸ ταύτης αἰτίῳ συναγωνίζεται· πρὸς „αὐτὴν τὴν ἐνέργειαν εἰ ἐκεῖνος σκοπεῖ, εἴτε ἐπὶ τῶν Φυσικῶν, εἴτε ἐπὶ τῶν τεχνητῶν ἐθέλοιτις τὸν λόγον γυμνάζειν· ἀλλ' ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἐπεὶ μία τῷ ἀριθμῷ Φύσις θεωρεῖται, καὶ μία αὐτῆς καὶ ἐνέργεια ἡ πρόοδος, καὶ εἷς καὶ ὁ αὐτὸς Θεὸς, εἰκότως ἡ μὲν τοῦ Υἱοῦ ΔΙΑ, τῆς τοῦ Πατρὸς ΕΚ κατὰ τὴν σημασίαν διίσει· ἀλλ' αὐτὴ μὲν πρὸς τὴν ΕΚ μεταβήσεται, ἐκείνη δ' αὖ πρὸς τὴν ΔΙΑ μεταχήσεται· καὶ κοινὴ μία καὶ ἡ αὐτὴ μετὰ τοῦ Πατρὸς ἀρχὴ τοῦ ἁγίου Πνεύματος ἔσται, διὰ τὸ πρὸς τὸν Πατέρα τοῦ Υἱοῦ ὁμόθεον, καὶ τὸ

τῆς

γειαν σιωπάιδιον εἶναι τοῖς θείοις προσώποις, ἴσιν καὶ ἐκ ἐπίκτητον, ἵνα μὴ καὶ ἀτελὴς Θεὸς ἡμῖν ἡ Τριὰς ποτὲ νομισθείη.

Ὅτι δ' ἀληθῆ ταῦτα, κἀκεῖθεν δῆλον. Ὁ γὰρ μέγας Βασίλειος τὰς ἐνεργείας τῶ Πνεύματος, τάς τε δωρεὰς, καὶ τὰ χαρίσματα ἀπαριθμησάμενος, ἐν τοῖς κατ' Εὐνομίε, ἐπάγει „ταῦτα πάντα ἀιδίως ἔχει τὸ „Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχον ἐπίκτητον, ἀλλ' ἀιδίως „πάντα ἔχον· καὶ πάλιν· ἐκ ἐν χρόνω τὸ προϊὸν ἐκ τῶ „Θεῶ προεισι, κἂν ἐν χρόνω τὰς ἐνεργείας ἀποδιδῶ· ἔντε τῶ πεντεκαιδεκάτω τῶ πέμπτε περὶ Τριάδος ὁ μακάριος „Αὐγεστῖνος ῥητῶς ἔτω τίθηται, „λέγω δὲ καθ' ἡμᾶς τὸ „Πνεῦμα τὸ ἅγιον, εἰ ἔτως ἐξεπορεύετο ὡς μέλλειν δοθήσεσθαι, ἤδη δῶρον ἰῶ καὶ πρὶν εἶναι τὸν ὧ ἂν δοθείη· „ἄλλως γὰρ νοεῖται δῶρον λεγόμενον, καὶ ἄλλως ἐπειδὰν „δεδωρημένον λέγηται· καὶ γὰρ δῶρον μὲν δύναται εἶναι „καὶ πρὶν ἢ δοθῆναι, δεδωρημένον δὲ, εἰ μὴ δοθείη, κατ' „οὐδένα τρόπον δύναται λέγεσθαι. Ἔντε τῶ ις'. τῶ αὐτῶ „πάλιν· καὶ γὰρ ἀιδίως μὲν δῶρον τὸ Πνεῦμα, χρονικῶς δὲ δεδωρημένον. Τούτοις καὶ ὁ μέγας Μάξιμος σιωπάδων φησὶ, „πάσῃ ἐνεργείᾳ ὅλον ἀνελλιπῶς ὑπάρχει τὸ Πνεῦ„μα τὸ ἅγιον· πάντα γὰρ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ „Πνεῦμα· καὶ μάλα εἰκότως φαίη τις ταυτί· ὃ γὰρ ἔχει Θεὸς ἐξ ἀιδίε ἔχει, καὶ ἐκ ἐπίκτητον· εἰ καὶ ἐν χρόνω καὶ προσφάτως, οἷς ἂν ἐθέλοι τοῦτο διὰ φιλανθρωπίαν δείκνυσιν· ἐπεὶ καὶ δημιουργεῖ μὲν προσφάτως, καὶ ὅτε βέλεται, ἐξ ἀιδίε μέντοι τὸ δημιουργεῖν ἔχει.

Λοιπὸν ἐκ πάντων τούτων σιωπάγαγε ἄνθρωπε ὁ θέλων ἀληθείᾳ σωθῆναι, καὶ ὀρθοδόξως πιστεύειν εἰς τὴν Τριάδα τὸν ἕνα Θεόν· ὅτι τὸ Πνεῦμα τὸ ἅγιον λέγεται προϊέναι ἐκ τῶ Πατρὸς δι' Υἱῶ, καὶ διὰ τὴν ταυτότητα τῆς ἐσίας, καὶ ὡς συμπαρομαρτῶν τῷ λόγῳ, καὶ σὺν αὐτῷ, καὶ μετ' αὐτῶ ἐκ τῶ Πατρὸς ὄν, καὶ δι' αὐτῶ τῆς ἀξίοις διδόμενον· ἃ μὲν διὰ τὸ καὶ ἐξ αὐτῶ προσωπικῶς ἐκπορεύεσθαι. Καὶ ἀσεβὲς πάσῃ προθέσει πρὸς

τῷ

μόνοι σώζειν τὴν τῶν μελῶν πρὸς ἄλληλα συμφωνίαν, ἢ τὴν ὑποταγὴν πρὸς τὴν κεφαλὴν ἡμῶν, ἢ τις ἐστὶν ὁ Χριστός; ὥσπερ γὰρ ἡ χεὶρ, ἢ ὁ πούς, ἢ ἄλλο τι τῶν τοῦ αὐτοῦ σώματος μελῶν, τὴν μὲν ἔχει δύναμιν, τῆς δὲ ἐπιδεὲς ἐστὶ, καὶ ἄνευ τῆς τῶν λοιπῶν μελῶν συνεργίας, ἅτε τὴν ἑαυτοῦ ἐνέργειαν δυνατὴν, ἢ αὐτάρκη ἑαυτῷ πρὸς διαμονὴν εὑρίσκει, ἅτε παραμυθίαν ἔχει τοῦ λείποντος· οὕτω καὶ ἐν τῇ ἡμετέρᾳ ζωῇ, καὶ τὸ παρὸν ἡμῖν ἄχρηστον γίνεται, καὶ τὸ ἐλλεῖπον ἀπαραμύθητον, χωρὶς τῆς πρὸς ἀλλήλους συναντιλήψεως· εἰ δὲ καὶ πάντες συγγενεῖς, καὶ πάντες ἀδελφοὶ, καὶ ἑνὸς Πατρὸς ἔκγονοι πάντες, καὶ ἀπὸ τοῦ αὐτοῦ πηλοῦ καὶ κράματος διηρτύμεθα, καὶ ἀδελφὴ ἡ φύσις ἡμῶν κατὰ σάρκα, καὶ ἀδελφὴ ἡ γέννησις ἡμῶν ἡ κατὰ Πνεῦμα, ἴσοι πάντες ἐσμὲν ἐν Χριστῷ, πῶς δυνάμεθα τῷ Χριστῷ εἶναι καὶ ἀλλήλων ἔχεσθαι, μὴ συνεργοῦντες ἀλλήλοις ἐν ὁμονοίᾳ;

Διὸ φησὶν ὁ τὴν γλῶτταν Χρυσοῦς, „ ἐὰν ὁμονοίας „ ἴσον, ἐὰν συμφωνίας διὰ Θεὸν, ὁ γὰρ εἷς πολλοστὸς ἐστὶν „ ἕτος· ἂν γὰρ ὁμόψυχοι ὦσι δύο, ἢ δέκα, ἐκέτι εἷς ἐστὶν „ ὁ εἷς, ἀλλὰ δεκαπλάσιος ἕκαστος αὐτῶν γίνεται, καὶ „ εὑρήσεις ἐν τοῖς δέκα τὸν ἕνα, καὶ ἐν τῷ ἑνὶ τοὺς δέκα· „ κἂν ἐχθρὸν ἔχωσιν, ὁ τῷ ἑνὶ προσβαλὼν, ἐν τοῖς δέκα „ προσβαλὼν ἕτως ἀλίσκεται· ἐ γὰρ ὑφ' ἑνὸς βάλλεται „ μόνον, ἀλλ' ὑπὸ τῶν δέκα σωμάτων· ἠπόρησεν ὁ εἷς, ἀλλ' „ ἐκ ἔστιν ἐν ἀπορίᾳ, τῷ γὰρ μείζονι μέρει, τοῦτέστι τοῖς „ ἐννέα εὐπορεῖ· καὶ τὸ ἀπορῶν συσκιάζεται μέρος· ἕκαστος „ τούτων εἴκοσι χεῖρας ἔχει, καὶ εἴκοσιν ὀφθαλμοὺς, καὶ „ πόδας τοσούτους· ἐ γὰρ τοῖς ἑαυτοῦ μόνον ὀφθαλμοῖς ὁρᾷ, „ ἀλλὰ καὶ τοῖς ἑτέρων· ἐ τοῖς ἑαυτοῦ βαδίζει ποσὶν, ἀλ- „ λὰ καὶ τοῖς ἑτέρων· ἐ ταῖς ἑαυτοῦ χερσὶν ἐργάζεται, „ ἀλλὰ καὶ ταῖς ἐκείνων· ψυχὰς ἔχει δέκα· ἐ γὰρ αὐτὸς „ ὑπὲρ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ἐκεῖνοι ὑπὲρ αὐτοῦ μεριμνῶ- „ σιν· εἰ δὲ καὶ ἑκατὸν γένοιντο, τὸ αὐτὸ ἔσαι πάλιν, καὶ „ ἑκατονθήσεται τὰ τῆς δυνάμεως. Εἶδες ἀγάπης ὑπερβο- „ λήν; πῶς ἀκαταγώνιστον ποιεῖ τὸν ἕνα καὶ πολλαπλα-

„ σίω;

ἐπηρεάζεσιν· ἐπείπερ ἔτοι εἰσὶν, οἱ τὲς μισθὲς προξενῆντες τοῖς ὑπομένεσιν.

Ἐπίσησον δὲ κἀκεῖνο, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνεις, καὶ ἄλλος τοιῆτος εἶ· καὶ εἴ τινων δὲ ἁμαρτημάτων ἀπέχῃ, ἢ διὰ δειλίαν, ἢ διὰ κενὴν δόξαν, ἢ τοιῆτον τὶ κακὸν ἀπέχῃ· εἶτα ἐδὲ εἰ ἁμαρτάνεσι κατείληφας ὁμολογεμένως· πολλὰ γὰρ ἄλλως γίνεται, καὶ ἑτέρως δοκεῖ· καὶ ὅλως πολλὰ δεῖ πρότερον παθεῖν, ἵνα περὶ ἀλλοτρίας πράξεως ἀποφήνῃταί τις καταληπτικῶς· ὅταν δὲ καὶ λίαν ἀγανακτῇς, ἢ δυσπαθῇς, ἀκαριαῖος ὁ ἀνθρώπινος βίος, καὶ μετ' ὀλίγον πάντες ἐκλείπομεν· μνήθητι δὲ καὶ ὁπόσα προσκρέεις Θεῷ καθ' ἑκάσλω ἡμέραν, εὐ διανοίᾳ, εὐ λόγοις, εὐ πράξεσιν· ἀλλ' ὅμως τῆς τῶν τοιήτων καὶ τηλικήτων ἁμαρτημάτων ἀπαλλαγῆς, ἔδωκεν ἡμῖν σωτόμον καὶ ῥαδίαν ὁδὸν, καὶ παντὸς ἀπηλλαγμένῳ πόνε ὁ Θεός· ποῖος γὰρ πόνος ἀφεῖναι τῷ λυπηκότι; πόνος μὲν ἓν τὸ μὴ ἀφεῖναι, ἀλλὰ κατέχειν τινὰ ἔχθραν· ὡς τόγε ἀπαλλαγῆναι ταύτης, καὶ ἄνεσιν πολλὴν ἡμῖν ἐμποιεῖ, καὶ σφόδρα εὔκολον τῷ βελομένῳ· ἐδὲ γὰρ πέλαγος διαβῆναι δεῖ, ἐδὲ ὁδὸν ἀποδημῆσαι μακρὰν, ἐ δὲ κορυφὰς ὀρῶν ὑπερβῆναι, ἐδὲ χρήματα δαπανῆσαι, ἐδὲ κατατεῖναι τὸ σῶμα· ἀλλ' ἀρκεῖ θελῆσαι μόνον, καὶ πάντα λέλυται τὰ ἁμαρτήματα· „ ἀψευδὴς γὰρ ὁ εἰπὼν ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ ἐράνιος τὰ παραπτώματα ὑμῶν· αὐτῷ ἡ δόξα εἰς τὲς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ

τρὸς δὶ Υἱῦ· καὶ περὶ τύτε τοῖς αἱρεμένοις ὀρθοδοξεῖν ενδοιάζειν ἐκ ἔξεσιν· ἕτω καὶ γὰρ γνωριθῆναι ἡμῖν ὁ τῶν ὅλων Θεὸς ἡ Τριὰς ἠρετίσατο· ἐν μὲν τῇ παλαιᾷ, ὁ Πατὴρ ὡς Θεὸς μόνος· ἐν δὲ τῇ νέᾳ καὶ ὡς Πατήρ· ὁ δὲ Υἱὸς ἐν τῇ ἐνσάρκῳ οἰκονομίᾳ Υἱὸς τῦ Θεῦ καὶ Πατρὸς ἐκφανέσταται· μετὰ δὲ τὴν τύτε ἀνάληψιν, τὸ Πνεῦμα τὸ ἅγιον καὶ τῦτο ἔναι Θεός· καὶ αὕτη ἐσὶν ἡ ἐπαγγελία τῦ Πατρὸς, ἤτοι ὁ θεῖος προορισμὸς τῦ συγκαταβῆναι, καὶ ἐμφανισθῆναι, καὶ γνωρισθῆναι ἡμῖν τὸ ὑπερέσιον Τριάδα, διὰ τῆς ἑκάσε κατὰ καιρὸν ἐνδημίας, ἢ παρεσίας, ἢ φανερώσεως, καθὼς ὁ Σωτὴρ
» ἔφη, ἰδὲ ἐγὼ ἀποσέλλω τὴν ἐπαγγελίαν τῦ Πατρός με
» ἐφ' ὑμᾶς.

Ἀλλά μοι πρὸς ταύτην τὴν ἐκ Πατρὸς δὶ Υἱῦ τὸ Πνεῦμα φωνὴν, χρήσεσι πλείσαις Διδασκάλων χρησαμένῳ πρὸ τύτε, ἐκαίρε δῆθεν τινὲς δραξάμενοι ἀφορμῆς χρῆσιν αἰγίδ καὶ αὐτοὶ παρεισήγαγον λέγοντες, ὅτι ἐπὶ Πατρὸς καὶ Υἱῦ, ἡ ΔΙΑ ἁδὲν διαφέρει τῆς ΕΚ, ὡς ἄρα ὁ μέγας Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον δείκνυσι
» λέγων „ ἁδὲν ἀπᾴδον εἰς τὴν ΕΚ τὴν ΔΙΑ μεταλαμ-
» βάνειν· πολλάκις γὰρ ἀντιμεθίσαται ἡ ΔΙΑ καὶ ἡ ΕΚ
» ὅταν ἑτέρα τὴν ἑτέραν σημασίαν ἀντιλαμβάνῃ· οἷον ἐκ-
» τησάμην ἄνθρωπον διὰ τῦ Θεῦ, ἴσον λέγει τῷ ἐκ τῦ
» Θεῦ· καὶ ἑτέρωθι, ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰσραὴλ,
» διὰ προσάγματος Κυρίε· καὶ πάλιν ἐχὶ διὰ τῦ Θεῦ ἡ
» διασάφησις αὐτῶν ἐσίν; ἀντὶ τῦ ἐκ τῦ Θεῦ εἰπεῖν, διὰ
» τῦ Θεῦ εἴρηκε· πλὴν ἁδὲ ἡ χρῆσις αὕτη σωτείνει πρὸς τὸ ἑαυτῶν συμπέρασμα. Εἰ γὰρ καὶ ἁδὲν ἀπᾴδον εἰς τὴν ΕΚ τὴν ΔΙΑ μεταλαμβάνειν ἔναι φησὶν, ὁ διδάσκαλος, καὶ ἀντιμεθίσαθαι τὴν ΔΙΑ καὶ τὴν ΕΚ, καὶ τὰ ἑφεξῆς, ἀλλὰ πολλάκις ἃ πάντοτε φησὶ, καὶ ἐπὶ τῶν κτισμάτων ἐκ ἐπὶ τῶν θείων προσώπων ἀφορώσης τῆς ἐννοίας τῦ λόγε. Διὸ καὶ τὸν Ἀπόσολον παρή-
» γαγεν εἰπόντα „ ἐξ αὐτῦ, καὶ δι' αὐτῦ, καὶ εἰς αὐτὸν
» τὰ πάντα· καὶ μετά τινα ἐπάγει, ἔτε ὁ Πατὴρ τὸ ἓξ
„ ἓ λα-

δὲ διὰ τῦ Υἱῦ ἐκπορεύεσθαι, ἀλλ' ἐκ Πατρὸς δι' Υἱῦ· τῦτο δ' αἴτιον μὲν καὶ σφόδρα δείκνυσι τὸν Πατέρα, τὸν Υἱὸν δὲ ἐδαμῶς. Ὅταν γὰρ προηγεμόνης τῆς ΕΚ, καὶ τλὺ αἰτίαν τῆς ὑπάρξεως ἐχέσης μεθ' ἑαυτῆς, ἕπεται ἡ ΔΙΑ, ἐκ ἔστιν ἐξ ἀνάγκης τλὺ αὐτλὺ αἰτίαν πάλιν διδόναι καὶ τῇ ΔΙΑ, ἐδὲ σώηθες, ἐδὲ τῇ τέχνῃ ἑπόμενον· ὅταν γὰρ ἡ ΔΙΑ τλὺ αἰτίαν ταύτλυ χαρακτηρίζῃ, πάντως ταύτλυ ἴσμεν κειμένλυ ἀντὶ τῆς ΕΚ, ὅταν δὲ πρόθεσις ἀντὶ προθέσεως κέηται, ἐδεμία τῷ λόγῳ βλάβη ἐκείνλυτε ἀφελεῖν, καὶ τλὺ τὸ ἴσον δυναμένλυ τῷ λόγῳ δῆναι· ἀλλ' ἀταῦθα τῦτο ἐκ ἔνι ἐδεμιᾷ μηχανῇ· ἐ γὰρ ἂν ἐποιτις ἀπλαίσως, ἐκ Πατρὸς ἐξ Υἱῦ, ἐδ' ἂν τολμήσειε πισθεῖν διὰ Πατρὸς ἐξ Υἱῦ, ἢ διὰ Πατρὸς δι' Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι. Εἰ δὲ χρὴ τλὺ αἰτίαν σημάναι, τὶ λοιπὸν βέλεται ἡ ΔΙΑ ἐνταῦθα σημαίνειν, εἰπεῖν ἐ κατοκνήσομεν, ἐ δαμῶς ὕπνε καὶ ξαχώνης κρείττονα τλὺ τῦ καλῦ ποιήμνοι θήραν· ὡς ὅπε δ' ἂν ἐπὶ τῶν θείων προσώπων κέοιτο ἡ ΔΙΑ, τλὺ ἐσιώδη ἐνέργειαν, καὶ τλὺ εἰς ἡμᾶς τῦ Πνεύματος χάριν, ἐχὶ προσώπε αἰτίαν σημαίνει τοῖς προσέχειν ἐθέλεσιν· ἡ μά τοιγε ΕΚ ἐχ ὡσαύτως, ἀλλ' ὑποτάσεως πρόοδον, καὶ τὸ διά τινος ἐπ' ἄλλλυ ἄλλας ἐννοίας σημαῖνον ἐπὶ τῶν θείων προσώπων, ὅπε δ' ἂν κέηται ἐνεργείας ἐστὶν ἀεὶ σημαντικὸν, ἀλλ' ἐκ ἐκπορεύσεως, ἢ γεννήσεως. Ἐνθεντοι καὶ ἐδενὶ τῶν ἐπὶ θεολογίᾳ μέγα κληρωσαμένων ὄνομα ἐπῆλθεν εἰπεῖν ποτὲ, ἐκ τῦ Πατρὸς διὰ τῦ Υἱῦ τὸ Πνεῦμα ἔχειν τλὺ ὕπαρξιν· ἢ προσωπικῶς ἐκ τῦ Πατρὸς διὰ τῦ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἀλλ' ἐκ τῦ Πατρὸς μὲν προηγεμένως ἐκπορεύεσθαι τῦτο ἅπαντες λέγεσι, διὰ δὲ τῦ Υἱῦ καὶ προϊέναι, καὶ ἐκλάμπειν, καὶ κεχύθαι, καὶ ἁπλῶς ὅσα τλὺ δόσιν αὐτῷ διὰ τῦ Υἱῦ μαρτυρεῖ, ἀλλ' ἐχὶ τὸ αἴτιον τῆς αὐτῦ ὑποτάσεως δείκνυσιν.

Ὅτι δὲ ἐπὶ τῦ θείε Πνεύματος λεγομένη ἐ τὸ τῆς ὑποτάσεως αἴτιον ἡ ΔΙΑ, τλὺ δὲ τῦ Πνεύματος χορηγίαν

καὶ διὰ τῦ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι νομίζομεν. Καὶ οὐ μόνον γεννᾶσθαι πιστεύομεν τὸν Υἱὸν ἐκ Πατρὸς, ἀλλὰ καὶ διὰ τῦ Πατρὸς γεννᾶσθαι τοῦτον κηρύττομεν· ὅπερ πάντη καὶ ἀσωπήτη καὶ βλάσφημα. Πρὸς δὲ, εἴπερ ἡ ΕΚ ταυτοδυναμεῖ τῇ ΔΙΑ ἐπὶ τῆς θείας Τριάδος, ἐπεὶ καθάπερ τὸ Πνεῦμα διὰ τῦ Υἱῦ, ὕτω καὶ ὁ Υἱὸς διὰ τῦ Πνεύματος τοῖς ἀξίοις παρέχεται, ἄρα καὶ τὸ Πνεῦμα ἐκ τῦ Υἱῦ γεννᾶται, καὶ ὁ Υἱὸς ἐκ τῦ Πνεύματος ἐκπορεύεται· καὶ ἐκ τῦ Πατρὸς, καὶ ἐξ ἀλλήλων ταῦτα τὰ πρόσωπα καὶ ἐστὶ καὶ ἐσῖται καὶ πρόεισιν· ἐκῶν τότε πείσει μέτις νομίζειν εἶ τι καὶ ταυτὸν ταύτας δηλῶν τὰς φωνὰς, ἤτοι τιὼ ἐκ Πατρὸς καὶ Υἱῦ, καὶ τιὼ ἐκ Πατρὸς δι' Υἱῦ, ὅταν τιὼ ΔΙΑ πρόθεσιν εἰς τὸν ΚΑΙ συνδεσμον μεταλαβεῖν δυνηθῇ· ὡς ἕως ἂν ἕτος μὲν συνδεσμος μένῃ, ἐκείνη δὲ πρόθεσις λέγηται, τιὼ μὲν τῦτο τέως, τὸν δὲ πάλιν ἄλλοτι σημαίνειν δοκῶ.

Εἶτα πῶς αὐτοὶ ἐν τῷ ἰδίῳ Συμβόλῳ ἐχ ὁμολογῦντες πιστεύειν, εἰς τὸ ἐκ Πατρὸς δι' Υἱῦ ἐκπορευόμενον Πνεῦμα, ἀλλ' εἰς ὃ ἐκ Πατρὸς καὶ Υἱῦ πρόεισιν, ἡμᾶς νεθετῦσι πιστεύειν εἰς τὸ ἐκπορευόμενον ἐκ Πατρὸς δι' Υἱῦ; Ἐρῶ δὲ τῦτο σαφέστερον. Ὅτι ἄλλο ἐστὶ τὸ ἐξ ἑνὸς εἶναί τι μόνον, καὶ ἄλλο ἐστὶ τὸ ἐκ δυοῖν εἶναι, καὶ ἄλλο τὸ ἔκ τινος διά τινος εἶναι. Τὸ μὲν γὰρ ἐξ ἑνὸς εἶναι, τῦ αὐ πρόσωπον ἑαυτῦ ἐχικότος αἴτιον, ἐστὶν ἴδιον· τὸ δὲ ἐκ δυοῖν, τῦ δύο πάντως κληρωσαμένε τὰ αἴτια· τὸ δ' ἔκτινος διά τινος εἶναι, τῦ κτωμένε διά τινος μεσιτεύοντος αὐτὸ τῦτο εἶναι ὅπερ ἐστί. Τέτων ἕτως ἐχόντων, λοιπὸν ἄλλο ἐστὶ τὸ ἐκ τῦ Πατρὸς μόνον τὸ Πνεῦμα, καὶ ἐχ ἑτέρωθέν ποθεν ἐκπορεύεσθαι, καὶ ἄλλο τὸ ἐκ τῦ Πατρὸς αὐτὸ καὶ ἐκ τῦ Υἱῦ ἔχειν τιὼ ὕπαρξιν, καὶ ἄλλο τὸ ἐκ τῦ Πατρὸς αὐτὸ δι' Υἱῦ ἐκπορεύεσθαι· τὸ μὲν γὰρ σημαίνει, τὸ ἐξ ἑνὸς μόνε προσώπε, τῦ Πατρὸς δηλονότι τὸ Πνεῦμα τὸ ἅγιον ἔχειν τιὼ τῆς ἑαυτῦ ὑποστάσεως ἀρχιώ· τὸ δὲ, τὸ ἐκ δύο προσώπων, ἤτοι ἐκ τῦ Πατρὸς, καὶ τῦ Υἱῦ, προσεχῶς καὶ ἀμέσως αὐτὸ ἐκπορεύεσθαι·

τὸ

ἐκ τῆς ὑποςάσεως τῦ Υἱῦ τὸ Πνεῦμα τολμᾷ τις λέγειν, τὰς λέγοντας τᾶθ' ἁγίας ἀναγέτω εἰς μάρτυρας.

Αὖθις, ἐὰν προσωπικὸν πρὸς ἐσιῶδες τιὺ ἀναφορὰν ἔχει, ἀλλὰ τῷ ὁμοίῳ ἀντίκειται, κατὰ τὰ πρός τι δηλαδὴ, ὡς τὸ γαννᾶσθαι πρὸς τὸ γεννᾶν· ἐπεὶ δὲ τὸ προβάλλεσθαι προσωπικόν· εἰ γὰρ μὴ τᾶτο, ἐδ' ἂν ἡ ἐκπόρευσις ἰδιότης τῦ Πνεύματος· καὶ τὸ προβάλλειν τὸ Πνεῦμα ἐξ ἀνάγκης τοιᾶτον· πρὸς αὐτὸ γὰρ τὸ προβάλλεσθαι ὡς εἰς αἴτιον ἀναφέρεται· ὥστε ἐκ ἐκ τῆς ἐσίας τῦ Πατρὸς καὶ τῦ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ἥτις ἐςὶ κοινὴ καὶ τῷ Πνεύματι.

Πρὸς δὲ, εἰ ἐκ τῆς τῦ Πατρὸς καὶ Υἱῦ ἐσίας, ὡς ἀφ' ἑνὸς αἰτίε τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ὅτι ταυτὸν ἐςὶν ἡ μία ἐσία Πατρὸς καὶ Υἱῦ, ταῖς δυσὶν αὐτῶν ὑποσάσεσιν, ἕπεται καὶ τὸν Υἱὸν ἐκ τῆς ἐσίας τῦ Πατρὸς καὶ τῦ Πνεύματος, ὡς ἐξ ἑνὸς αἰτίε γεννᾶσθαι· διότι ταυτὸν ἐςὶ κατὰ τιὺ νέαν θεολογίαν ἐπὶ τῆς ὑπερθέε Τριάδος, ἐσίατε καὶ ὑπόσασις· εἰ δὲ τὸ δεύτερον ἄτοπον, καὶ τὸ πρῶτον τοιᾶτον.

Ἔτι, εἰ ὁ Πατὴρ καὶ ὁ Υἱὸς σὺ τῦ ἁγίε Πνεύματος αἴτιον κατά τε τιὺ μίαν ἐσίαν αὐτῶν, πρὸς δὲ καὶ κατὰ τὰς ἑαυτῶν ὑποσάσεις, λείπεται τὸ Πνεῦμα τὸ ἅγιον, μὴ μόνον σὺ εἶναι κατ' ἰδίαν ὑπόσασιν, ἀλλὰ καὶ κατὰ τιὺ ἰδίαν ἐσίαν σὺ· ὥτε μόνον κατὰ ταύτιν τιὺ θείαν ἐσίαν ἰδίως τιὺ ἑαυτῦ, καὶ σὺ κατὰ τιὺ οἰκείαν ὑπόσασιν, σὺ τῇ θείᾳ Τριάδι μόνον αἰτιατόν.

Ἔτι, εἰ τὸ Πνεῦμα τὸ ἅγιον ὡς ἐξ ἑνὸς αἰτίε τῆς ἐσίας τῦ Πατρὸς καὶ τῦ Υἱῦ ἐκπορεύοιτο, διότι ταυτὸν ἐςὶν σὺ τῇ θεότητι ἐσία καὶ πρόσωπον, ἃ μόνον ἔσαι τὸ Πνεῦμα τῇ τῶν τριῶν κοινῇ ἐσίᾳ ταυτὸν, ἀλλὰ καὶ ὁ Υἱὸς ταύτῃ ταυτὸν, καὶ ὁ Πατὴρ τῇ αὐτῇ ἐξ ἀνάγκης ταυτόν· καὶ λοιπὸν, ἢ τρία ἔσαι ταυτὰ ἡ Τριὰς, ἢ σὺ μόνον αὕτη ἀκολέθως ταυτόν.

Ἔτι

της ἀδέποτε μὲν ἀφ' ἑνὸς, ἐπὶ δυοῖν δὲ τελάχιστον λέγεται· εἰ δὲ τοσαῦτα πάντοθεν ἄτοπα ἐπιῤῥέει δοθέντος ἐκ τῆς οὐσίας τῆ Πατρὸς καὶ τῆ Υἱῆ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἐκ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς τῆ Πατρὸς καὶ Υἱῆ οὐσίας, ἀλλ' ἐκ τῆς τῆ Πατρὸς ὑποστάσεως μόνε ἔχει τὸ εἶναι ὅπερ ἐστὶν· ὥσπερ γὰρ τὰ προσωπικὰ ἀκοινώνητα διαμένοντα προσώπων ἐμφαίνουσιν ἑτερότητα, ἕτω τῶν αὐτῶν ὄντων ἕτερα νοεῖν καὶ προσώπων ταυτότητα· ἢ διατὶ τὰ μὲν οὐσιώδη ταυτὰ ὄντα, οὐσίαν χαρακτηρίζουσι τινὶ αὐτινὶ, τὰ δὲ προσωπικὰ ὡσαύτως ἔχοντα, οὐκ ἂν δείξειεν προσώπων ταυτότητα; εἰ δὲ διὰ τὸ εἶναι οὗ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, διὰ τῆτο πάντως καὶ ἐξ ἀμφότερα τῆ Πνεύματος αἴτιος, καὶ ὁ Πατὴρ ἄρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὗ· ὃ γὰρ οὗ μὲν τῇ οὐσίᾳ Πατὴρ καὶ Υἱὸς, ἐχ οὗ δὲ ταύτῃ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον· εἰδὲ οὗ, καὶ τῆ αὐτῆ λοιπὸν αἴτιος· ὥστε τῆ Πατρὸς αἰτίᾳ ὄντος τῆ Λόγε, αἴτιον ἔσαι πάντως αὐτῆ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἔτε διὰ τέτες τὸς λόγες αἴτιον τὸ Πνεῦμα τῆ Λόγε, ἀτ' αὖ ὁ Λόγος ἔσαι τῆ Πνεύματος αἴτιος.

Ὅτι δ' ἀληθῆ τὰ προειρημένα, ὡς ἐκ ἐκ τῆς οὐσίας τῆ Πατρὸς καὶ τῆ Υἱῆ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ὡς οὐδὲ ὁ Υἱὸς ἐκ τῆς τῆ Πατρὸς καὶ τῆ Πνεύματος οὐσίας ἔχει τινὶ γέννησιν, δῆλον ἐκεῖθεν· ἐν ἑκατοστῷ γὰρ Κεφαλαίῳ τῶν αὐτῆ Δογματικῶν Ἰωάννης ὁ Δαμασκηνὸς, ἕτω θεολογεῖ· „ τὸ ἀγέννητον καὶ γεννητὸν, οὐ φύσεως, ἀλλ' ὑποστάσεως· καὶ πάλιν, ὅθεν γινώσκομεν ὡς „ ἐκ ἔστι φύσεως τὸ γεννᾶσθαι, ἀλλ' ὑποστάσεως· εἰ γὰρ „ φύσεως ἦν, ἐκ ἂν ἐν τῇ αὐτῇ φύσει τὸ γεννητὸν ἐθεωρεῖτο καὶ τὸ ἀγέννητον. Καὶ ὁ θεῖος δὲ Γρηγόριος ὁ Νύσσης, ἐν μὲν τῷ περὶ θεογνωσίας Βιβλίῳ Πνεῦμα λέγει τὸ τῆς Πατρικῆς ἐκπορευόμενον ὑποστάσεως· ἐν δὲ τῷ περὶ Θεωνυμίας λόγῳ, οὗ φησὶ πρόσωπον καὶ τὸ αὐτὸ τῆ Πατρὸς, ἐξ ὅπερ ὁ Υἱὸς γεννᾶται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. Ὅγε μὴν Μάξιμος ὁ τῇ ὁμολογίᾳ

„ γίᾳ

τοῖς Ἰταλοῖς, ἐχ εὕρηται ἐθ' ἡ ΕΚΠΟΡΕΥΣΙΣ τὄνομα, ἐδὲ τὸ ΕΚΠΟΡΕΥΕΣΘΑΙ ῥῆμα· ὅθαν ἀντὶ μὲν τῦ εἰπεῖν ἡ ἐκπόρδυσις, ἡ πρόοδος φασίν· ἀντὶ δὲ τῦ ἐκπορδύεται, τὸ πρόεισι λέγεσι· καὶ τὸ δεινότατον, ὅτι καὶ ταὔτα τοῖς παρ' ἡμῶν λεγομένοις εἶναι ταυτὰ νομίζεσι· τὸ δ' ἀ τοιῦτον ἐςὶν, ἐδαμῶς. Ἡμῖν γὰρ αἱ φωναὶ αὗται ἐπὶ τῦ ἁγίε Πνεύματος λεγόμεναι, ἡ ΠΡΟΟΔΟΣ πρὸς τὶν ΕΚΠΟΡΕΥΣΙΝ, καὶ τὸ ΠΡΟΕΙΣΙ πρός τὸ ΕΚΠΟΡΕΥΕΤΑΙ, τοιαύτιν ἔχει τὶν διαφοράν, οἵαν ἔχει τὰ γένη πρὸς τὰ εἴδη, ἢ τὰ κοινὰ πρὸς τὰ ἴδια, ἢ τὰ καθόλε πρὸς τὰ καθ' ἕκαςα. Ἡ μὲν γὰρ πρόοδος κοινόν· „ ἡ τῆς „ Θεαρχίας γὰρ πρόοδος ὁ μέγας φησὶ Διονύσιος· καὶ Αὐ„ γεςῖνος, ἡ τῦ θείε προσώπε ἀποςολὴ ἀφ' ὅλης ἐςὶ τῆς „ Τριάδος· καὶ ὁ Κύριος πρὸ τέτων, ἐγὼ καὶ ὁ Πατὴρ ἐλθόσομεθα· ἡ δὲ ἐκπόρδυσις ἴδιον· τῇ ὑποσατικῇ καὶ γὰρ ὑπάρξει τῦ Πνεύματος μόνῃ ἀφώρισαι· καὶ τὸ μὲν πρόεισι κοινῶς ἐπὶ τῶν χαρισμάτων πάντων τὸ Πνεύματος μάλιςα λέγεται, ἔςι δ' ὅτε καὶ ἐπὶ τῆς αὐτῦ ἐκπορδύσεως, καὶ ἐπὶ ἄλλων πολλῶν· τὸ δὲ ἐκ τῦ Πνεύματος ἐκπορδύεται, ἐπὶ τῆς σημαντικῆς μόνον φωνῆς τῆς τῦ Πνεύματος ἰδιότητος· ὅθεν ἐκπορδύεθαι τῦτο ἐκ Πατρὸς καὶ Υἱῦ, ἐν ταῖς τῶν ἱερῶν Διδασκάλων χρήσεσιν εὑρεθῆναι ἀδιώατον, ὅταν εἰς τὸ τῦ Πνεύματος ὑπαρκτικὸν ἴδιον ἡ φωνὴ ἀναφέρηται, εἰ μήπε περὶ τῆς τῶν χαρισμάτων αὐτῦ παροχῆς ἐςὶν αὐτοῖς ὁ σκοπός· προϊέναι δὲ ἐκ Πατρὸς καὶ Υἱῦ, ἤτοι κατὰ τὰς αὐτῦ ἐνεργείας ἐκχεῖθαι, πολλαχῦ εὕρηται· διάτοι τῦτο καὶ οἱ τῶν Λατίνων ἀρχαῖοι Διδάσκαλοι, ἐκ τῆς ἑλλάδος φωνῆς τὶν θείαν Γραφὶν, καὶ τὰς ἱερὰς ἡμῶν Διδασκάλες εἰς τὶν Ῥωμαίων γλῶτταν μεθερμηνεύοντες, ἅτε Πατρίῳ ταύτῃ ςοιχῶντες, καὶ ἄλλως εἰπεῖν ἐκ ἔχοντες, τὶν πρόεισι τὸ Πνεῦμα, ταύτιν φωνὶν, καὶ ἐπ' ἀμφοῖν ταῖν σημασίαιν ἐχρήσαντο, τῆτε δηλέσῃ τὶν ὑποσατικὶν αὐτῦ ἐκ τῦ Πατρὸς ὕπαρξιν, λέγω δὴ τὶν ἐκπόρδυσιν, τῇ τε σημαινέσῃ τὶν μεταδοτικὶν αὐτῦ διὰ τῦ Υἱῦ

χάριν

αὐτὸν ἀῤῥήτως καὶ ὑπὲρ πᾶσαν αἰτίαν, τὸν αὐτὸν τρόπον φαμὲν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι· τετέσι παρ' αὐτοῦ προσωπικῶς ἐσιέναι, ὑπὲρ ἅπασαν ἔννοιαν· ἢ μεταβατικῶς ἐκπορευόμενον, ἢ χρονικῶς, ἢ πρός τινας, ἔκνευε· ἀλλὰ κατὰ μόνιμον ὕπαρξιν, καὶ τῷ Θεῷ λόγῳ συνάναρχον· κἂν ὁ μὲν γεννητῶς Πατρόθεν ἔχει τὸ εἶναι, τὸ δ' ἐκπορευτῶς, ἄλλον τρόπον ἀνέκφρασον.

Αὖθις δύο προχείρως περὶ τὸ ἅγιον Πνεῦμα καὶ ὄντων καὶ λεγομένων, ἐσίας καὶ ὑποστάσεως, περὶ μὲν τοῦ ὅθεν ἔχει τινὰ ἐσίαν τὸ Πνεῦμα, ἐδαμῶς ἡμεῖς πρὸς ἀλλήλους διαφερόμεθα, ἀλλὰ περὶ τῆς ὑποστάσεως μόνης τοῦ Πνεύματος ἔστιν ἡμῖν ἡ διαφορά· αὐτοὶ δ' ἐγκαλέμενοι μὲν παρ' ἡμῶν περὶ τοῦ προσώπου τοῦ Πνεύματος, ὅτι λέγεσι τοῦτο ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεσθαι, ἀπολογέμενοι δὲ περὶ τῆς ἐσίας αὐτοῦ, καὶ τὰ περὶ ταύτης λεγόμενα προβαλλόμενοι δήπε, ταυτὸν ποιοῦσιν, οἷον ἂν εἴτις ἐγκαλέμενος ὅτι πιστεύοι τὸν Δαβὶδ, κατὰ τινὰ ὑπόστασιν Υἱὸν εἶναι τοῦ Ἀδὰμ καὶ τοῦ Νῶε, ὁ δὲ προβάλλοιτο δῆθεν εἰς δικαίωμα μέγιστον, ἐπεὶ ὁ Δαβὶδ τινὰ ἰδίαν ἐσίαν ἐκ τοῦ Ἀδὰμ ἐπίσης καὶ τοῦ Νῶε πλεκτεῖ.

Ἵνα δὲ πιστότερον ἡμῖν τὸ λεγόμενον γένηται, καὶ καταδηλον πλείοσιν ᾖ, ἀνακεκαλυμμένῳ προσώπῳ, ἰδὲ καρδίᾳ καὶ γλώττῃ καὶ λαμπρᾷ τῇ φωνῇ, παῤῥησίᾳ κηρύττομεν, τὸ μὲν ἐσιωδῶς εἶναι τὸ Πνεῦμα, ἤτοι τινὰ ἰδίαν ἐσίαν ἔχειν ἐκ τοῦ Πατρὸς ἅμα καὶ τοῦ Υἱοῦ, ἐ μᾶλλον ἐχ ἧττον, ἀλλ' ἐπίσης ἐξ ἀμφοῖν, καὶ πιστεύομεν καὶ ὁμολογοῦμεν, καὶ τοὺς μὴ ἕτω δοξάζοντας ἀναθεματίζομεν· τὸ δὲ καθ' ὑπόστασιν, ἤτοι προσωπικῶς ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἀπαρνούμεθα, καὶ τοὺς ἕτω φρονοῦντας ἀποστρεφόμεθα. Ταῦτα ἕτω φρονοῦμεν, ἐχ ὡς καινῶν δογμάτων ἐφευρεταὶ, ἀλλὰ τοῖς θεολόγοις πᾶσι πειθόμενοι, ὁτὲ μὲν λέγεσι περὶ τῆς ἐσίας τοῦ Πνεύματος, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον τῆς αὐτῆς ἐσίας Πατρὶ καὶ Υἱῷ· καὶ

τὸ

» ἀναπαύεται εἰς τὴν καρδίαν ἡμῶν· ἐκεῖσε
» οἰκεῖ· παρερχομένων λοιπὸν τῶν κυμάτων τῆ ἀγρίᾳ χει-
» μῶνος, καὶ τῆ σκότους, καὶ κεῖ αὐτῆ λάμπουσιν αἱ ἀκτῖ-
» νες φωτὸς ἡδυτάτῃ γέμουσαι, εἰρήνης βαθείας ἐπεισελ-
» θούσης τῷ οἴκῳ τούτῳ. Ὅτι οἱ χρισιανοὶ ἄλλος αἰῶνος εἰ-
» σὶ γέννημα καινόν· τέκνα Πνεύματος ἁγίου φωτεινά·
» ὅμοιοι τῆ Πατρὸς αὐτῶν τῆ Ἀδὰμ τῆ πνευματικῆ, τῆ
» φωτεινῆ· ἐκείνης τῆς πόλεως, ἐκείνου τῆ γάμου, ἐκείνης
» τῆς δυνάμεως· ἐκ εἰσὶ τῆ κόσμου τούτου, ἄλλου κόσμου
» εἰσίν. Αὐτὸς γὰρ ὁ Κύριος λέγει, ὑμεῖς ἐκ ἐστὲ ἐκ τῆ
» κόσμου τούτου.

» Καὶ ὁ ἐκ Δαμασκῆ Ἰωάννης, μήτης μὲν προσοχῆς
» ἡσυχία· προσοχὴ δὲ θείας δόξης ἐμφάνεια· ὅταν γὰρ
» τὰς αἰσθήσεις μύσωμεν, καὶ ἑαυτοῖς καὶ τῷ Θεῷ συγ-
» γινώμεθα, καὶ τῆς ἔξωθεν τοῦ κόσμου περιφορᾶς ἐλευ-
» θερωθέντες ἐντὸς ἑαυτῶν γινώμεθα, τότε τρανῶς ἐν
» ἑαυτοῖς, τῆ Θεῆ τὴν βασιλείαν ὀψόμεθα· ἡ βασι-
» λεία γὰρ τῶν ἐρανῶν ἐντὸς ἡμῶν ἐστιν, ὡς Ἰησῆς ὁ Θεὸς
» ἀπεφθέγξατο.

» Καὶ ὁ ἅγιος Μάξιμος, γενόμενος ἄνθρωπος ὁ Θεὸς
» καὶ λόγος, ἵν' ἐνεργεμένῃ τὴν ἐκθεωτικὴν τῶν ὅλων
» ἐπιδείξηται χάριν, δι' ἣν καὶ γέγονεν ἄνθρωπος, φησὶν, ὁ
» Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· ὁ μὲν
» ἀδοκῶν, ὁ δ' αὐτεργῶν· καὶ τῆ ἁγίου Πνεύματος ἐσιω-
» δῶς τὴν τε τῆ Πατρὸς ἐπὶ πᾶσιν ἀδοκίαν, καὶ τὴν αὐ-
» τεργίαν τῆ Υἱῆ συμπληρῶντος· ἵνα γένηται διὰ πάντων
» καὶ ἐν πᾶσιν, εἰς ὁ ἐν Τριάδι Θεὸς, ἀναλόγως ἑκάστῳ
» κατὰ χάριν τῶν ἀξιεμένων, καὶ ὅλοις ἐνθεωρέμενος,
» ὡς ὅλῳ καὶ ἑκάστῳ μέλει τῆ σώματος δίχα μειώσεως ἐνυ-
» πάρχει φυσικῶς ἡ ψυχή· ἕκαστος δὲ κατ' ἀναλογίαν
» τῆς ἑαυτῆ πίστεως, φανερεμένην κέκτηται τὴν ἐνέργειαν·
» καὶ τοῦτο ἐστὶ τὸ τῆ Θεῆ εὐαγγέλιον· πρεσβεία Θεῆ καὶ
» παράκλησις πρὸς ἀνθρώπους, δι' Υἱῆ σαρκωθέντος, καὶ
» τῆς πρὸς τὸν Πατέρα καταλαγῆς μισθὸν δωρεμένῃ τοῖς
» πεισθεμένοις αὐτῷ τὴν ἀγένητον θέωσιν· ἀγένητον δὲ

λέγει

„ σιλικὰς, τὰς σκιωὰς· ἂν γὰρ τῷ φωτὸς ἐκείνῳ κατα-
„ ξιωθῇς, καὶ ταῦτα ὄψῃ, καὶ ἀπαλλαγήσῃ γενίννης· ἐκ
„ εἶπεν ἰῶ τὸ φῶς τῶν Ἰουδαίων, ἀλλὰ καθόλῳ τῶν ἀν-
„ θρώπων· κοινὸν γὰρ ἅπασι πρόκειται τοῦτο τὸ φῶς, μὴ
„ δὴ τὰς θύρας ἀποκλείσῃς τῷ φωτὶ τούτῳ, καὶ πολλῆς
„ ἀπολαύσῃ τῆς τρυφῆς· παραγίνεται δὲ τοῦτο τὸ φῶς
„ διὰ πίστεως, καὶ παραγενόμενον καταλάμπει λοιπὸν με-
„ τὰ πολλῆς δαψιλείας τὸν ὑποδεξάμενον, κἂν βίον παρέ-
„ χῃς καθαρὸν αὐτῷ, μένει διηνεκῶς ἐνοικῶν ἔνδον· καὶ
„ ὥσπερ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος, καὶ
„ αὐτὸς ἀκτῖνας ἐκπέμπει, ἐκ ἀπὸ τῆς οἰκείας φύσεως
„ μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς, ἔτω
„ καὶ ψυχὴ καθαιρομένη, καὶ ἀργυρίου λαμπροτέρα γινο-
„ μένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ Πνεύματος,
„ καὶ ταύτῃ ἀντιπέμπει· διὸ καὶ φησὶ κατοπτριζόμενοι,
„ τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς Πνεύ-
„ ματος, εἰς δόξαν ἡμετέραν τὴν ἐγγινομένην· καὶ τοιαύ-
„ την, οἵαν εἰκὸς ἀπὸ Κυρίου Πνεύματος· καὶ καθάπερ πυ-
„ ραυγῆ σώματα ἐπὶ τὰ πλησίον ἀπορρέοντα ἀπὸ τῶν
„ λαμπρῶν σωμάτων, καὶ ἐκείνοις μεταδίδωσι τῆς οἰκείας
„ αὐγῆς, ἔτω δὴ καὶ ἐπὶ τῶν πιστῶν συμβαίνει· διὰ τοῦτο
„ τῆς γῆς ἀπαλλάττονται οἱ τοῦτο πάσχοντες, καὶ τὰ ἐν
„ ἐρανοῖς ὀνειροπολοῦσιν, οἱ τῆς ἀπορρήτε καὶ φρικώδες δό-
„ ξης ἀπολαύσει ταύτης· ἀχλὺς γάρ τις παχεῖα, ζόφος
„ καὶ νεφέλη κατακέχυται τῆς γῆς ἁπάσης· καὶ τοῦτο δη-
„ λῶν ὁ Ἀπόστολος ἔλεγεν· „ ἦμεν γάρ ποτε σκότος· καὶ
„ πάλιν, ἡμεῖς Ἀδελφοὶ ἐκ ἐστὲ ἐν σκότει· ἐπεὶ ἂν νύξ ἐστὶν
„ ὡς εἰπεῖν ἀσέλινος, καὶ ἐν ταύτῃ τῇ νυκτὶ βαδίζομεν,
„ ἔδωκεν ἡμῖν λαμπάδα φαιδρὰν ὁ Θεὸς, τὴν τοῦ Πνεύμα-
„ τος χάριν ἀνάψας ἐν ταῖς ἡμετέραις ψυχαῖς· ἀλλὰ τοῦ-
„ το τὸ φῶς, οἱ μὲν δεξάμενοι λαμπρότερον εἰργάσαντο
„ καὶ φαιδρὸν, ὡς ὁ Παῦλος, ὡς ὁ Πέτρος, ὡς οἱ ἅγιοι
„ πάντες ἐκεῖνοι· οἱ δὲ ἔσβεσαν, ὡς αἱ πέντε παρθένοι, ὡς
„ ἐκεῖνοι οἱ περὶ τὴν πίστιν ναυαγήσαντες· διὰ τοῦτο ὁ Παῦ-
„ λος καὶ νῦν λέγει, τὸ Πνεῦμα μὴ σβέννητε, τοῦτέστι τὸ
„ χάρισμα· ἔτω γὰρ αὐτῷ καλεῖν ἔθος τὸ χάρισμα τῆ
„ Πνεύ-

„ πονηρᾶς δόξης καιρὸν δεχόμενος· ἢ ζόφον κατακρι-
„ θῶμεν, ἢ ὡς πῦρ ἰδεῖν, ὃν ὡς φῶς ἐγνώρισε.

Καὶ ὁ Βασίλειος δὲ τῆς ἐκκλησίας φωνὴ, ἔτω τὰ-
„ τοις παραπλησίως διέξεισι λέγων, ὡς ἡ δυνάμις τῶ ὁρᾶν
„ ἐν τῷ ὑγιαίνοντι ὀφθαλμῷ, ἔτως ἡ ἐνέργεια τῶ Πνεύ-
„ ματος, ἐν τῇ κεκαθαρμένῃ ψυχῇ· διὸ καὶ Παῦλος εὔ-
„ χεται Ἐφεσίοις, πεφωτισμένας τὰς ὀφθαλμὰς εἶναι
„ αὐτῶν ἐν Πνεύματι τῆς σοφίας, καὶ ἄθλον ἀρετῆς εἶναι
„ γνέσθαι Θεὸν, καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ καταστρά-
„ πλεθαι, τῆς ἡμέρας ἐκείνης Υἱὸν γενόμενον, ἢ μὴ δια-
„ κόπλεται ζόφῳ· ἄλλος γὰρ ταύτλιν ποιεῖ ἥλιος, ὁ τὸ
„ ἀληθινὸν φῶς ἀπαστράπλων· ὃς ἐπειδὰν ἅπαξ ἐπιφαύ-
„ σῃ ἡμῖν, ἐκέτι ἐν δυσμαῖς κρύπλεται, ἀλλὰ πάντα
„ τῇ φωτιστικῇ αὐτῶ δυνάμει περιπλυζάμενος, διηνεκὲς
„ καὶ ἀδιάδοχον τὸ φῶς τοῖς ἀξίοις ἐμποιεῖ, καὶ αὐτὰς
„ τὰς μετέχοντας τῶ φωτὸς ἐκείνε ἄλλας ἡλίας ἀπερ-
„ γαζόμενος.

Καὶ ὁ μέγας δὲ Ἀθανάσιος ἔτωσὶ τίθησι, „ διὰ τῶ-
„ το ὁ λόγος τῶ Θεῶ ἑνωθεὶς σαρκὶ γέγονε σάρξ, ἵνα οἱ
„ ἄνθρωποι ενωθέντες Πνεύματι γένωνται ἓν Πνεῦμα·
„ αὐτὸς ἓν ἐστὶ Θεὸς σαρκοφόρος, ἡμεῖς δὲ ἄνθρωποι πνεύ-
„ ματοφόροι· ἀπαρχὴν γὰρ λαβὼν ἐκ τῆς ἐσίας τῶν ἀν-
„ θρώπων, τετέσιν ἐκ τῶ σπέρματος Ἀβραὰμ, ἥτις ἐστὶ
„ δέλε μορφὴ, καὶ ἐν ὁμοιώματι ἀνθρώπε γεγονὼς, ἔδω-
„ κεν ἡμῖν ἐκ τῆς ἐσίας τῶ Πατρὸς ἀπαρχὴν τῶ ἁγίε
„ Πνεύματος, ἵνα γινώμεθα οἱ πάντες εἰς Υἱὸς Θεῶ· αὐ-
„ τὸς ἓν ὁ ἀληθινὸς Θεὸς τὰς πάντας ἡμᾶς φορεῖ, ἵνα
„ οἱ πάντες φορέσωμεν Θεόν· ὅσοι γὰν πνεύματοφόροι, φῶς
„ φορεῦσι· καὶ οἱ φορεῦντες φῶς, Χριςὸν εἰσὶν ἐνδεδυμένοι·
„ καὶ οἱ ἐνδεδυμένοι Χριςὸν, τὸν Πατέρα ἐνδέδωται· δεῖ
„ γὰρ τὸ φθαρτὸν τῶτο ἐνδύσαθαι ἀφθαρσίαν, καὶ
„ τὸ θνητὸν τῶτο ἐνδύσαθαι ἀθανασίαν· οἱ γὰρ φο-
„ ρεῦντες τὸ Πνεῦμα τῶ Θεῶ, ἀφθαρσίαν φορεῦσιν· ἀφ-
„ θαρσία δὲ ἐστὶν ὁ Θεός· καὶ αὕτη τῶ Θεῶ φιλανθρωπίᾳ
„ ἐστὶν,

τῦ Φωτὸς τῦ προσώπε Χριςῦ, καὶ κοινωνήσασα Πνεύματος ἁγίε ὁλοτελῶς, καὶ κατοικητήριον καὶ θρόνος Θεῦ καταξιωθεῖσα γενέθαι, ὅλη ὀφθαλμὸς, καὶ ὅλη πρόσωπον, καὶ ὅλη φῶς, καὶ ὅλη δόξα, καὶ ὅλη Πνεῦμα γίνεται, ὃν φέρει καὶ βαςάζει καὶ φορεῖ, ἕτως αὐτὴ κατασκευάζοντος· μᾶλλον δὲ ὁ φέρων καὶ ἅγων καὶ βαςάζων αὐτὴ, ἕτως ὑτρεπίζων καὶ κατακοσμῶν ταύτην τῷ τῦ ἁγίε Πνεύματος κάλλει· διὸ καὶ ὁ Παῦλος φησὶν ὁ καιρὸς τῦ Πνεύματος ἐςὶν ἀγάπη κξ. Κεφάλαιον τῦ λόγε· ἀσεδάσωμεν γενέθαι Θεῦ κατοικητήριον· ὅτι πᾶσαι καὶ αἱ πράξεις, καὶ αἱ θεωρίαι, καὶ αἱ σωάξεις, καὶ αἱ λειτεργεῖαι, καὶ αἱ θυσίαι, καὶ αἱ προσφοραὶ διὰ τῦτο γίνονται, ὅπως καθαριθῇ ὁ ἄνθρωπος τῶν ἁμαρτιῶν αὐτῦ, καὶ οἰκήσῃ ἐν αὐτῷ ὁ Θεὸς, κατὰ τὸ ὑπὸ τῦ Κυρίε εἰρημένον, ὡς ἔφην, τὸ, „ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

Ὅτι ἐνέργεια ζῶσα Πνεύματος ἁγίε, ἐν ζώσαις καρδίαις παρὰ Θεῦ ζητεῖται· διὸ καὶ ὁ Σωτὴρ παραγέγονεν, ἵνα νοερὰν ἐσίαν πιςῶν ψυχῶν διὰ τῆς ἐνεργείας τῆς χάριτος ἀνακτισθεῖσαν, καὶ μεταβολὴν δεξάμενον, ζωὴν αἰώνιον κληρονομῆσαι δυνηθῶσιν· ὁ γὰρ χρισιανὸς ἐὰν ἔχῃ νηςείαν, ἀγρυπνίαν, ψαλμῳδίαν, παρθενίαν, καὶ πᾶσαν ἀρετὴν, ἡ δὲ μυσικὴ τῦ Πνεύματος ἐνέργεια ἐν τῷ θυσιαςηρίῳ τῆς καρδίας ὑπὸ τῆς χάριτος, ἐν πάσῃ αἰθήσει καὶ ἀναπαύσει πνευματικῇ μὴ ἐπιτελῆται, ἐλλιπὴς ἐςὶ πᾶσα ἡ τότε ἀκολθία· καὶ πρόσωπον ἐςὶ μὴ ἔχον ὀφθαλμές· καὶ χεδὸν ἔργα ἐςὶ μὴ ἔχοντα τὴν κεφαλὴν τῦ Πνεύματος· ἐπειδὰν δὲ ὁ ἄνθρωπος σῶθεος γένηται, καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον οἰκῇ, καὶ ἐμπεριπατῇ ἐν αὐτῷ, τότε ἀφίσαται ἡ ψυχὴ ἀπὸ παντὸς πόθε ἐκκλησιῶν κτισῶν, καὶ θυσιῶν ὁρατῶν, καὶ σωάξεων ὑλικῶν, καὶ ἑορτῶν ἀνθρωπίνων· καὶ ἔτε ἐν τῷδε τῷ τόπῳ, ἢ τῷδε, ἐπιθυμεῖ προσκυνεῖν τῷ Θεῷ καὶ Πνεύ-

ΤΟΥ ΑΥΤΟΥ

ΛΟΓΟΣ ΙΒ.

ΠΕΡΙ

ΤΗΣ ΑΓΙΑΣ ΤΡΙΑΔΟΣ.

Ῥηθεὶς ἀ τῷ τῶν ἁγίων Ἀποςόλων Ναῷ, ἐπὶ σωελθόσει τῦ Βασιλέως, καὶ πλείσων Ἀρχιερέων, καὶ τῆς Συγκλήτε· Παραδεικνὺς φανερῶς, ὅτι τὰ παραδείγματα εἰς ἀποδείξεως λόγον ἐπὶ Θεῦ χώραν ἀκ ἔχει· Σαφηνείας δὲ χάριν μόνης παραλαμβάνονται.

Ἐπεί περ ἐκ ἔσιν, ἔτέ τι νοῆσαι χρηςὸν, ἐδὲ εἰπεῖν τι σεμνὸν, ἐ δέ τι πρᾶξαι καλὸν, μὴ τῦ ἁγίε Πνεύματος ἡμῖν σωεφαπτομένε, μᾶλλον δὲ τὸ ὅλον αὐτῦ ἀπεργαζομένε, ἐκείνῳ τὸ πᾶν ἀναθέμενοι, περὶ αὐτῦ τῦ Πνεύματος ἐπιχειρῶμεν λαλεῖν. Ἀλλ' ἀκριβῶς προσεκτέον τοῖς λεγομένοις, ἵνα μὴ καὶ αὐτοὶ τὸν ὑπὲρ τέτων ἀνόνητον ὑπομείνωμεν πόνον, καὶ ὑμεῖς διὰ ῥᾳθυμίας λήθη παραδῶτε τὰ εἰρημένα· ἡ γὰρ λήθη ῥᾳθυμίας θυγάτηρ· ἀμφότερα δὲ ἀπιςίας ἔγγονα. Διτῆ δ' ἔν ὄντος λόγε παντὸς, τῦ μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τῦ δὲ τὸ ἀλλότριον ἀνατρέποντος, ὡς ἔγωγε οἶμαι, ἡ δι' ἀμφοῖν τῆς ἀληθείας ἀπόδειξις τόν δε γινομένη τὸν τρόπον, ἐςὶ πρὸς πίςωσιν ἱκανή. Φημὶ δὲ ὠδὶ· εἶον ὑποθέμενον μὲν καὶ ἀμφοτέρας τὰς ὑποθέσεις τὸν περὶ τέτων σκεπτόμενον, εἶτα χωρὶς διελόμενον τὰ ἑκατέρᾳ

ἐκ τῆς ῥίζης διὰ τῦ κλάδυ, καὶ ἐκ τῦ κλάδυ· καὶ ὁ κρυνὸς ἐκ τῆς βρύσεως διὰ τῦ σωλῆνος, ἢ ἐκ τῦ σωλῆνος· καὶ τὸ φῶς ἐκ τῦ ἡλίυ διὰ τῆς ἀκτῖνος, ἢ ἐκ τῆς ἀκτῖνος ἐστίν· ὅθεν καὶ αἴτιον μὲν εἶναι προσεχὲς καὶ ἄμεσον τῦ Πνεύματος λέγομεν τὸν Υἱόν, ἔμμεσον δὲ τὸν Πατέρα καὶ πόῤῥω· καὶ διὰ τῦ Υἱῦ τὸ Πνεῦμα φαμὲν καὶ ἐκ τῦ Υἱῦ, καὶ ἐκ Πατρὸς αὐτὸ δι' Υἱῦ ἐκπορεύεσθαι· καθάπερ ἀμέλει τὸν καρπὸν ἐκ τῆς ῥίζης διὰ τῦ κλάδυ, τὸν κρυνὸν ἐκ τῆς βρύσεως διὰ τῦ σωλῆνος, καὶ τὸ φῶς ἐκ τῦ ἡλίυ διὰ τῆς ἀκτῖνος.

Πρὸς δὴ ταῦτα ἡμεῖς καθόλυ μὲν ἐκεῖνο φαμὲν, ὅτι τὰ παραδείγματα καὶ τὰς εἰκόνας οὐκ εἰς ἀπόδειξιν, ἀλλὰ σαφηνείας χάριν παραλαμβάνομεν, προϋποκειμένων τῶν πραγμάτων ἔτως ἔχειν ἀμφιβολίας πάσης ἐκτός· τέτων δὲ τὸ ἄδηλον ἐχόντων, καὶ διὰ τῦτο ζητεμένων, ἐκ τῶν παραδειγμάτων ἀποδεικνῦναι ταῦτα πειρᾶσθαι, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὰ ζητέμενα τιθέναι ὥσπερ ὁμολογέμενα· καίγε ὁ Θεολόγος Γρηγόριος ἐν τῷ περὶ τῦ ἁγίυ Πνεύματος λόγῳ, τοσαύτῃ κατέγνω τῶν παραδειγμάτων ἀνομοιότητα ἐν τοῖς περὶ Θεῦ λόγοις, καὶ ταῦτα πολλῷ εἰς τὴν περὶ τέτων ζήτησιν τῷ μέριμναν προκαταβαλόμενος, ὥστε οὐδὲν ἐστὶ φησὶν, ὅμοιον τῷ διάνοιαν ἴσησιν, ἐπὶ τῶν ὑποδειγμάτων θεωρῦντι τὸ φανταζόμενον· πλὴν εἴ τις σῦτι λαβὼν τῆς εἰκόνος, ὑπὸ ἀγνωμοσύνης τὰ λοιπὰ ῥίψειε. Τέλος ἓν ἔδοξέ μοι κράτιστον εἶναι, τὰς μὲν εἰκόνας χαίρειν ἐᾶσαι, καὶ τὰς σκιὰς ὡς ἀπατηλὰς καὶ τῆς ἀληθείας πλεῖστον ἀποδεήσας, αὐτὸν δὲ τῆς εὐσεβεστέρας ἐννοίας ἐχόμενον, ἐπ' ὀλίγων ῥημάτων ἱσάμενον, ἑκάστῳτε τῷ Πνεύματι χρώμενον, ἰῷ ἐκεῖθεν ἔλλαμψιν ἐδεξάμην, ταύτῃ διαφυλάττοντα, ὡς γνησίαν κοινωνὸν καὶ συνόμιλον, τὸν αἰῶνα τῦτον διαπορεύεσθαι διατέμνοντα. Καὶ πάλιν ἐν τῷ αὐτῷ· Δός μοι Θεὸν ἄλλον καὶ Θεῦ Φύσιν φησὶ, καὶ δώσω σοι τῷ αὐτῷ Τριάδα μετὰ τῶν αὐτῶν ὀνομάτων τε καὶ πραγμάτων· εἰ δὲ εἷς Θεὸς, μία Φύσις ἡ ἀνωτάτω, πόθεν παρασή-

σω σοι

δύο δὲ βλαστὲς τῇ ῥίζῃ ταύτῃ σωαιδίεσ, καὶ ἀνάρχως σωόντας, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα γεγραφασι. Καὶ τοῦτο δῆλον ἐκεῖθεν· ὁ μὲν γὰρ πολὺς τὰ θεῖα Διονύσιος, „ ἐν τῷ περὶ Μυστικῆς Θεολογίας τρίτῳ, „ ἐκ τοῦ αὐλοῦ „ φησὶ καὶ ἀμερὲς ἀγαθοῦ, τὰ ἐγκάρδια τῆς ἀγαθότητος „ ἐξέφυ φῶτα, καὶ τῆς ἐν αὐτῷ, καὶ ἐν ἑαυτοῖς, καὶ ἐν „ ἀλλήλοις, σωαιδίε τῇ βλαστήσει διαμονῆς ἀπομεμάηκεν „ ἀνεκφοίτητα· καὶ πάλιν ἐν τῷ περὶ Θείων Ὀνομάτων, „ τῆς θεογόνε θεότητος τοῦ Πατρὸς θεοφύτες βλαστὲς „ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, καὶ οἷον ἄνθη καὶ ὑπερέσια „ φῶτα φησὶν, ἕτω ῥητῶς ἐχέσης ταύτης τῆς χρήσεως· „ ὅτι μὲν ἐσὶ πηγαία θεότης ὁ Πατὴρ, ὁ δὲ Υἱὸς καὶ τὸ „ Πνεῦμα τῆς θεογόνε θεότητος, εἰ ἕτω χρὴ φάναι, βλα- „ στοὶ θεόφυτοι, καὶ οἷον ἄνθη καὶ ὑπερέσια φῶτα, πρὸς „ τῶν ἱερῶν λόγων μεμαθήκαμεν· ὅπως δὲ ταῦτα ἐσὶν, „ ἴτε εἰπεῖν, ἴτε μὴν σνοῆσαι δυνατὸν, ἀλλὰ μέχρι τέ- „ τε τῆς καθ' ἡμᾶς νοερᾶς σνεργείας ἡ πρόοδος. Ὁ δὲ „ θεῖος Μάξιμος τοῦτον ἐξηγέμενος, σημειῶσαι φησὶν, ὅτι „ βλαστοὶ θεόφυτοι τοῦ Πατρὸς εἰσί· καὶ τοῦτο εἰρῆσθαι ἀπὸ „ τῆς τῶν ἑλαιῶν ὁπλασίας Ζαχαρίε τοῦ σνδεκάτε τῶν „ Προφητῶν, νόμιζε· διὸ κλάδες ἐλαίας οἱ Ἑβδομήκοντα, „ οἱ δὲ ἄλλοι τῶν Ἑρμιωσιτῶν σάχυας καὶ βλαστὲς φασί. Καὶ Μητροφάνης δὲ ὁ μελῳδὸς σν τοῖς Τριαδικοῖς αὐτοῦ κα- „ νόσιν ἕτως ἐκδέδωκε μελῳδεῖν „ σέλεχος διτλὸν ἐκ Πα- „ τρὸς ὡς ῥίζης ἐβλάσησεν ὁ Υἱὸς καὶ Πνεῦμα τὸ ἄνθες, „ οἱ συμφυεῖς βλαστοὶ καὶ θεόφυτοι, καὶ ἄνθη σωάναρχα. εἰ δὲ σέλεχος μὲν ἕτος διτλὸν, σάχυας δὲ ἄλλοι, καὶ κλάδες ἕτεροι, καὶ βλαστὲς καὶ ὑπερέσια ἄνθη, ὡς ἐκ μιᾶς ῥίζης τοῦ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα θεολογοῦσιν, ἐκ ἄρα γε κατὰ τοῦτον τὸν λόγον, καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τινὶ ὕπαρξιν κέκτηται, κἂν εὑρηταί τις τῶν ἁγίων, καρπὸν, ἢ ἄνθος, ἢ ὀδμὴν τὸ Πνεῦμα κατονομάζων, τὸ πρὸς Πατέρα καὶ Υἱὸν τε Πνεύματος συμφυὲς, ἐ τὸ αἴτιον δείκνυσιν· ὡς καὶ τῷ τῆς Ἀλεξάνδρε Κυρίλλῳ δοκεῖ, σν τῷ πρὸς Ἑρμείαν συγγράμματι ἕτω γράφοντι „ ὥσπερ ἂν εἴτι τῶν ὀδμοτάτων ἀνθέων περὶ

„ τῆς

σιν, ἐκ ἄνθ τῦ δεῖξαι σαφῶς καὶ πῶς αὐτὸν ὀνομάζει
„ πηγήν· φησὶ γὰρ „ πάλιν μέντοι διὰ τὸ πολύτροπον
„ τῆς εἰς ἡμᾶς χάριτος· ἰῶ διὰ τὸν πλῆτον τῆς ἀγαθό-
„ τητος, κατὰ τίνα πολυποίκιλον αὐτῦ σοφίαν τοῖς δεομέ-
„ νοις παρέχεται, μυρίαις αὐτὸν ἑτέραις προσηγορίαις ἀπο-
„ σημαίνει ἡ γραφή, ποτὲ μὲν ποιμένα λέγουσα, ποτὲ δὲ
„ βασιλέα, καὶ πάλιν ἰατρόν, καὶ τὸν αὐτὸν νυμφίον,
„ καὶ ὁδόν, καὶ θύραν, καὶ πηγήν, καὶ ἄρτον, καὶ ἀξί-
„ νην, καὶ πέτραν· ταῦτα γὰρ ἐ τίνι φύσιν παρίστησιν,
„ ἀλλὰ τὸ τῆς ἐνεργείας παντοδαπόν· ἰῶ ἐκ τῆς περὶ τὸ
„ ἴδιον πλάσμα ὀπλαγχνίας, κατὰ τὸ τῆς χρείας ἰδίω-
„ μα, τοῖς δεομένοις παρέχεται. Εἰ δὲ τὸ τῆς πηγῆς ὄνο-
μα ἐνεργείας ὄνομα ἐπὶ τῦ Υἱῦ, ὥσπερ καὶ τῶν ἀπαρι-
θμημένων ἕκαστον· καὶ δι' αἰτίαν, διὰ γὰρ τὸν πλῆτον
τῆς ἀγαθότητος· καὶ κατὰ τὸ τῆς χρείας ἰδίωμα· ἐκ
ἄρα διὰ τὸ πηγὴ λέγεσθαι ὁ Υἱὸς τῦ Πνεύματος αἴτιος.
Ὁ δὲ μέγας Ἀθανάσιος, ἐν τῷ περὶ τῆς ἐνσάρκε οἰκο-
„ νομίας αὐτῦ λόγῳ φησὶν, „ ἐν ἡμῖν μὲν γὰρ ἀρρᾶβών καὶ
„ ἀπαρχὴ θεότητος κατοικεῖ, ἐν δὲ τῷ Χριστῷ πᾶν τὸ πλή-
„ ρωμα τῆς θεότητος· καὶ διὰ τῦτο ὁ Δαβὶδ ψάλλων τῷ
„ Θεῷ λέγει, ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτίσει σου ὀψό-
„ μεθα φῶς· οἶδε γὰρ παρὰ τῷ Πατρὶ ὄντα τὸν Υἱὸν τίνι
„ πηγήν τῦ ἁγίε Πνεύματος. Ὁρᾶς καὶ τῦτον ἐ περὶ
τῆς ὑποστατικῆς, ἀλλὰ περὶ ἐνεργητικῆς προόδε τῦ
Πνεύματος τὸν λόγον ποιέμενον; ἀρρᾶβών γὰρ φησὶ
καὶ ἀπαρχὴ θεότητος· ἀρρᾶβών δὲ καὶ ἀπαρχὴ μέρος
ἂν εἴη παντός· μερίζεται δὲ τὸ Πνεῦμα ἐ κατ' ἐσίαν,
ἔτε μίᾳ καθ' ὑπόστασιν. Καὶ ταῦτα μὲν ὁ τῆς Ἀλεξάν-
δρε Φωτήρ. Περὶ δὲ τῦ θείε Γρηγορίε λείπεται σκοπεῖν,
εἰ τὸ τῆς πηγῆς ὄνομα ἐπὶ τῦ Υἱῦ λεγόμενον ἐκ-
λαμβάνει εἰς αἰτίαν τῦ Πνεύματος. Οὗτος ἔν γε τῷ
περὶ τῦ ἁγίε Πνεύματος λόγῳ περὶ τῆς εἰκόνος ταύτης
„ τὸν λόγον ποιέμενος, „ ὀφθαλμίόν τινα φησὶ, καὶ πηγήν
„ καὶ ποταμὸν ἐνόησα· καὶ γὰρ καὶ ἄλλοι· μὴ τῷ μὲν
„ ὁ Πατὴρ, τῇ δὲ ὁ Υἱὸς, τῷ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἀνα-
„ λόγως ἔχει; ταῦτα γὰρ ἔτε χρόνῳ διέτεμνεν, ἔτε ἀλ-

„ λήλων

» ἀποσείλας χάριν, ἔτ' αὐτός τι πέπονθεν εἰς τὸν ἐσίαν
» βλαβείς· ἐ γὰρ μείωσιν ὑπέση τινὰ διὰ τὸν ὡς ἡμᾶς
» ἐκείνων ἄφιξιν· καὶ μέχρις ἡμῶν προσεχώρησαν, καὶ τῶ
» Πατρὸς ἐδὲν ἧττον ἀχώρισοι καθεσήκασιν. Ὥσε ἐκ ἐξ
ὀφθαλμῶ πηγὴ, καὶ ἐκ τῆς πηγῆς ποταμὸς, ἤτοι ἐκ τῶ
Πατρὸς ὁ Υἱὸς, καὶ ἐκ τῶ Υἱῶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ-
πορδόεται, ἀλλ' ἅμφω ὥσπερ ἐκ μιᾶς φλεβὸς δύο ποτα-
μοί· ἔκεν ἐδὲ ἐκ τῶ Υἱῶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορδόε-
ται, διὰ τὸ πηγὴν αὐτὸν ζωῆς, ἢ πηγὴν ἁπλῶς πρὸς
τῶν θεολόγων εἰρῆθαι τῶ Πνδόματος· ἀλλὰ πρὸς μὲν
τὸ δόδτερον ἔτως.

Πρὸς δὲ τὸ τρίτον ἄλλως λεκτέον· ὅτι ὡσαύτως καὶ
τὸ ἐκ τῶ ἡλίε διάτινος ἀκτῖνος πρὸς ἡμᾶς ἐκπεμπόμενον
φῶς, ἐκ τῶ ἡλίε μὲν ἔχει τὴν ὕπαρξιν, ἐκ δὲ τῆς ἀκτῖ-
νος, ἢ διὰ τῆς ἀκτῖνος ὑφέσηκεν ἐδαμῶς· καὶ τῶτο ὑπὲρ
ἡμῶν μᾶλλον, ἐ καθ' ἡμῶν τὸ ὑπόδειγμα· καὶ δῆλον
ὅτι μεταδίδοται ἡμῖν διὰ τῆς ἀκτῖνος, ἐχὶ πηγάζει ἐκ
ταύτης τὸ φῶς· καὶ χορηγεῖται ἡμῖν διὰ τῶ Υἱῶ τὸ
Πνεῦμα, ἐ μὴν καὶ ἐξ αὐτῶ ἐκπορδόεται καθ' ὑπόσα-
σιν· καὶ τὸ μὲν ἀριδήλως ἰδιωμάτων αἴδησις μαρτυρεῖ,
τὸ δὲ Ἰωάννης παρίσησι σαφῶς ὁ Δαμασκηνὸς λέγων ἐν
» τῷ ἡ. αὐτῶ Δογματικῷ ἔτως. „ Ὥσπερ ἐκ τῶ ἡλίε μὲν
» ἥ τε ἀκτὶς καὶ ἡ ἔλλαμψις, αὐτὸς γὰρ ἐστὶν ἡ πηγὴ τῆς
» ἀκτῖνος καὶ τῆς ἐλλάμψεως· διὰ δὲ τῆς ἀκτῖνος ἡ ἔλ-
» λαμψις ἡμῖν μεταδίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα
» ἡμᾶς καὶ μετεχομένη ὑφ' ἡμῶν· ἔτως ἐκ μὲν τῶ Πατρὸς
» ὁ Υἱὸς, διὰ δὲ τῶ Υἱῶ τὸ Πνεῦμα τὸ ἅγιον ἡμῖν μεταδίδο-
ται. Καὶ ὁ τῆς Ἀλεξανδρείας Κύριλλος τῶ ἀποσολῶ
τῶ Υἱῶ καὶ Πνδόματος ἐξηγέμενος, ἔτω ταῦτα φησὶν
» ἀποσέλλεθαι, ὡς τὸν ἀκτῖνα ἐκ τῶ ἡλίε, ἢ ἐκ τῶ πυ-
» ρὸς τὸ ἀπαύγασμα. Καὶ ὁ μέγας Βασίλειος ἐν τῇ πρὸς
» Κανονικὰς ἐπισολῇ, Φῶς μὲν γὰρ, φησὶν, ἀγέννητον τὸν
» Πατέρα φαμὲν, τὸν Υἱὸν δὲ φῶς γεννητόν· ὅτι δὲ τῶν
προσώπων ἑκάτερον φῶς τὸ ὁμοούσιον ἀμφοτέροις ἀρέσκει,
ἵνα τὸ τῆς φύσεως ὁμότιμον παρασήσωμεν· ἐ γὰρ τὰ

ἀδελφὰ

„ θεν τὸν λόγον εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ το-
„ σούτου πράγματος, οὐκ ἔχον ᾧ τινι χρὴ τῶν κάτω τὴν
„ θείαν φύσιν παραβαλεῖν· κἂν γάρ τις μικρὰ ὁμοίωσις
„ εὑρεθῇ, φεύγει τὸ πλεῖον ἀφεῖσά με κάτω μετὰ τοῦ
„ ὑποδείγματος. Ἥλιον ἐνεθυμήθην καὶ ἀκτῖνα καὶ φῶς,
„ μὴ τῷ μὲν ὁ Πατὴρ, τῇ δὲ ὁ Υἱὸς, τῷ δὲ τὸ Πνεῦμα τὸ
„ ἅγιον ἀναλόγως ἔχει· ἀλλ' ἔδεισα πρῶτον μὲν μὴ συν-
„ θεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου
„ καὶ τῶν ἐν ἡλίῳ· δεύτερον δὲ, μὴ τὸν μὲν Πατέρα οὐσιώ-
„ σωμεν, τ' ἄλλα δὲ μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις Θεοῦ
„ ποιήσωμεν ὑπαρχούσας οὐχ ὑφεστώσας. Οὔτε γὰρ ἀκτὶς,
„ οὔτε φῶς, ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόῤῥοιαι καὶ
„ ποιότητες οὐσιώδεις· καὶ ἅμα τῷ εἶναι καὶ τὸ μὴ εἶναι
„ τῷ Θεῷ δῶμεν ἐν τούτοις, ὅσον ἐκ τοῦ ὑποδείγματος. Καὶ
ἐν τῷ πρὸς Εὐάγριον λόγῳ, ὁ αὐτὸς οὕτως ἐπάγει· ὃν
„ τρόπον οὐχ οἷόν τε ἐν μέσῳ κύκλου καὶ τῆς ἀκτῖνος διαίρε-
„ σιν εὑρέσθαι, διὰ τὸ ἀπαθὲς καὶ ἀσώματον, ἁπλοῦν τε
„ καὶ ἀμερὲς, ἀλλ' ἡ μὲν ἀκτὶς συνῆπται τῷ κύκλῳ, τὸ
„ ἔμπαλιν δὲ ὁ κύκλος, οἷόν τις ὀφθαλμὸς ποταμηδὸν ἐπι-
„ χεῖ τῷ παντὶ τὰς ἀκτίνας, κατακλυσμοὺς ὥσπέρ τινας
„ φωτὸς ἡμῖν ἐργαζόμενος, καὶ πελαγίζων ἀθρόως τὴν
„ διακόσμησιν· οὕτω δὲ καὶ οἱονεί τινες τοῦ Πατρὸς ἀκτῖνες
„ ἀπεστάλησαν ἐφ' ἡμᾶς, ὅ, τε φεγγώδης Ἰησοῦς, καὶ τὸ
„ Πνεῦμα τὸ ἅγιον. Ὥσπερ γὰρ αἱ τοῦ φωτὸς ἀκτῖνες
„ ἀμέριστον ἔχουσαι κατὰ φύσιν τὴν πρὸς ἀλλήλας σχέσιν,
„ οὔτε τοῦ φωτὸς χωρίζονται, οὔτε ἀλλήλων ἀποτέμνονται,
„ καὶ μέχρις ἡμῶν τὴν χάριν τοῦ φωτὸς ἀποστέλλουσι, τὸν
„ αὐτὸν τρόπον καὶ ὁ Σωτὴρ ὁ ἡμέτερος, καὶ τὸ Πνεῦμα τὸ
„ ἅγιον, ἡ δίδυμος τοῦ Πατρὸς ἀκτὶς, καὶ μέχρις ἡμῶν
„ διακονοῦσι τῆς ἀληθείας τὸ φῶς, καὶ τῷ Πατρὶ συνήνων-
„ ται. Καὶ αὖθις ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ
„ φησὶν, ἀμέριστος ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν,
„ ἡ Θεότης· καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων
„ μία τοῦ φωτὸς σύγκρασις. Καὶ ὁ Νύσσης Γρηγόριος ἐν
τῷ πρὸς Εὐνόμιον οὕτω τίθησιν· οὐχὶ ἀκτῖνα ἐξ ἡλίου νοή-
„ σομεν τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐξ ἀγεννήτου ἡλίου

„ ἄλλον

βαλομένων. Ἡμῖν δὲ πρὸς ταῦτα καὶ τῇ τῆ λόγε ἀκολαθία τἐναντίον ἅπαν δοκεῖ, μᾶλλον δὲ πίσει τῇ ὁσεβεῖ· ὅτι εἴπερ ἰῷ ἀπαράλακτος ἡ ἐκ τῆ Υἱῆ τῆ θείε Πνεύματος πρόοδος τῇ ἐκ τῆ Πατρὸς, μία ἂν ἐδόκει τῆ Πνεύματος ἀρχή· ἐπεὶ δὲ διαφέρει ἡ ἐκ τῆ Πατρὸς τῆς ἐκ τῆ Υἱῆ, δύο παρεισάγονται τῆ Πνεύματος ἀρχαί. Ὥσπερ γὰρ τὸ καθ' ὕπαρξιν ἀδιαφόρως ἐξ ἑνὸς μόνε προσώπε προερχόμενον πρόσωπον, πάσαις ψήφοις εἷ μονον ἔχει τῆς ἰδίας προόδε τὸ αἴτιον, ἕτω πάσαις ἀνάγκαις τὸ διαφόρως ἐκ δυοῖν προσωπικῶς προϊὸν, δύο ἔχει τὰ αἴτια· καὶ καθάπερ ἡ ἐκ τῆ ἑνὸς μόνε ἀπαράλακτος πρόοδος, ταυτότητα ἑαυτοῖς καὶ ἁπλότητα μαρτυρεῖ, ἕτω καὶ ἡ ἐκ τοῖν δυοῖν παρηλλαγμένη ἐκπόρδοσις ἑτερότητα ἑαυτοῖς καὶ διπλόϊν κατηγορεῖ· ἢ τὶς ἡ ἀνάγκη ἐκ μὲν τῆ Πατρὸς ἀμέσως προβαλλομένε τῆ Πνεύματος, δύο παρεισάγεθαι τῆ Πνεύματος ἀρχὰς, ἐκ δὲ τῆ Υἱῆ προϊόντος ἀμέσως, μίαν θεωρεῖθαι τῆ Πνεύματος ἀρχιϊ; καὶ τὸ τέτων ἀνάπαλιν· ἐκ μὲν τῆ Υἱῆ προβαλλομένε, δύο παρεισάγεθαι τῆ Πνεύματος ἀρχὰς, ἐκ δὲ τῆ Πατρὸς ἐκπορδομένε ἐμμέσως, μίαν θεωρεῖθαι τέτε ἀρχιϊ; ἢ ταῦτα τῆ Θωμᾶ ἐν ἕκλῳ καὶ τριακοσῷ Ζητήματι τῆ Πρώτε τῶν αὐτῆ Θεολογικῶν,
» λέγοντος, „ Φρίσκεται τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τῆ
» Πατρὸς ἀμέσως ἐκπορδόμενον, καθ' ὅσον ἐστὶν ἐξ αὐτῆ; ὅθεν ἡμεῖς τὸ ἑκατέρωθεν ἄτοπον φθόγοντες, ὥσπερ ἐτολμῶμεν πισθεῖν καὶ ἐκ τῆ Πνεύματος τὸν Υἱὸν γεννᾶθαι προσωπικῶς, ἵνα μὴ δύο τῆ λόγε πισθσωμεν αἴτια, ἕτως ἐτολμῶμεν δοξάζειν καὶ ἐκ τῆ Υἱῆ τὸ Πνεῦμα καθ' ὑπόσασιν ἐκπορδόεθαι, ὡς ἂν μὴ τῆ Πνεύματος δύο δοξάσωμεν ἀρχάς· ἀμφοτέρωθεν γὰρ διαρχία εἰσάγεται, καὶ τὸ τῆς μοναρχίας πολυύμνητον ἐκποδών. Ὡς γὰρ εἰ τὸ Πνεῦμα ἐγεννᾶτο τὸν Υἱὸν καθ' ὑπόσασιν, ἀρχὴ ἂν ὑπῆρχεν αὐτῆ, διὰ τὸ τῆτον γεννᾶν, ἕτω καὶ ὁ Υἱὸς, εἰ τὸ Πνεῦμα προβάλλει καθ' ὕπαρξιν, δι' αὐτὸ τὸ προβάλλειν αὐτὸ, ἀρχὴ πάντως ἔσαι τῆ Πνεύματος· ἀλλ' ἄτοπον τῆ αὐτῆ, τὸ αὐτὸ καὶ αἰτιατὸν εἶναι καὶ αἴτιον

πρὸς

πητά. Εἶτα πάλιν δηλῶν, ὡς οὐδὲν οὕτω ποιεῖ τὴν μίμησιν ταύτην, ὡς τὸ κοινωφελῶς ζῆν, καὶ πρὸς τὸ παντὶ
„ χρήσιμον ὁρᾷν, ἐπήγαγε, „ περιπατεῖτε ἐν ἀγάπῃ· καλῶς δὲ εἰπὼν μιμηταί μου γίνεσθε, περὶ ἀγάπης εὐθέως διαλέγεται, δεικνὺς ὡς αὕτη μάλιστα ἡ ἀρετὴ, ἐγγὺς εἶναι ποιεῖ Θεοῦ· ὡς αἵγε ἄλλαι καταδεέστεραι ταύτης οὖσαι περὶ ἀνθρώπους στρέφονται πᾶσαι, οἷον ἡ πρὸς ἐπιθυμίας μάχη, ὁ περὶ τὴν γαστέρα πόλεμος, ἡ πρὸς τὴν φιλαργυρίαν παράταξις, ἡ πρὸς τὸν θυμὸν πάλη· τὸ δὲ φιλεῖν, τοῦτο κοινὸν ἡμῶν καὶ τοῦ Θεοῦ· διὰ τοῦτο καὶ ὁ Χριστὸς
„ ἔλεγεν „ εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γέ-
„ νησθε ὅμοιοι τοῦ Πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· καὶ πά-
„ λιν ὁ Ἀπόστολος „ τὸ δὲ τέλος τῆς ἐπαγγελίας, ἀγάπη
„ ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς· καὶ αὖθις,
„ ἐγενόμην τοῖς ἰουδαίοις ὡς ἰουδαῖος, ἵνα ἰουδαίους κερδήσω·
„ καὶ τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, καὶ τοῖς ἀσθενέσιν ὡς
„ ἀσθενὴς, τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντας, ἢ
„ τινὰς σώσω· καὶ ἀλλαχοῦ, ἵνα παραστήσω πάντα ἄνθρω-
„ πον ἐν Χριστῷ. Εἶδες ψυχὴν πᾶσαν ὑπερβαίνουσαν φιλοσοφίαν; πάντα ἄνθρωπον προσεδόκησε παραστῆσαι, καὶ τόγε αὐτοῦ μέρος, πάντας παρέστησε, τοὺς πίπτοντας ἀνορθῶν, τοὺς ἑστῶτας στηρίζων, τοὺς κειμένους χαμαὶ ἀνεγείρων, τοὺς συντετριμμένους θεραπεύων, ἀλείφων τοὺς ῥᾳθυμοῦντας, φοβερὸν ἐκβοῶν ἐπὶ τοῖς ἐχθροῖς, δριμὺ βλέπων ἐπὶ τοὺς πολεμίους· καθάπερτις στρατηγὸς ἄριστος, αὐτὸς σκευοφόρος, αὐτὸς ὑπασπιστὴς, αὐτὸς παραστάτης, αὐτὸς πάντα τῷ στρατοπέδῳ γινόμενος· καὶ νυκτομαχεῖν εἰδὼς, καὶ ναυμαχεῖν ἐπιστάμενος, καὶ πεζομαχεῖν, καὶ τοξεύειν, καὶ δόρυ κινεῖν, καὶ σφενδόνι χρῆσθαι, καὶ ἀκοντίοις, καὶ παντὶ τρόπῳ μάχης περιγίνεσθαι τῶν ἐναντίων, καὶ οὐκ ἐν τοῖς πνευματικοῖς μόνον, ἀλλὰ καὶ ἐν τοῖς σαρκικοῖς πολλὴν ποιούμενος πρόνοιαν· καὶ ὥσπερ τὴν οἰκουμένην ἅπασαν αὐτὸς γεννήσας, οὕτως ἐθορυβεῖτο, οὕτως ἔτρεχεν, οὕτω πάντας ἐσπούδαζεν εἰσαγαγεῖν εἰς τὴν βασιλείαν, θεραπεύων, παρακαλῶν, ὑπισχνούμενος, ἰατρεύων· διὰ παρουσίας, διὰ γραμμάτων, διὰ ῥημάτων,

διὰ

θείσης, πολλὰς ἀναίψαντες λύχνας, εἰς τὴν οἰκίαν ἕκαστος εἰσάγει τὴν ἑαυτῆ, ἕτω δὴ καὶ τῆς προσηγορίας ἐκείνης, ὥσπερ φωτὸς εἰς τὴν πόλιν ἐμπεσούσης, ἕκαστος οἷον λύχνον ἀναπλῶν εἰς τὴν οἰκίαν εἰσῆγε τὴν ἑαυτῆ, τὸ τῆ μακαρίᾳ ἐκείνῃ τότε ὄνομα, μυρίων ἀγαθῶν θησαυρὸν διὰ τῆς ἐπωνυμίας ἐπισπώμενος· καὶ ἰὼ βλαβείας διδασκαλία τὸ γινόμενον· σωεχῶς γὰρ ἀναγκαζόμενοι τῆς προσηγορίας ἐκείνης μεμνῆσθαι, καὶ τὸν ἅγιον ἐκεῖνον ἔχειν ἐπὶ τῆς ψυχῆς, παντὸς ἀλόγου πάθους, καὶ λογισμῶν ἀτόπων φυγαδευτήριον εἶχον τὸ ὄνομα· καὶ ἕτω πολὺ γέγονε τοῦτο, ὡς πανταχοῦ, καὶ ἐν ἀμφόδοις, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἀγροῖς, καὶ ἐν ὁδοῖς τοῦτο πάντοθεν περιηχεῖσθαι τῷ ὀνόματι. Ὅπερ δὲ ἐπὶ τοῦ ὀνόματος ἐποίησαν, τοῦτο καὶ ἐπὶ τῆς εἰκόνος ἔπραξαν τῆς ἐκείνης· καὶ γὰρ καὶ ἐν δακτυλίοις σφενδόναις, καὶ ἐν ἐκπώμασι, καὶ ἐν φιάλαις, καὶ ἐν θαλάμων τοίχοις, καὶ πανταχοῦ τὴν εἰκόνα τὴν ἁγίαν ἐκείνην πολλοὶ διεχάραξαν, ὡς μὴ μόνον ἀκούειν τῆς ἁγίας προσηγορίας ἐκείνης, ἀλλὰ καὶ ὁρᾶν αὐτῆ πανταχοῦ τοῦ σώματος τὸν τύπον, καὶ διπλῆν τινα τῆς ἀποδημίας ἔχειν τὴν παραμυθίαν.

Ὅπερ τοίνυν ἐπ' ἐκείνης μία πόλις ἐποίησε, τοῦτο πᾶσαν τὴν οἰκουμένην, τῷ τοῦ Παύλου πόθῳ νικωμένην ἔδει ποιεῖν, ἵν' ἕκαστος σωεχῶς τοῦ Παύλου μιμνησκόμενος, μιμῆται τοῦτον τὸν κατὰ δύναμιν· μιμεῖσθαι γὰρ ἄνθρωπος δύναται καὶ φυτὰ, καὶ ζῶα, καὶ ἀγίους, καὶ αὐτὸν τὸν Θεόν· διὸ περὶ μὲν φυτῶν λέγει Δαβὶδ „ δίκαιος ὡς „ φοίνιξ ἀνθήσει, ὡς ἡ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται· ἐπεὶ τῆς μὲν κέδρου μιμεῖται τὸ βάσος, τὸ θερμὸν, τὸ ἀῶδες, τὸ ἄσηπτον, τὸ πολύερνον, τὸ κατάσκιον, τὸ ἰσχυρὸν, τὸ ἀκλινὲς καὶ πολύῤῥιζον· τοῦ δὲ φοίνικος τὸ ὑψίκομον, τὸ ἀειθαλὲς, τὸ μικρὸν μὲν αὐτοῦ μέρος ἐμπεπῆχθαι τῇ γῇ, τὸ πᾶν δὲ ἀνέχειν μεγεωρότερον· τὸ τὴν καρδίαν αὐτοῦ τετᾶσθαι πρὸς ἐρανὸν, τὸ τὸν καρπὸν αὐτοῦ θηρίοις εἶναι καὶ κλέπταις δυσάλωτον, διὰ τὸ ὑψηλὸν τοῦτο καὶ δύσβατον· τὸ πολλοῦ χρόνου δεῖσθαι πρὸς τε-

λείωσιν

» τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριςῦ· πιςὸς ὁ Θεὸς, δι' ὃ ἐκλήθητε
» εἰς κοινωνίαν τῦ Υἱῦ αὐτῦ, Ἰησῦ Χριςῦ τῦ Κυρίε ἡμῶν·
» παρακαλῶ ὑμᾶς διὰ τῦ ὀνόματος τῦ Κυρίε ἡμῶν Ἰησῦ
» Χριςῦ. Ὁρᾶς; ἐν τρισὶ σίχοις, δεκάκις Ἰησῦ Χριςῦ ἐμνημόνδσε· πῶς δὲ αὐτὸν ἐμιμεῖτο; ὅτι ὥσπερ ὁ Χριςὸς κἂν
εἰς ἀγαθὸν θελήση τὶς ὑμῶν πορδιλῶαι, ὁδὸς αὐτῷ γίνεται· διὸ λέγει ἐγώ εἰμι ἡ ὁδός· κἂν εἰσελθεῖν εἰς τιὰ
ζωλιὰ, θύρα· διὸ φησὶν ἐγὼ εἰμὶ ἡ θύρα· κἂν τραφλῶαι
βελδθῆ, ἄρτος· διὸ φησὶν ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τῦ ἀρανῦ καταβάς· καὶ τ' ἄλλα, ἵνα μὴ λέγω καθ' ἕκασον· ἕτω
» καὶ Παῦλος „ ἐκεῖνον μιμέμενος τοῖς πᾶσι τὰ πάντα ἐπὶ
» καλῷ γέγονεν· οἷον εἰ θέλεις ἰδεῖν αὐτὸν φυτεργὸν, τότε
» λέγοντος ἄκδε· ἐγὼ ἐφύτδσα, Ἀπολὼς ἐπότισε· βέλει
» ἰδεῖν αὐτὸν οἰκονόμον; ὡς σοφὸς ἀρχιτέκλων, θεμέλιον τέ» θεικα· βέλει ἰδεῖν αὐτὸν παγκρατιςιώ; ἕτω πυκλδω
» ὡς ἐκ ἀέρα δέρων· βέλει ἰδεῖν αὐτὸν δρομέα; ἀπὸ Ἱερο» σαλὴμ καὶ κύκλω μέχρι τῦ Ἰλλυρικῦ πεπλήρωκα τὸ Εὐ» αγγέλιον· βέλει ἰδεῖν αὐτὸν ἀθλητιώ; ἐκ ἔςιν ἡμῖν ἡ
» πάλη πρὸς αἷμα καὶ σάρκα· βέλει ἰδεῖν τῦτον ἀγωνιςιώ;
» τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι· βέλει ἰδεῖν αὐτὸν σε» φανίτιω; λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσώης σέφα» νος· εἰς ὢν πάντα ἐγένετο, τὸν ἑαυτῦ δεσπότιν μιμέμενος, ὃ δὴ καὶ ἔφθιν εἰπών· ὃν χρὴ καὶ ἡμᾶς μιμεμένες
τοῖς πᾶσι τὰ πάντα γίνεδαι τα καλὰ, ἵν' ἕτω διακείμενοι καὶ πολιτδόμενοι, καὶ ζῶντες ἐνταῦθα ἐπέρασοι
ὦμεν καὶ μακάριοι, καὶ μεταξάντες ἐντεῦθεν ζωῆς ἐπιτύχωμεν ἀϊδίε· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριςῷ· ᾧ ἡ δόξα σὺν τῷ Πατρὶ κ τῷ Πνδματι. Ἀμήν.

ΛΟΓΟΣ

φρικτῶν ὀνομάτων * ὅλως τι ἀναλάβειν, ἢ προσιθέναι τούτοις, ἢ ἀπ' αὐτῶν ἀφαιρεῖν, καὶ αὐθαδείας ἁπάσης καὶ βλασφημίας ἐπέκεινα. Ἀλλὰ τῷ ἐξ Ἀρείᾳ Πάγῳ
» Διονυσίῳ καλῶς πεισθομένοις καθόλε λέγοντι „ ἀ τολμητέον εἰπεῖν, ἔτε μὴν ἐννοῆσαι περὶ τῆς ὑπερσὶς Θεότητος, παρὰ τὰ θεοσδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα· ᾧ δήπε ςοιχῶν καὶ αὐτὸς, τὰ τοῖς ἁγίοις δοκοῦντα μόνα περὶ τῆς τῦ ἁγίε Πνεύματος ἐκπορεύσεως δίειμι. Καί με μηδεὶς οἰέθω κατ' ἐπίδειξιν, ἢ κατ' ἐρίθειαν, τὰς περὶ τέτε ποιεῖσθαι λόγας· ἐπεὶ καὶ ἡ τάξις τῆς ἐν τῇ θείᾳ Τριάδι ὁμολογίας, καὶ τῆς τῶν λόγων συζυγίας ἡ πρόοδος, καὶ ἡ τῆς τῶν ἀκεόντων προθυμίας ῥοπὴ, μηδὲν τετωνὶ προτιμῆσαι παρακαλεῖ· καὶ ἵνα τιὺ ἐμὲ πᾶσαν πρόθεσιν εἴπω, ἕτω πρὸς τὰς περὶ τῦ Θεῦ λόγας ἐγὼ παρασκεῆς ἔχω καὶ γνώμης, ὡς εἴπερ παρὰ τὸν τῆς ἐμῆς ζωῆς πάντα χρόνον ἐβέλεθε προσεχόντως ἀκέειν με, ἐκ ἂν περί τινος ἄλλε ἠρετισάμιν λαλεῖν πρὸς ὑμᾶς· τὶ δήποτε; ὅτι ὅσον ὑπερφέρει Θεὸς τῶν οἰκείων κτισμάτων, τοσῦτον οἱ περὶ αὐτῦ λόγοι τῶν περὶ αὐτῶν ἀξιεπαινετώτεροι, καὶ θαυμασιώτεροι, καὶ κατὰ λόγον ἀσύγκριτον ὑπερφέρεσι. Πρὸς δὲ τέτοις κἀκεῖνο κρίνειν ἐκ ἀπεικὸς ἡμῖν ἔπεισιν, ὡς εἰ μὴ ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων τοῖς πιςοῖς ὑμῖν τραπεζίταις, οἱ λόγοι ἦτοι ἐῤῥήσοντο, ὅπε γε τῆς τῶν ὀρθοδόξων ἐκκλησίας, καὶ τῆς βασιλείας ἡ κορυφὴ, καὶ τῆς πίςεως ἅμα καὶ τῆς σοφίας ἡ κρηπὶς, τῦ λοιπὸν λαληθήσονται; ἀ Αἰγύπῳ, καὶ Παλαισίνῃ καὶ Δαμασκῷ; ὅπε μόγις αὐτὸ ψιλὸν τὸ τῦ ἁγίε Πνεύματος ὄνομα πρόσπινος λέγεται; ἢ κατὰ πάσας μὲν τὰς τῆς Ἰταλίας πόλεις, καὶ Βρεταννίας, ἢ Ἱσπανίας, ἢ Γερμανίας, τοῖς ἐκεῖ θεολογῦσιν ἐφεῖται περὶ τῦ ἁγίε Πνεύματος λέγειν ὅ, τι καὶ βέλοιντο· ἡμῖν δὲ ἐφ' ἅπαξ τῦ τῆς ζωῆς ἡμῶν χρόνε ἔξεσι περὶ τέτε παῤῥησίᾳ εἰπεῖν; ἢ πισδέειν μὲν ἁπλῶς ἑκάςῳ ἐφεῖται ὡς βέλεται, σιγᾶν δὲ καὶ περὶ αὐτὸ κρύπλειν τὸ δόγμα, μήπε τινὰ σκανδαλίσῃ, τῶν μὴ τὰ ἴσα φρονέντων αὐτῷ; Ἀλλὰ τῶν μὲν προοιμίων ἄλις.

Δῦ

„ θειαν· ὲ γὰρ λαλήσει τὶ ἀφ' ἑαυτῦ, ἀλλ' ὅσα ἂν ἀκέ-
„ σῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἔτι,
„ ὅταν παραδώσωσιν ὑμᾶς μὴ μεριμνήσητε πῶς, ἢ τὶ λα-
„ λήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὶ λαλή-
„ σετε· ὲ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα
„ τῦ Πατρὸς ἡμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Ἔτι, διὰ τῦτο λέ-
„ γω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται
„ τοῖς ἀνθρώποις, ἡ δὲ τῦ Πνεύματος βλασφημία ὐκ ἀφε-
„ θήσεται τοῖς ἀνθρώποις· καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τῦ
„ Υἱῦ τῦ ἀνθρώπε ἀφεθήσεται αὐτῷ, ὃς δ' ἂν εἴπῃ κα-
„ τὰ τῦ Πνεύματος τῦ ἁγίε, ὐκ ἀφεθήσεται αὐτῷ, ὔτε
„ ἐν τῷ νυῦ αἰῶνι, ὔτε ἐν τῷ μέλλοντι. Ἔτι, εἰ δὲ ἐγὼ ἐν
„ Πνεύματι Θεῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ'
„ ὑμᾶς ἡ βασιλεία τῦ Θεῦ. Ἔτι, εἰ ὖν ὑμεῖς πονηροὶ ὄν-
„ τες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν,
„ πολλῷ μᾶλλον ὁ Πατὴρ ὁ ἐξ ὐρανῦ, δώσει Πνεῦμα ἅγιον
„ τοῖς αἰτῦσιν αὐτόν. Ἔτι, πορευθέντες βαπτίζετε αὐ-
„ τὺς εἰς τὸ ὄνομα τῦ Πατρὸς καὶ τῦ Υἱῦ καὶ τῦ ἁγίε
„ Πνεύματος. Καὶ ἐπὶ πᾶσιν, Ἰωάννης μὲν ἐβάπτισεν
ὑμᾶς ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ,
ὲ μετὰ πολλὰς ταύτας ἡμέρας. Καὶ ταῦτα μὲν ὁ Κύ-
ριος εἰρηκεν.

Ὁ μέντοι ἄγγελος Γαβριὴλ, νυῖ μὲν φησὶ τῇ Μη-
„ τρὶ τῦ Θεῦ, „ Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ
„ δύναμις ὑψίστε ἐπισκιάσει σοι· νυῖ δὲ, Ἰωσὴφ Υἱὸς Δα-
„ βὶδ μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σε,
„ τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίε. Ἀλ-
λὰ καὶ Ἰωάννης ὁ βαπτιστὴς ἐν τῷ Ἰορδάνῃ παῤῥησίᾳ τοῖς
„ Ἰουδαίοις ἐκήρυττε λέγων „ ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδα-
„ τι, εἰς μετάνοιαν· ὁ δὲ ὀπίσωμε ἐρχόμενος ἰσχυρότερός με
„ ἐστὶν, ὗ ὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι, αὐτὸς
„ ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Καὶ πάλιν,
„ τοῖς αὐτοῖς ὁ αὐτὸς ἐμαρτύρησε λέγων, ὅτι τεθέαμαι τὸ
„ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ ὐρανῦ, καὶ ἔμει-
„ νεν ἐπ' αὐτόν· κἀγὼ ὐκ ἤδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με
„ βαπτί-

„ λαλῆντος τῦ Πέτρε τὰ ῥήματα ταῦτα, ἔπεσε τὸ Πνεῦ-
„ μα τὸ ἅγιον ἐπὶ πάντας τὲς ἀκέοντας τὸν λόγον. Καὶ
„ λειτεργέντων δὲ αὐτῶν Κυρίῳ καὶ νηςεύοντων, εἶπε τὸ
„ Πνεῦμα τὸ ἅγιον, ἀφωρίσατε δή μοι τὸν Βαρνάβαν καὶ
„ Σαῦλον εἰς τὸ ἔργον ὁ προσκέκλημαι αὐτές. Καὶ ἔτοι
„ μὲν ἓν ἐκπεμφθέντες ὑπὸ τῦ ἁγίε Πνεύματος, κατῆλ-
„ θον εἰς Σελεύκειαν. Καὶ ταῦτα μὲν οἱ Εὐαγγελισαὶ ῥη-
„ τῶς λέγεσιν.

Ὁ δὲ θειότατος Πέτρος ἐν μὲν ταῖς Πράξεσι τῷ
„ Ἁγανίᾳ φησὶ „ διατὶ ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν-
„ σε, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον; ἐκ ἐψεύσω ἀν-
„ θρώποις ἀλλὰ τῷ Θεῷ. Καὶ πρὸς τίνι Σάπφειραν, τί
„ ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα τὸ ἅγιον; Καὶ
„ ἐν τῇ Ἐπιςολῇ, εἰ ὀνειδίζεσθε ἐν τῷ ὀνόματι Ἰησῦ Χριςῦ
„ μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τῦ Θεῦ Πνεῦμα, ἐφ'
„ ὑμᾶς ἀναπέπαυται. Καὶ ὁ μακάριος Παῦλος ὡσαύτως,
ἐν μὲν ταῖς Πράξεσι λέγει, „ νῦν ἰδὲ δεδεμένος ἐγὼ τῷ
„ Πνεύματι πορεύομαι εἰς Ἱερεσαλὴμ, τὰ ἐν αὐτῇ συναν-
„ τήσοντά μοι μὴ εἰδὼς, πλὴν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κα-
„ τὰ πόλιν διαμαρτύρεταί μοι. Καὶ πάλιν, προσέχετε ἑαυ-
„ τοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ
„ ἅγιον ἔθετο ἐπισκόπες. Καὶ αὖθις, εἰ Πνεῦμα ἅγιον
„ ἐλάβετε πιςεύσαντες; Πρὸς δὲ, καλῶς τὸ Πνεῦμα τὸ
„ ἅγιον ἐλάλησε διὰ Ἡσαΐε τῦ Προφήτε πρὸς τὲς Πατέ-
„ ρας ἡμῶν. Ἐν δὲ τῇ πρὸς Ῥωμαίες, τῦ ὁριθέντος Υἱῦ
„ τῦ Θεῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης. Καὶ ὁ νόμος
„ τῦ Πνεύματος τῆς ζωῆς ἐν Χριςῷ Ἰησῦ, ἠλευθέρωσέ με
„ ἀπὸ τῦ νόμε τῆς ἁμαρτίας καὶ τῦ θανάτε. Καὶ ὑμεῖς
„ δὲ ἐκ ἐςὲ ἐν σαρκὶ, ἀλλ' ἐν Πνεύματι, εἴπερ Πνεῦμα
„ Θεῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δὲ τὸ Πνεῦμα τῦ ἐγείραντος Ἰησῦν
„ ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριςὸν ἐκ νεκρῶν,
„ ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τῦ ἐνοικῦν-
„ τος αὐτῦ Πνεύματος ἐν ὑμῖν. Καὶ ὅσοι Πνεύματι Θεῦ
„ ἄγονται, ἔτοι εἰσὶν Υἱοὶ τῦ Θεῦ. Καὶ αὐτὸ δὲ τὸ Πνεῦ-
„ μα συμμαρτυρεῖ τῷ Πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα

„ Θεῦ

» εἰκόνα μεταφορφέμεθα ἀπὸ δόξης εἰς δόξαν καθάπερ
» ἀπὸ Κυρίε Πνεύματος. Καὶ ἐν μακροθυμίᾳ, ἐν χρηστό-
» τητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ. Καὶν
» τῇ πρὸς Γαλάτας „τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν,
» ἐξ ἔργων νόμε τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πί-
» στεως; Καὶ, ἵνα ἡ εὐλογία τῦ Ἀβραὰμ γένηται ἐν Χρι-
» στῷ Ἰησῦ, ἵνα τλιὰ εὐλογίαν τῦ Πνεύματος λάβωμεν διὰ
» τῆς πίστεως. Καὶ, ὁ καιρὸς τῦ Πνεύματος ἐστὶν ἀγάπη,
» χαρὰ, εἰρήνη, κτ. Καὶ εἰ ζῶμεν Πνεύματι, Πνεύματι
» καὶ στοιχῶμεν. Καὶν τῇ πρὸς Ἐφεσίες, ἐλθὼν εὐηγγε-
» λίσατο εἰρήνην ὑμῖν, τοῖς μακρὰν καὶ τοῖς ἐγγύς· ὅτι
» δι' αὐτῦ ἔχομεν τλιὰ προσαγωγὴν οἱ ἀμφότεροι, ἐν ἑνὶ
» Πνεύματι πρὸς τὸν Πατέρα. Καὶ, μὴ λυπεῖτε τὸ Πνεῦ-
» μα τὸ ἅγιον τῦ Θεῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπο-
» λυτρώσεως. Καὶ σπεύδοντες ζητεῖν τλιὰ ἑνότητα τῦ
» Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Καὶν τῇ πρὸς
» Φιλιππησίες, ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι·
» οἶδα γὰρ ὅτι τῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς
» ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τῦ Πνεύματος Ἰησῦ Χρι-
» στῦ. Καὶ, ὅτι στήκετε ἐν ἑνὶ Πνεύματι, μιᾷ ψυχῇ· συ-
» ναθλοῦντες τῇ πίστει τῦ Εὐαγγελίε. Καὶ, ἡμεῖς γὰρ
» ἐσμὲν ἡ περιτομὴ, οἱ Πνεύματι Θεῦ λατρεύοντες, καὶ
» καυχώμενοι ἐν Χριστῷ Ἰησῦ. Καὶ ἐν τῇ πρὸς Θεσσαλονι-
κεῖς πρώτῃ· ὅτι τὸ εὐαγγέλιον ἡμῶν ἐκ ἐγενήθη εἰς ἡμᾶς
» ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ Πνεύματι ἁγίῳ·
» τοιγαροῦν ὁ ἀθετῶν ἐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν
» τὸν διδόντα τὸ Πνεῦμα αὐτῦ τὸ ἅγιον εἰς ἡμᾶς. Ἐν δὲ
» τῇ πρὸς Τιμόθεον· τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν
» ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως. Καὶ ἐν τῇ
» πρὸς Τίτον δευτέρᾳ· τλιὰ καλλιὼ παρακαταθήκλω φύ-
» λαξον, διὰ Πνεύματος ἁγίε τῦ οἰκοῦντος ἐν ἡμῖν. Καὶ
» ἐν τῇ πρὸς Ἑβραίες, διὸ καθὼς λέγει τὸ Πνεῦμα τὸ
» ἅγιον, σήμερον ἐὰν τῆς φωνῆς αὐτῦ ἀκούσητε. Καὶ, ἀδύ-
» νατον γὰρ τὸς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς
» δωρεᾶς τῆς ἐπουρανίε, καὶ μετόχους γενηθέντας Πνεύ-
» ματος ἁγίε, καὶ καλὸν γευσαμένους Θεῦ ῥῆμα. Καὶ

„τοῦτο

» ἀνέλαβέ με Πνεῦμα, καὶ ἤγαγέ με εἰς γῆν Χαλδαίων ἐν
» ὁράσει, ἐν Πνεύματι Θεῦ, λέγει· ὁ δὲ τῶν Προφητῶν ἐν-
» δέκατος Ζαχαρίας φησί· καὶ τὰς λόγους σε ἐξαπέστειλε
» Κύριος παντοκράτωρ ἐν Πνεύματι αὐτῦ· ὅ, τε Μιχαίας,
» οἶκος Ἰακὼβ παρώξυνε τὸ Πνεῦμα Κυρίε· ὁ δὲ Ἀγγαῖος,
» διότι ἐγὼ εἰμὶ μεθ' ὑμῶν λέγει Κύριος παντοκράτωρ, καὶ
» τὸ Πνεῦμα με ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. Καὶ ἐν μὲν τῷ
» Ἰὼβ γέγραπται, Πνεῦμα Κυρίε τὸ ποιῆσάν με, πνοὴ δὲ
» παντοκράτορος ἡ διδάσκουσά με· ἐν δὲ τῇ Σοφίᾳ, ἔστι
» γὰρ ἐν αὐτῇ Πνεῦμα ἅγιον νοερὸν, ἀπαύγασμα φωτὸς
» ἀϊδίε. Καὶ πάλιν, τὸ γὰρ ἄφθαρτόν σε Πνεῦμα ἐστὶν
» ἐν ἅπασι. Καὶ ἐν μιᾷ τοῖς Κριταῖς, ἐγένετο ἐπ' αὐτὸν
» Πνεῦμα Κυρίε, καὶ ἔκρινε τὸν Ἰσραήλ. Καὶ ἐγένετο ἐπὶ
» Ἰεφθάε Πνεῦμα Κυρίε. Καὶ ἤλατο Πνεῦμα Κυρίε ἐπὶ
» Σαμψών. Ἐν δὲ τοῖς Ἀριθμοῖς, ἀφελῶ ἀπὸ τῦ Πνεύ-
» ματος τῦ ἐπὶ σοὶ, καὶ θήσω ἐπ' αὐτές· καὶ τὶς ἂν δῶ
» πάντα τὸν λαὸν Κυρίε προφήτας; ὅταν δῶ Κύριος τὸ
» Πνεῦμα αὐτῦ ἐπ' αὐτές· ἐν δὲ τῇ Γενέσει, ὰ μὴ κατα-
» μείνῃ τὸ Πνεῦμα με ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ
» εἶναι αὐτὰς σάρκας. Ἀλλὰ μέχρι τίνος πειρώμεθα τὰ
» ὑπὲρ ἀριθμὸν ἀριθμεῖν;

Ἵνα δὲ τὸν σκοπὸν, δι' ὃν καθ' εἱρμὸν ἅπαντα ταῦτα εἴρηται, τιλῶ ὑμῶν ἀγάπιν ἐν Χριστῷ ὑπομνήσωμεν, ὡὰ ποσάκις τὸ Πνεῦμα τὸ ἅγιον πρὸς τῦ Θεῦ μαρτυρόμενον διὰ πάντων, ἁδαμῦ λεγόμενον εὕρηται ἐκ τῦ Υἱῦ ἐκπορεύεσθαι· τὸ δὲ παρὰ πάσης τῆς θείας Γραφῆς, εἰ δὲ βέλει καὶ πρὸς πάντων ἁγίων φανερῶς σιωπώμενον, δίκαιον τῦτο καὶ παρ' ἡμῶν πάντων πάντως τιμᾶσθαι σιγῇ· ἐπίσης γὰρ ἄτοπον εἶναι νομίζω, πιστεύσατε, καὶ τὸ παρὰ τῦ Θεῦ κηρυττόμενον δόγμα διδόναι σιγῇ, καὶ τὸ παρ' αὐτῦ σιωπώμενον ἀπ' αἰῶνος, ἄρτι κηρύττεσθαι παρ' ἡμῶν. Πλιὼ ἰσέον κἀκεῖνο πρὸς τέτοις, ὡς ἂν μὴ δεῦρο κἀκεῖσε περιαγώμεθα, ὅτι Πνεῦμα μὴ μόνον τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, ἀλλὰ καὶ ἡ Τριὰς ὅλη Πνεῦμα, διὰ τὸ πάντῃ ἄϋλον, καὶ ἀπρόσιτον, καὶ κατὰ

φύσιν

» μένον τῷ Ἀποστόλῳ περὶ τῆς παρθένε, ἵνα ᾖ ἁγία σώ-
» ματι καὶ Πνεύματι· λέγεται μέντοι καὶ ὁ ἄνεμος Πνεῦ-
» μα, ὡς τὸ, καὶ ἐπήγαγεν ὁ Θεὸς Πνεῦμα ἐπὶ τὴν γῆν,
» καὶ ἐκόπασε τὸ ὕδωρ. Καὶ ἐξήγειρε Κύριος Πνεῦμα μέ-
» γα ἐπὶ τὴν θάλασσαν. Καὶ ὃν τρόπον ἐνδυμῷ ξύλον
» ὑπὸ Πνεύματος σαλεύθη.

Παρὰ δὲ πάντα τὰ εἰρημένα, ἐξαιρέτως καὶ ἰδιαίτατα, Πνεῦμα ἅγιον λέγεται αὐτὸς ὁ Παράκλητος· ἦγεν αὐτὸ καθ' αὑτὸ τὸ τῆς Πνεύματος πρόσωπον, ὅπερ τὸ προτατόμενον ἄρθρον, ὅπε δ' ἂν ὀνομάζηται, καὶ ἡ προθήκη τὸ ἅγιον, ὑποδιαιρεῖ τῶν λοιπῶν. Αὕτη τοίνυν ἡ διάφορος τῆς Πνεύματος σημασία εἰς μέσον ἡμῶν ἀρτίως παρῆκται, ὡς ἂν ἔκ τε τῶν σημαινομένων παρὰ τῆς λέξεως, καὶ ἐκ τῶν τῆς Θεοπνεύστε Γραφῆς χρήσεων πιστωθῶμεν, ὡς ἁδαμῶ τὸ Πνεῦμα ὑφίσκεται τὴν ὕπαρξιν ἔχειν ἐκ τῆς Υἱῆς. Πρὸς δὲ τὰς λέγοντας, ὅτι μετριάζων ὁ Κύριος διὰ τὸ ἀνθρώπινον, σεσίγηκεν ἀποφθέγγεσθαι περὶ τῆς Πνεύματος τῆς ἁγίε, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς Πατρὸς καὶ ἐξ αὐτῆς ἐκπορεύεται, ταῦτα φαμὲν, ὡς ἐκεῖνα ὁ ὑπερύμνητος Ἰησῆς ταπεινῶς φθέγγεται, ὅσα κατὰ τὸ ἀνθρώπινον εἰς τὸ ἑαυτῆ πρόσωπον ἀφορᾷ, ὡς ἂν μὴ δόξῃ τισὶν ἁρπάζειν τὰ τῆς Θεότητος μεγαλεῖα, τῷ φαινομένῳ ἄνθρωπος δοκῶν εἶναι ψιλὸς, ἀλλὰ καὶ
» Θεός· ὡς τὸ, ὁ Πατήρ με μείζων μέ ἐστιν· ὡς τὸ, ἃ
» δώσατα ὁ Υἱὸς ποιῆσαι τι, ἐὰν μὴ βλέπῃ τὸν Πατέρα
» ποιῶντα· ὡς τὸ, περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας,
» ἁδεὶς οἶδεν, ἁ δὲ οἱ ἄγγελοι τῶν ἁρανῶν, ἁδὲ ὁ Υἱὸς, εἰ
» μὴ ὁ Πατὴρ μόνος· καὶ ὅσα τούτοις ἐφάμιλλα· ὅσα δὲ
περὶ τῆς προσώπε τῆς Πατρικῆς, ἢ περὶ τῆς προσώπε τῆς Πνεύματος ὡ Εὐαγγελίοις φησὶν, ἅτε περὶ προσώπων μὴ ὄντων σεσαρκωμένων θεολογῶν, τὰ τῆς θεολογίας ἄκρατα δίεισι, καὶ ἐφ' ὅπωσῆν ἢ πλαγιάζει τὰς λόγες, ἢ λαλεῖ ταπεινὰ, ἢ μὴν οἰκονομικῶς τι περὶ ἐκείνων σιγᾷ. Εἰ γὰρ τοῖς δήμοις τῶν Ἰεδαίων, καθ' περ φονῶσι κατ' αὐτῆ, ἁδὲν ὑπεσείλατο ἐξαγγεῖλαι περὶ τῆ ἴσε τῆς

ἑαυτῆ

» μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος· πλιὶ τέτων ἐπά-
» ναγκες ἀπέχεσθαι, εἰδωλοθύτων, καὶ αἵματος, καὶ
» πνικτῆ, καὶ πορνείας· ἐξ ὧν διατηρῆντες ἑαυτὲς, εὖ πρά-
» ξετε. Τέτων ταῖς διατάξεσι, καὶ ἡ ἕκτη Σινόδος ἐπο-
μένη, ἐν ἑξηκοςῷ καὶ ἑβδόμῳ κανόνι τῶν ἑαυτῆς ἀποφαί-
» νεται „ εἴτις ἀπὸ τῆ νῦν αἷμα ζώε ἐσθίειν ἐπιχειρήσει,
» οἱῳδήτινι τρόπῳ, εἰ μὲν κληρικὸς εἴη, καθαιρείσθω· εἰ
δὲ λαϊκὸς, ἀφοριζέσθω. ΜΑΞ. Καὶ περὶ τῆ πέμπτε
κατ' ἐπιτομὴν διέλθε· ὅπε γὰρ Σινόδοι καὶ Ἀπόςολοι
μάρτυρες, ἃ δεῖ μηκύνειν.

ΙΩΣ. Ἄριςα ἔφης· ἀμέλει καὶ τῷ τῶν Ἀποςόλων
μόνῳ χορῷ ἀρκεσθήσομαι ἐπὶ τέτῳ, ὅτι περὶ τῆ πέμ-
πτε οἱ αὐτοὶ Ἀπόςολοι, ἔτως ἐν ἑξηκοςῷ καὶ τρίτῳ κα-
» νόνι τιθέασιν· „ εἴτις κληρικὸς ὀρεθῇ τιλὶ Κυριακὴν ἡμέ-
» ραν νηςεύων, ἢ τὸ σάββατον, πλιὶ ενὸς μόνε, καθαι-
» ρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω.

Περὶ δὲ τῆ ἕκτε, ἤγεν ὅτι καὶ Σινόδοι ἑπτὰ οἰκεμενικαί γεγόνασι προφανέςατα, καὶ κανόνας οἱ Ἀπόςολοι ἔγραψαν,

Εἰ γὰρ τὸ Πνεῦμα τῆς ἀληθείας, αὐτῆς τῆς ἀληθείας μαρτυρόσης παρ' ἧς πρόεισι, δωρεὰν δίδοται, πόρρω πάσης ἀμφιβολίας Πνεῦμα ψεύδες ἐλέγχεται τὸ μὴ προῖκα διδόμενον. Περὶ τέτε, ἵνα τὰς ἄλλας παρῶ, ἐν εἰκοστῷ καὶ ὀγδόῳ κανόνι, ἐμβριθέστερον οἱ Ἀπόστολοι λέγουσιν. „Εἴτις Ἐπίσκοπος διὰ χρημάτων τῆς ἀξίας ταύτης ἐγκρατὴς γένηται, ἢ πρεσβύτερος, ἢ διάκονος, καθαιρείσθω καὶ αὐτὸς, καὶ ὁ χειροτονήσας, καὶ ἐκκοπήσθω τῆς κοινωνίας παντάπασιν, ὡς ὁ Σίμων ὁ μάγος ὑπ' ἐμοῦ τοῦ Πέτρου. Καὶ μάλα εἰκότως, εἴποι πᾶς τις, ταῦτα καὶ χείρω τοῖς θειλαίοις συμβαίνειν· εἰ γὰρ ὁ μάγος ἐκεῖνος, καίπερ νομίσας μόνον δωρεὰν ὅλως εἶναι τινὰ δωρεὰν τοῦ Θεοῦ ἀργυρίῳ κτήσασθαι, αὐτίκα πόρρωπεν τῆς ἐκκλησίας ἀπέρριπται, οἱ διὰ βίε ἔργον τέτο ποιέμενοι, τὸ πάσας πιπράσκειν χρυσίε τὰς τοῦ Πνεύματος χάριτας, πῶ ποτε ἆρα τύχσονται; ἢ ποίαν τίσεσι δίκην; Ὡς ἂν δ' ἐπὶ τὸν τοῦ λόγε εἰρμὸν καταντήσωμεν, διὰ ταύτας τὰς αἰτίας ὑμῶν διϊσάμεθα, ἅτε τοῖς ἁγίοις ἐν πᾶσι στοιχοῦντες, καὶ ἐχ ὑμῖν, τοῖς, ἵν' ἀφημότερον εἴπω, πορδομένοις ὡς βέλεσθε. ΦΩΚ. Πρὸς ταῦτα τίς ἱκανός;

ΙΩΣ. Μία δὲ τέτοις ἅπασιν ἡ διόρθωσις ἔσαι συναιρομένε Θεοῦ, τὸ μηδὲν παρὰ τὰ διατεταγμένα τοῖς ἱεροῖς Ἀποστόλοις, καὶ ταῖς ἁγίαις Συνόδοις, μεταχειρίζεσθαι ἢ φρονεῖν· ὁ γὰρ τέτον τὸν ὅρον φυλάττων ὀρθῶς, συγχορδύτης ἡμῖν ἔσαι, συγκοινωνὸς, καὶ ὁμόπιστος· ὅστις δὲ τὰς προειρημένας κανόνας ἀπαναινόμενος, καὶ κατὰ τῶν Ἀποστόλων ὁμόσε χωρῶν, καὶ κατὰ τῶν ἁγίων ἀναίδειαν φερόμενος, τίνα ἂν σχείη πρὸς ἡμᾶς κοινωνίαν; τὶς δὲ μερὶς μεθ' ἡμῶν ἔσαι τέτῳ, ἢ τὶς μετοχὴ κατ' εὐσέβειαν; ὅπε ὁ μὲν τῶν διδασκάλων λέγει τοῖς θέλεσιν εὐσεβεῖν, „πᾶς ὁ λέγων παρὰ τὰ διατεταγμένα, κἂν ἀξιόπιστος ᾖ, κἂν νηστεύῃ, κἂν παρθενεύῃ, κἂν σημεῖα ποιῇ, κἂν προφητεύῃ, λύκος φανέσθω σοι, ἐν προβάτε δορᾷ, φθορὰν προβάτων κατεργαζόμενος· ὁ δὲ, εἴτις τῶν δοκούντων τοῖς θεοφόροις Πατράσι σαλεύῃ τι, ἐκ ἔτι τέτο οἰκο-

„νομίαν

ΤΟΥ ΑΥΤΟΥ

ΔΙΑΛΕΞΙΣ Β.

ΠΕΡΙ

ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΕΚΠΟΡΕΥΣΕΩΣ,

Μετὰ τῶν ἐκ Ῥώμης ΠΡΕΣΒΕΩΝ, ἐπὶ ἑνώσει τῶν Ἐκκλησιῶν δηθὲν ἀφικομένων, καὶ λαβιὼ αὖθις ἄλλιω ζητέντων λαβεῖν παρ' ἡμῶν.

ΙΩΣΗΦ.

Θεοσεβῆ νόμῳ προσαγορεύωσε λόγῳ καὶ χήματι καὶ καρδίᾳ, τλιὼ πολλοῖς ἐπέρασον κεφαλίω· εἰρίνη εἴησοι ἐν ψυχῇ· εἰρίνη πορεύοιτο πρὸ προσώπεσε· καὶ εἰρίνω ὁδηώαι πάντα τὰ σὰ διαβήματα. ΠΡΕΣΒΥΣ. Θεῷ χάρις ὅτι σε ζῶντα καὶ ὑγιαίνοντα εὕρομεν· πλιὼ ἐρωτῶντι φεάσον, πῶς ἔχεισε ἡ πατρότης; ὄεκτεῖς; ὀθυμεῖς; ΙΩΣ. Εὖ ἔχει μοι τὰ κατὰ τὸ σῶμα, ἴσως δὲ καὶ ἡ ψυχή ποτε ὄεκτήσει, σὲ ἀντυγχάνοντος ὑπὲρ ταύτης τῷ ὑπὲρ τῶν κατακρίτων ἀποθανόντι. ΠΡΕΣ. Σὺ πολὺς τλιὼ φήμιω καὶ μέγας γενόμενος, πολλῶν ὄχας καὶ μεγάλων τρυγᾶς. ΕΡΜΗΝΕΥΣ. Ναὶ, ἅτως ἔχει, ὡς εἴρηκεν ἡ σὴ μεγαλειότης· πλιὼ ἑκατέρωθεν ἀδικεῖ, καὶ σιγῶν, καὶ φθεγγόμενος ἑτοσί· καὶ λέγω τὸ πῶς· σιγῶν μὲν ἤδη τρίτον χρόνον, ἀδικεῖ τὲς Ῥωμαίες, πάνυ διψῶντας ἀκέειν αὐτῷ τῆς φωνῆς· φθεγγόμενος δὲ, αὐτὸν καὶ ἡμᾶς ἀδικεῖ, διαβάλλων τινὰς τῶν ἀγίων, ὅτι

προέρχεται, ἔτε μὴν ἕνωσις δι' ἀντιλογίας σωίσταται· ὅθεν πῆ μὲν φησὶν ὁ Σολομὼν „ἂν ἐκπιέζῃς μυκτῆρας, „ἐξελεύσεται αἷμα· ἂν δὲ ἐξέλκῃς λόγες, ἐξελεύσονται „κρίσεις, καὶ μάχαι· πῆ δὲ, πάντας τὲς μὴ φιλονεικῦν- „τας καλύψει φιλία· τί τὲ λόγε ἐξ ὑπογύε σωάγον- „τος; ὅτι καὶ τὲς φιλονεικῦντας ἐχθρα περιβαλεῖ· ὅπερ κἀγὼ σωειδὼς, καὶ ὅπως ἡ μελετωμένη παρ' ἡμῶν αὕτη ἕνωσις ἐξ ἅπαντος τρόπε προβῇ, πρόρρωθεν προμηθέ- μενος, τῦτο καὶ ἅπασιν ὑμῖν παρρησίαν τοῖς πᾶσι πα- ρῆνεσα, καὶ ἀφικομένοις ἐνταῦθα, ἤδη τῦτο πρῶτον τὲς πάντας τηρῆσαι παρακαλῶ.

ΕΡΜ. Ποῖον δὴ τῦτο; ΙΩΣ. Πάλιν ἐρῶ· τὸ μη- δένα ἡμῶν πρὸ τῆ τιμῆ Σιώδου ἀθροισθῆναι πρὸς ἄλλον φιλονεικεῖν· καὶ τὰ ἁγία Πνεύματος εὐδοκήσαντος, ἥτε Σιώδου ἀθροισθήσεται, καὶ ἡ ἕνωσις ἀποβήσεται, καὶ μία ποίμνη Χριςῦ οἱ πάντες ἐσόμεθα. Ἰδὲ οἱ ὀφθαλμοὶ πάντων ὑμῶν ὁρῶσί με διαμαρτυρόμενον, καὶ τὰ ὑμέτερα ὦτα ἀνέωγε πρὸς τὲς λόγες με. Διαμαρτύρομαι γῆν τὰ μεγάλα στοιχεῖα, τὸν ἀέρα, καὶ τιμῆ γιῆ, καὶ τὸ φῶς· ἐπικαλοῦμαι εἰς μάρτυρας τὸν χορὸν τῶν ἁγίων, καὶ τῶν ἀγγέλων τὸν κύκλον, ὅτι ἂν μόνον ἅμφω τὰ γονῆ πειθῆτέ μοι τὰ κρείττονα συμβελεύοντι, καὶ μὴ πρὸς ἀλλήλες μάτην ἐρεχελῆτε πρὸ τῆ καθίσαι τιμῆ Σιώδου, καὶ ἐν τῷ ταύτῃ συζεῦξαι γονήσεται ἕνωσις· εἰ δ' ἓν, ἐκ ἔσαι εἰς τὸν αἰῶνα, ἀλλὰ καὶ χεῖρον τὸ χίσμα γονήσεται. Εἰς δεῖγμα δὲ τῶν πολλῶν, αὐτὸς πρῶ- τος ἐκ ἀντερίζειν περὶ τῆ δόγματος ἕως τότε πειράσο- μαι, ὁ μᾶλλον τῶν ἄλλων ἐριτικώτατος εἶναι περὶ τῦτο δοκῶν· πλὴν ὁρισμῆ ἐκκλησίας, ἢ βασιλείε ἐπιταγῆς· καὶ τῦτο ποιῶ, ἐχ ὡς ἄντις νομίσῃ τιμῆ ἐκ τῶν λόγων ἥτταν ὑπεκκλίνων σοφῶς· ἐ γὰρ πάντῃ ἄπειρος ἐριτικῶν λόγων, ἢ θείων δογμάτων ἐγώ· ἀλλ' ἐκεῖνο, τὸ ἐκ τῆς ἀντιλογίας ἀποβησόμενον, μάλα σαφῶς ἐπισάμενος, καὶ πάσῃ τῦτο παρεκκλίνων σπεδῇ.

ΕΡΜ.

γεσθαι. Ἔστιν ἀντὶ τούτου μυρία περὶ τοῦ προκειμένου ποιεῖν, καὶ κοινῇ καὶ καθ' ἕκαστον μελετᾷν βουλεύεσθαι καὶ συνδιασκέπτεσθαι μετ' εἰρήνης, πῶς ἂν ἡ ἕνωσις γένηται· καὶ μὴ πρός τινων τῶν χαιρεκάκων ἀνθρώπων, ἢ ἐπηρείᾳ δαίμονος ὀλεθρίου . . . ἀλλὰ μὴ παραχωρήσης γενέσθαι Κύριε τοῦτο! ὅπερ καὶ ἐξαγγεῖλαι μισῶ. ΕΡΜ. Εἴθε!

ΙΩΣ. Ἄλλως τε, οὐθ' ὁ μέγας οὑτοσὶ τούτου χάριν ἀφίκετο, καὶ τοσαύτην διεστείλατο τὴν ἀποδημίαν, ὥστε διαλέξεις δημοσίᾳ ποιεῖσθαι, οὐθ' ἡμεῖς ἐκ πρώτης βαλβίδος, ὃ λέγεται, τοιαύταις δεξιωσόμεθα, τοιόνδε Πρέσβυν ὑποδοχαῖς· ἀλλ' οὗτος μὲν, ὥστε κομίσαι τῷ Πατριάρχῃ, καὶ τοῖς Κρατοῦσι, πρεσβείας ἑνωτικὰς τῶν Ἐκκλησιῶν, καὶ σὺν αὐτοῖς ἵνα καὶ τοῖς περὶ τούτων λογάσι, βουλεύσηταί τι μέγα, περὶ οὗ ἧκε σκοποῦ· ἡμεῖς δὲ οὕτως ὄντα τοιοῦτον, καὶ παρὰ τοσῶν δε καὶ τοιῶν δε πεμφθέντα, ἐπὶ τοιούτῳ σκοπῷ, πάσαις φιλοφρονησόμεθα ταῖς ἀξίαις τιμαῖς· γενήσεται δὲ μετ' αὐτοῦ, καὶ διάλεξις μία, ἢ τυχὸν καὶ δευτέρα, καὶ τρίτη· μᾶλλον δὲ οὐ διάλεξις, περὶ δὲ τοῦ μελετωμένου κοινὴ συνδιάσκεψις, οὐχ ὡς ἐν σεκρέτῳ, ἀλλ' ἐν ὡρισμένοις, ἐν τῷ περιωνύμῳ τῆς τοῦ Θεοῦ Σοφίας Νεῷ, ἢ ἐν τῷ θεοφρουρήτῳ Παλατίῳ, ἢ ὅποι ἂν οἱ λογάδες ἐκλέξωνται. Ἴσως δὲ καὶ αὐτὸς (ἐπείπερ χρὴ τὸν ἀποκρινόμενον, οὐ μόνον ἃ χρὴ, καὶ ὑπὲρ ὧν χρὴ, καὶ ὡς χρὴ, ἀλλὰ καὶ ὅπῃ χρὴ, καὶ ὡς χρὴ ἀποκρίνασθαι) περὶ τούτου λοιπὸν ὅπου χρὴ τηνικαῦτα ἀποκρινοῦμαί σοι, ἐὰν ἄραγε ζῶ, καὶ κληθῶ, καὶ συνῶ. Πλὴν ὃ παῤῥησίᾳ τοῖς πᾶσι, καὶ ἰδίᾳ ἑκάστῳ πολλάκις παρῄνεσα, τοῦτο καὶ αὖθις παραγγέλλω ὑμῖν, καὶ δι' ὑμῶν ἅπασιν, οἷς, εἰ δεῦρο νῦν ἐχώρει γενέσθαι διάλεξιν, ἐμέλλετε διηγεῖσθε τὰς λύσεις τῶν ἀντιθέσεων, ἵνα οἱ πάντες Ῥωμαῖοι τε καὶ Λατῖνοι, ξένοι καὶ αὐτόχθονες, νυκτὸς καὶ ἡμέρας ἀπ' ἄρτι, ἐξ ὅλης ψυχῆς καὶ καρδίας θερμότερον δέησθε τοῦ Κυρίου, ὡς ἂν, οἷς τρόποις οἶδε, τάχιον εὐδοκήσῃ γενέσθαι ὡς χρὴ, τῆς αὐτοῦ Ἐκκλησίας

τὴν

ἡμῖν θεολόγων, παρέδωκε ῥητῶς ἑτοῖς, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καθὸ αὐ τῇ προβλητικῇ δυνάμει, τὸ ἅγιον Πνεῦμα προβάλλεσι· τὸ δὲ παρὰ πάντων αὐτῶν σιωπώμενον, ἅτε μὴ ὂν σεσιώπηται, ἢ ὡς μεῖζον τιὼ ποίμνιω Χριστῦ, ἢ καθὸ σιωπῆς ἄξιον πάντως· καὶ δεῖ λοιπὸν καὶ ἡμᾶς τῦτο τιμᾶν σιωπῇ. Ἐπίσης γὰρ τόλμης καὶ αὐθαδείας μεστὸν, καὶ τὸ παρ' αὐτῶν κηρυττόμενον δόγμα σιγᾶν, καὶ τὸ παρ' αὐτῶν σιωπώμενον ἕως ἄρτι, κηρύττεσθαι νῦν παρ' ἡμῶν· τὸ δὲ καὶ παῤῥησίᾳ κηρύττειν τὸ τοῖς τέτων δόγμασιν ἀνθιστάμενον, ποίαν ἀναιδείας ὑπερβολὴν καταλείπει; τί τὸ κατάτι, καὶ διάτι, καὶ καθὸ, προβάλλεσθε, οἷά τι τεῖχος χαλκῦν; εἴτε καθὸ δύο, εἴτε καθὸ πλείες, ὁ Πατὴρ καὶ ὁ Υἱὸς προβάλλεσι τὸ Πνεῦμα καθ' ὕπαρξιν, κἂν ἀπροσδιορίσως εἴποιτε, κἂν προσδιορισμένως ἐρῆτε, κἂν κοινῇ, κἂν ἰδίως, ὡσαύτως πάντοθεν τὸ ἐκ δύο προσώπων, ἤγεν Πατρὸς καὶ Υἱῦ, ἀ πρόσωπον ἐσιῆσθαι, τὸ θεῖον Πνεῦμα, σιωπάγεται. Ὅμως ἐδὲ ξένον εἰ ταῦτα προβάλλεσθε οἴκοθεν, ὅπε καὶ μηδενὸς ἐγκαλῆντος, καὶ κατ' αὐτῦ τῦ Χριστῦ ὁμόσε χωρεῖτε, ἅτως ἀναίδην ἀπολογέμενοι, ὅτι κἂν αὐτὸς ὁ Χριστὸς ἐν Εὐαγγελίοις ἐτίθει ῥητῶς ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, ὁ παράκλητος, ἐκ Πατρὸς ἐκπορεύεται μόνε, ἐχὶ δὲ ποσῶς ἐξ ἐμῦ, ἀλλ' ἡμᾶς τἐναντίον ἅπαν πιςεύειν ἐχρῆν, ὅτι πάντως καὶ ἐξ αὐτῦ τῦ Υἱῦ προσωπικῶς ἐκπορεύεται. Οἱ ΠΟΛΙΤΑΙ. Βαβαὶ τῆς τόλμης ὅση!

ΙΩΣ. Τῦτο καὶ κατὰ τῦ Θεῦ λόγε ἀποτομία, καὶ διαμάχη πρὸς τὲς θεολόγες σαφὴς, καὶ πρὸς ἡμᾶς πόλεμος ἄσπονδος· ἀ σκοπεῖτε, ἵν' ἐκ τῦ μέρες καὶ τὸ καθόλε γνωρίσωμεν. Οἱ ΠΟΛ. Ὅ βέλει παῤῥησίᾳ ἐξάγγειλον· πάντες τῆς σῆς φωνῆς ἐκκρεμάμεθα. ΙΩΣ. Αὐτοὶ μὲν οἱ ἅγιοι λέγεσιν, ἐκ τῦ Υἱῦ δὲ τὸ Πνεῦμα ἀ λέγομεν, ὑμεῖς δὲ λέγετε, καὶ ἐκ τῦ Υἱῦ τὸ Πνεῦμα λέγομεν· αὐτοὶ, κατὰ τιὼ ἐσίαν καὶ τιὼ ὑπόςασιν αὐτῦ ἐςὶ τῦ Υἱῦ τὸ Πνεῦμα, ἀλλ' ἐκ ἐξ αὐτῦ, ὑμεῖς δὲ καὶ κατὰ τιὼ ἐσίαν, καὶ κατὰ τιὼ ὑπόςασιν ἐξ αὐτῦ τῦ

Υἱῦ

ἐθαῤῥεῖτε μέγα, κατὰ κράτος ἠφάνισαν σὺν βάσεσι καὶ κρηπίσιν αὐταῖς; εἶτα ἐκ αἰδεῖσθε σιωπῶντες ἐπιφέροντες τὸ ῥησίδιον τοῦτο, οἷα μεγίστην ἀπόδειξιν; ὅτι καθὸ οὐ τῇ προβλητικῇ δυνάμει, σὺν τῷ Πατρὶ καὶ ὁ Υἱὸς τοῦ Πνεύματος αἴτιος; ἐκ ἴστε ὡς ἀνθρώποις λαλεῖτε νοῦν ἔχουσι, καὶ λόγου μετόχοις, καὶ εἰδόσιν ἃ λέγετε, καὶ τὰ ὑμῶν σιωπῶσι νοήματα;

Ὁ ΠΡΕΣ. Ἀλλὰ καὶ ὑμεῖς ὡσαύτως ἡμῖν προστίθετε τῷ ἁγίῳ συμβόλῳ, καὶν μὴ τῇ λέξει, τῇ δὲ ἐννοίᾳ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται. ΙΩΣ. Καὶ τοῦτο τῆς ὑμῶν τόλμης γέννημα· καὶ τοῦτο τῆς ὑμετέρας προθήκης προθήκη· εἰμὴ γὰρ τὸ καὶ ἐκ τοῦ Υἱοῦ, ἐν τῷ θείῳ συμβόλῳ ὑμεῖς προσεθήκατε, ἐκ οὖν ἡμεῖς προσιθέναμεν, τὸ, ἐκ μόνου τοῦ Πατρὸς ὑπωπλοῦθημεν· εἶτα χρεὼν ὑμᾶς μεταμέλεσθαι, ἐφ' οἷς τετρακόσια ἔτη τλῶ τῆς Χριστοῦ Ἐκκλησίαν ἐχίσατε, καὶ ἐπαρᾶσθαι μυρία τῷ πρώτως τοῦτο τολμήσαντι, δέον καὶν ναῶ ἐφ' οἷς ἐγκαλεῖσθε σιγᾶν, ἱταμώτερον τοῖς ἐγκαλοῦσιν ἀνάλλεσθε, καὶ τὸ σιγώμενον ταυτὸν ποιεῖτε τῷ λαλεμένῳ, καὶ ἴσως τοῖς πλαίσασι τὰς μὴ πλαίσαντας κρίνετε· ταυτὸν ποιοῦντες, ὡς ἂν εἴτις ἐπὶ προδοσίᾳ πόλεως ἐγκαλέμενος, ἐπὶ μὲν πᾶσιν οἷς ἐγκαλεῖται σιγᾴη, προφέροι δέ τινα πρόφασιν εἰς δικαίωμα δῆθεν, ὡς ἐδεῖ δεινόν πέπραχεν· ἐπεὶ καὶ ὁ ἀνάγων αὐτὸν, περὶ τοῦ τῆς αὐτῆς πόλεως Βασιλέως δοξάζει, ὡς θησαυρὸν ἀνείκαστον ἐν ἀποκρύφοις ἔχει· πρὸς ὃν ὁ κρίνων τινὶ ἀληθειαν λόγος, εἰ μήτις ἄλλως ἐρεῖ, ἃ τὰ τῶν ἄλλων κρίνειν, ὧ ἕτος, ἐκλήθης, ἀλλ' ὑπὲρ ἃ κατηγορεῖ ἀποκρίνασθαι· ἔασον ἕν τὰ τῶν ἄλλων κατηγορεῖν, ὑπὲρ δὲ σαυτοῦ ἀπολόγησαι, ἐκεῖνο, εἰ μήτι ἄλλο, ὑπὲρ τοῦ προκειμένου σκοπῶν, ὅτι ἄλλο ἐστὶ τὸ καὶ διὰ λόγων καὶ διὰ γραμμάτων καὶ πράξεων, τῆς κοινῆς πάντων πατρίδος προφανῆ προδότην εἶναί τινα, καὶ ἐγκαλέμενον περὶ τούτου ἀνθίσασθαι, καὶ πάνυ δικαιότατον λέγειν πεποικέναι, καὶ παντὶ τρόπῳ ἀσθενεῖ καὶ εἶναι καὶ λέγεσθαι προδότην αἰώνιον·

καὶ

ἡμῶν ὑποπτευομένη γενέσθαι προσθήκη ἀρθήσεται, καὶ τὸ κοινὸν πάντων δόγμα, εἰς ὅπερ ἰὼ ἐξ ἀρχῆς ἀποκαταστήσεται. Οἱ ΠΟΛ. Ναὶ Κύριε πάντων, οἷς τρόποις οἶδας, εἰς ἐν ἡμᾶς σύναψον.

ΙΩΣ. Ἐνδοιαζέτω δὲ μηδεὶς ἐξ ὑμῶν, ὐκ ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, ἐπεὶ μὴ πρόσκειται ἐν τῷ συμβόλῳ τῆς πίστεως. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς μόνου ἐκπορευόμενον. ΠΡΕΣ. Τὶ δήποτε; ΙΩΣ. Ὅτι ὔτε τῆς Ῥωμαίων, ὔτε τῆς Ἕλληνος, ὔτέ τινος τῶν ὑπὸ τὸν ἥλιον ἄλλης γλώττης, ἔθος ἐστὶν, ἢ ἰδίωμα τοῦτο, μετὰ τοῦ μόνου προσδιορισμοῦ προφέρειν τὰ ὀνόματα· οἷον ὁ δεῖνα ἐκ μόνου τοῦ δεῖνος προῆλθεν, ἢ γεγέννηται· ἀλλὰ καὶ πᾶσα διάλεκτος ἐθνῶν, καὶ πᾶσα παλαιὰ καὶ νέα γραφὴ, περὶ προσωπικῆς τινος ὑπάρξεως ἐξαγγέλουσα, δίχα τοῦ μόνου τὸν λόγον ἐκτίθησι, πάντας πληροφορεῖν ἡγουμένη, οὕτω τὸν λόγον ἀκούοντας, ὅτι ἐκ μόνου τοῦ περὶ ὃν ὁ λόγος προφέρεται, τὸ προηγμένον παρῆκται καθ' ὕπαρξιν πρόσωπον· ὅθεν ὔτ' ἐν τῇ κοινῇ συνηθείᾳ λέγομεν, ὁ ἐμὸς αὐτάδελφος ἐκ μόνου τοῦ Πατρός μου, ὔτ' ἐν τῇ θείᾳ Γραφῇ, ὁ μὲν Σήθ ἐκ μόνου τοῦ Ἀδὰμ, ἐκ μόνου δὲ τοῦ Νῶε γεγέννηται ὁ Σήμ· οὕτως ὔτε ἐν τῷ θείῳ Συμβόλῳ περὶ τοῦ Υἱοῦ πιστεύειν ὁμολογοῦμεν, εἰς τὸν ἐκ τοῦ Πατρὸς μόνου γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, ὔτε περὶ τοῦ Πνεύματος λέγομεν, εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς μόνου ἐκπορευόμενον· ὥστε ὁ ἀπαιτῶν μετὰ τοῦ μόνου προσδιορισμοῦ λέγεσθαι τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ἵνα πιστεύσῃ τὸ ἐκ μόνου, ἀπαιτείτω μετὰ τοῦ μόνου τούτου ὁμολογεῖσθαι καὶ τὸν Υἱὸν ἐκ Πατρὸς, ὡς ἂν ἐκ μόνου πιστεύηται. Προσαπαιτείτω δὲ καὶ πᾶν τὸ λεγόμενον ἔκ τινος εἶναι, εἰ μὴ μετὰ τοῦ μόνου προσφέρηται, μὴ ἐκ μόνου εἶναι πιστεύεσθαι τοῦ ἐξ οὗ τὴν ὕπαρξιν κέκτηται. Εἰ δ' ἀπροσδιορίστως πάντα αἴτια μόνα τοῖς ἐξ αὐτῶν προσωπικῶς προϊοῦσι πιστεύεται, πῶς τοῦτο μόνον, σὺν λόγῳ, προσδιωρισμένως ἀπαιτηθήσεται; Ὥστε ὐκ ἐφεῖταί σοι

προσ-

ΙΩΣ. Πῶς τὸ Θεὸς ὄνομα ȣ̓ δηλοῖ πρόσωπον ἄνθρωπε; ὅπȣ καὶ ὁ πρὸς Θεὸν πολυΰμνητος ὕμνος, ἀντὶ τȣ̃ Πατρὸς τὸ Θεὸς ὄνομα δέχȣται; καὶ ὁ θειότατος Παῦλος, ἡμῖν εἷς λέγει Θεὸς ὁ Πατήρ ἐξ ȣ̃ τὰ πάντα; καὶ πάντες διαῤῥήδην ὁμολογȣ̃μεν πιςεύειν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα; κἂν τῷ τετάρτῳ τῶν πρὸς Εὐνόμιον ὁ ȣ̓ρανοφάντωρ φησὶ „ κἂν Πνεῦμα ὁ Θεὸς ὑπὸ τȣ̃ Κυρίȣ λέγεται, τὸν Πατέρα δεδήλωκεν ὅτι ἀσώματος; Ἔπειτα, τὸ ὁ προβολεὺς ȣ̓ δηλοῖ πρόσωπον, καὶ τὸ προβάλλειν ȣ̓κ ἔςιν ὑποςατικὸν, αὐτὰ δὴ ταῦτα τὰ σὰ, πȣ̃ τῆς κανονικῆς Γραφῆς γέγραπται; πȣ̃ ὡς θέσις τέθειται πίςεως; πȣ̃ τῶν Ἀποςολικῶν συγγραμμάτων, ἢ τῶν ἐν ταῖς οἰκȣμενικαῖς Συνόδοις συνελθόντων ἁγίων; ὁ Πατὴρ διὰ τῶν Προφητῶν πρὸς ἡμᾶς πολυτρόπως ἐλάλησεν· ὁ Υἱὸς δι' ἑαυτȣ̃, καὶ τῶν Ἀποςόλων· αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον· πȣ̃ τοίνυν πρός τινος τȣ́των εἴρηται τοῖς ἀθρώποις, ὁ Πατὴρ καὶ ὁ Υἱὸς εἷς ἐςι προβολεύς; καὶ τὸ προβάλλειν ȣ̓κ ἔςι προσωπικόν; καὶ ὁ προβολεὺς ȣ̓ δηλοῖ πρόσωπον; καὶ ὅσα σὺ πρȣ̃τεινας; τῷ γὰρ Χριςῷ καὶ Σωτῆρι, καὶ τῷ συνανάρχῳ αὐτȣ̃ Πατρὶ, καὶ τῷ Πνεύματι, ὥσπερ ȣ̓κ εἴρηταί τι δέον σιγᾶσθαι, ȣ̓τως ȣ̓δὲ παρεῖταί τι δέον εἰρῆσθαι· ἀλλ' ἀμφότερα σὺν τῷ καιρῷ θεοπρεπέςατα γέγονεν· ȣ̓κȣ̃ν ἐπεὶ μὴ τὴν ἀρχὴν ἐκεῖθεν ἔχει ταῦτα, τῆς ὑμῶν δὲ διανοίας ἐςὶν ἀναπλάσματα, τῇ ἀφανείᾳ καὶ τῇ λήθῃ ἐῤῥίφθω.

ΠΡΕΣ. Τȣ̃ χάριν; ΙΩΣ. Ὅτι ȣ̓κ ἐφεῖταί τινι Πατριαρχῶν, ἢ τῷ Πάπᾳ, παρέλκόν τι δογματίζειν, ἄνευ τῆς τῶν πάντων γνώμης· μήτοιγέ σοι. Ἀλλὰ καὶ τῆς οἰκȣμενικῆς ἕκτης Συνόδȣ ὅρος ἐςὶ διαγορεύων, τὰς θείας Γραφὰς ἐκλαμβάνειν, ὡς ἐδέξαντο ταύτας οἱ θεοφόροι Πατέρες, καὶ μὴ παρ' ἑαυτῶν σοφίζεσθαι περιττὰ τȣ̀ς βȣλομένȣς τὰ τοιαῦτα διερμηνεύειν. Καὶ ὁ τὰ τοῖς ἐκκρίτοις τῶν διδασκάλων πεπονημένα εἰς ἓν συλλεξάμενος ἅγιος, ἐκ τȣ̃ Υἱȣ̃ τὸ Πνεῦμα ȣ̓ λέγομεν φησί· καὶ μόνος Υἱȣ̃ καὶ Πνεύματος αἴτιος ὁ Πατήρ· καὶ

τὸν

λῶ τὸ Πνεῦμα καὶ ἐξ αὐτῆ ἐκπορεύεσθαι. ΙΩΣ. Ἀλλ' ἄτοπον λίαν τὰ παρὰ τῶν Θεολόγων ἀπροσδιορίστως λεγόμενα, μετὰ προσδιορισμῶν αὐτονόμως σιωπαναγινώσκειν ὑμᾶς, καὶ ἀδικώτατον τοῦτο, καὶ πάντη αἰσιώπητες· ἐδὲ γὰρ τὸ πῆ, καὶ ἁπλῶς, ταυτὸν δυνάται· ἔμενεν· εἰ δ' ἦν, ῥᾴδιον καὶ πάντα μὲν ἀληθῆ προσδιορισμὲς πλάττοντας νομίζειν ψευδῆ, πᾶν δὲ μεθέλκειν ψευδὲς εἰς ἀλήθειαν· καὶ τὸ κωλύσον ἐδὲν ἔσαι, τὸν ὅτω θέλοντα λέγειν, ὁ Υἱὸς ἐκ τῆ Πατρὸς ἀχρόνως ἐ γεγένηται, ἤτοι ὥσπερ ἐξ ἀλλήλων οἱ ἄνθρωποι· ἐδὲ τῷ Πατρὶ ἐσὶν ὁμοούσιος, τετέσιν ὡς ἄνθρωπος· ἐδὲ ἐκ τῆς Παρθένε ὁπωσῦν ἐγεννήθη, ἤτοι κατὰ τλὺ Φύσιν τλὺ ἀκτίσον· καὶ ἁπλῶς τῆ τρόπε τότε κρατῆντος, καὶ πᾶν δόγμα, καὶ πᾶσαν Γραφλὺ διαγράψομεν, τὰ αὐτὰ καὶ ὡς ἀληθῆ τιμῶντες, καὶ ὡς ψευδῆ ἀτιμάζοντες· ἀλλ' ἐκ ἔσιν, ἕως τάξις ἐν τοῖς πράγμασιν ᾖ, καὶ ἡμεῖς ἐσμὲν ἐκ ἔξω νῆ καὶ Φρενῶν.

ΛΑΤΙΝ. Εἶτα τὸ τὶ ἄναντες εἶναί σοι δοκῶν ἐν τέτοις σαφλύισον. ΙΩΣ. Ὅτι ἡ Θεολογία τὰ μὲν λῳωμένως παραδίδωσι, τὰ δὲ διακεκριμένως· καὶ ἔτε τὰ λῳωμένα διαιρεῖν φησὶ θεμιτὸν, ἔτε τὰ διακεκριμένα συγχεῖν· ἦγεν ἐπίσης τολμηρὸν τὸ τὰ λῳωμένα διαιρεῖν, καὶ τὸ τὰ διακεκριμένα συγχεῖν· ὑμεῖς δὲ συγχεῖτε τὰ τῆ Πατρὸς καὶ Υἱῆ δύο πρόσωπα, μίαν λέγοντες ταῦτα πηγλὺ, μίαν αἰτίαν, μίαν ἀρχλὺ, καὶ ἕνα προβολέα καθ' ὕπαρξιν τῆ Πνεύματος· ὅτι ἐδὲ προσωπικὸν δυσὶν, ἢ τρισὶ προσώποις κατηγορεῖται. ΠΟΛ. Καὶ μάλα. ΙΩΣ. Ἤτι ἂν ἔχοι Θεὸς καθ' ὑπόσασιν, ὃ μὴ κυρίως ἔχει· ἢ μανίας ἂν εἴη προδήλε, τοῖς αὐτοῖς καὶ κοινωνεῖν καὶ διαφέρειν οἴεσθαι τὸν Πατέρα καὶ τὸν Υἱόν· καὶ τῆς ἴσης ἀτοπίας ἐσὶ, μόνον Υἱῆ καὶ Πνεύματος αἴτιον ὄντα θεολογέμενον τὸν Πατέρα, μόνον τῆ Υἱῆ αὐτὸν ἀξιῶν· καὶ τῆ Υἱῆ μόνον αἴτιον ὄντα, Υἱῆ καὶ Πνεύματος ἅμα αἴτιον τῶν θεολογεῖν· ἀλλὰ τὸ μὲν τοῖς ἁγίοις δοξάζεται, τὸ δ' ὑμῖν· ἐκ ἄρα μετὰ τῆ Πνεύματος συμπεραίνετε. ΛΑΤΙΝ. Σιώοιδα.

ΙΩΣ.

ἀναμεμνέν, τὰ καθ' ἡμῶν συμπεράσματα πάντα περὶ τῆς τῦ ἁγίυ Πνεύματος ἐκπορεύσεως εἴρηται.

Πάλιν, εἴπερ ἄλλο πρόσωπον ἐστὶ τὸ γεννῶν, καὶ ἄλλο τὸ προβάλλον ἐν τῇ θείᾳ Τριάδι, καθάπερ ἄλλο τὸ ἐν ταύτῃ γεννώμενον, καὶ ἄλλο τὸ προβαλλόμενον· ὁ δὲ εἷς προβολεύς, ὡς φατὲ, ἐκ ἔστι πρόσωπον ἐν ἀδιαίρετον, ἐδὲ τῷ γεννῶντι προσώπῳ ταὐτὸν, ἐδὲ τοῖς τῆς Τριάδος προσώποις συναριθμέμενος· ἀλλὰ καὶ πρόσωπα δύο διηρημένα, ἢ πρόσωπα, καὶ ἐκ δύο προσώπων ἰδίως αὐτὸς καθ' αὑτὸν συνιστάμενος· πρόδηλον, ὃ φασὶ, καὶ τυφλῷ, ὅτι ἔτε γεννῶν ἐστὶ πρόσωπον ἕτος, ἔτε γεννώμενον· ἔτε προβάλλον, ἔτε μὴν προβαλλόμενον· εἰ δὲ μηδὲν ἐστὶ τέτων, λοιπὸν ὁ παρ' ὑμῶν πιστεύομενος προβολεὺς ἐκ τῆς θείας Τριάδος ἀνὰ κράτος ἠφάνισαι.

Αὖθις, εἴπερ ἐκ ἔστι πρόσωπον ὁ εἷς Προβολεὺς καθ' αὐτὸ ὐπόστατον, ἀλλὰ τῆς Πατρικῆς καὶ Υἱικῆς ὑποστάσεως ὑποστατικὴ μία δυνάμις, ὁ μὲν Υἱὸς ἐξ ἑνὸς μόνε προσώπε γεννᾶται, τῦ Πατρὸς δηλαδή· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, ἐκ ἐκ προσώπε τινὸς, ἀλλ' ἐκ δύο προσώπων μιᾶς δυνάμεως ὑποστατικῆς ἐκπορεύεται· καὶ οἱ λέγοντες τῦτο πρόσωπον ἐκ προσώπε, ἢ ἐξ ὑποστάσεως εἶναι ὑπόστασιν, τῆς ἀληθείας διαμαρτάνεσι· κατὰ γὰρ τὰς καινὰς θεολόγες ὑμᾶς, καὶ ἐκ διαφόρων προόδων, ἀμέσε τε καὶ ἐμμέσε, ἐν πρόσωπον ἔσαι τὸ Πνεῦμα, καὶ διάφορα ἕξει πρόσωπα αἴτια.

Πρὸς δὲ, τὸ ἐν τῇ θείᾳ Τριάδι θεωρέμενον ἓν πρόσωπον ὁ Υἱὸς, τὸ αὐτὸ ἐστὶ καὶ Προβολεὺς, καὶ Υἱός; ἢ ἄλλος ἐστὶν ὁ Υἱὸς ἰδίως, καὶ ἄλλος ὁ Προβολεὺς καθ' αὑτόν; εἰ μὲν τὸ αὐτὸ ἐστὶ καὶ Προβολεὺς καὶ Υἱὸς, καὶ ὁ Προβολεὺς Υἱὸς ἔσαι, καὶ ὁ Υἱὸς Προβολεύς· εἰ δὲ ἕτερος μὲν ἐστὶν ὁ εἷς Υἱὸς τῦ Θεῦ, καὶ ἕτερος ὁ εἷς τῦ Πνεύματος Προβολεὺς, ὅτι ὁ μὲν Υἱὸς γεννᾶται πρὸς τὸν Πατρὸς, ὁ δὲ Προβολεὺς ἐ γεννᾶται παράτινος· λοιπὸν ὥσπερ ὁ εἷς Προβολεὺς ἐκ ἔστιν Υἱὸς, ἄλλος γὰρ ἐστὶ παρὰ τὸν ἕνα Υἱὸν, ἕτως ἐδὲ ὁ εἷς Υἱὸς ἐστὶ Προβολεύς.

ἄλλος

ἐπεὶ τὰ μὲν πρόσωπα τρία, δύο δὲ ἐν τοῖς δυσὶ τούτων αἱ ὑποστατικαὶ δυνάμεις, πεντὰς ἄρα προσώπων, καὶ πεντὰς δυνάμεων, ἐν τῇ Τριάδι θεωρηθήσεται· καὶ ἑνὸς ἀτόπου δοθέντος, πολλὰ τὰ ἄτοπα ἕψεται.

Ἔτι, εἰ τὸ Πνεῦμα τὸ ἅγιον, καθ' ὕπαρξιν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεται, ὁ μὲν Υἱὸς καθὸ αἰτιατὸς, καὶ ἐξ ἑνὸς μόνου προσώπου, καὶ ἐκ μιᾶς ὑποστατικῆς δυνάμεως, αἰτιατὸν ἔσται μόνος, τὸ δὲ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ δύο προσώπων, καὶ ἐκ μιᾶς ὑποστατικῆς δυνάμεως, αἰτιατὸν ἔσται μόνον· καὶ τούτων οὕτω πιστευομένων, δύο μὲν αἴτια τοῦ Υἱοῦ, τρία δὲ τοῦ Πνεύματος δοξασθήσεται· καὶ δύο προσώπων ἐν τῇ θείᾳ Τριάδι αἴτια πέντε, ἀνθ' ἑνὸς εἰσαχθήσεται. Ἀλλ' ἄτοπά σοι ταῦτα δοκεῖ; ἀλλὰ ταῦτα καὶ ἄλλα μυρία συνάγεται, ἐκ τοῦ πιστεύειν τὸν Υἱὸν καθ' ὑπόστασιν αἴτιον εἶναι τοῦ Πνεύματος· καὶ ἄλλως οὐκ ἔστι φυγεῖν τὸν τοσούτων ἀτόπων ἐσμὸν, εἰ μὴ τῷ δοξάζειν μόνον αἴτιον τὸν Πατέρα τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. ΛΑΤΙΝ. Ἔστω· τὶ δὲ ἄλλο ἡμῖν περὶ δογμάτων ἐγκαλεῖν ἔχετε; ΙΩΣ. Εἰ περὶ τὸ καίριον συμφωνήσομεν, ἔσται τὶς ἡμῖν καὶ περὶ τῶν ἄλλων ἐλπίς· τοῖς δὲ οὔπω περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως συμφρονήσασιν, εἰκαῖον ἡγοῦμαι περὶ ἑτέρων συζητεῖν. ΠΡΕΣ. Συνίημι ὃ φής· καί γε τοὺς τῆς σῆς πατρότητος λόγους ἀγάμενος ἐπαινῶ· εἰσὶ γὰρ τῷόντι ἀνδρὸς λόγοι γενναίου, καὶ φιλεῖν εἰδότος ὡς χρὴ, καὶ δυναμένου παραινεῖν ἃ συνοίσει, καὶ τὶ ἄλλο, ἢ χρηστῆς διανοίας γεννήματα; πλὴν εἰς τὴν ἐπιοῦσαν, καὶ αὖθις παραβαλοῦμεν σοι· ἀναγκαῖον γὰρ ἔμοιγε τοῦτο δοκεῖ, καὶ καλὸν, καὶ τῶν ὅτι μάλιστα λυσιτελεστάτων· καὶ, ὃ φασὶ, μέλιτος μυελὸς τὸ συνεῖναί σοι. ΙΩΣ. Τῷ Θεῷ χάρις. Ἀμήν.



ΤΟΥ

τακισχιλιοστῷ πεντακοσιοστῷ ἑβδόμῳ· ἐσαυρώθη δὲ ἔτει ἐνιαμενῷ τεσσαρακοστῷ πρὸς τῷ πεντακοσιοστῷ καὶ πεντακισχιλιοστῷ.

ΛΑΤΙΝ. Ἔσω ταῦτα ὡς γέγονε· πλὴν ἐπεὶ χίσματος ἐμνήσθης, εἰπέ μοι τὶς ἡ αἰτία τῦ χίσματος; ΙΩΣ. Ὅτι ὅπερ ὁ Κύριος σεσιώπηκεν ὑπὲρ ἑαυτῦ, ὑμεῖς προφανῶς διαγγέλλετε, καὶ προθήκλω εἰσάγετε, λὺ οἱ θεῖοι Πατέρες ἐκ ἔθεντο. ΛΑΤΙΝ. Ἀλλὰ πρὸς τὸ προθλῶμ ὃ λέγετε, ἤρκεσεν ἡ τῦ Ῥώμης ἀρχιερέως ἐξεσία. ΙΩΣ. Πρὸς τὸ λυθλῶμ μᾶλλον εἰπὲ τλὶ τῶν ἐκκλησιῶν ἕνωσιν, ἤρκεσεν ἡ τῦ πρώτε . . . . ἀλλ' ἐγὼ μὲν ἐκ ἄν ποτε περὶ αὐτῦ φθέγξαθαί τι βλάσφημον προαχθείλω· Θέλετε δὲ γνῶναι σαφέσατα, ὅτι ἡ προθήκη αὕτη, περὶ ἧς πρὸς ἀλλήλες διαφερόμεθα, ἐκ ἔσιν ἐκ τῦ Θεῦ, ἴδε δή, σώετε, κρίνατε. ΛΑΤΙΝ. Τὸ τί; ΙΩΣ. Ὅτι πᾶν τὸ ἐκ Θεῦ εἰς ἡμᾶς, ἢ δι' ἀγγέλων, ἢ δι' ἀνθρώπων γινόμενον, ἢ βλάπλει, ἀλλ' ὠφελεῖ· σωάπλει τλὶ τῦ Χριςῦ ἐκκλησίαν, ἢ διαιρεῖ· σώζει Χρισιανὲς, ἐκ ἀπόλλυσιν· αὕτη δὲ, ἴδε ἐπὶ τόσα καὶ τετρακόσια ἔτη, ἔβλαψε πάντας, ἠδένα ὠφέλησε· διέχισε τλὶ τῦ Χριςῦ Ἐκκλησίαν, ἐχὶ σωῆψε· πρὸς δὲ καὶ μυρίες ἀπόλλυσι, καὶ τοῖς δαίμοσι προδηλότατα σωεργεῖ. Ἄρατε τοίνω ταύτλω ἐκ μέσε, καὶ δίχα πάσης ἀνλλογίας, καὶ πραγμάτων ἀμφιβολίας, καὶ χρονικῶν περιόδων, καὶ φροντίδων καὶ μόχθων ἑνωθησόμεθα· τὶς χρεία λόγων μακρῶν καὶ ἀνωφελῶν;

ΛΑΤΙΝ. Ἐὰν δὲ ἀληθὴς ᾖ; ΙΩΣ. Ἔσω ἀληθὴς αὕτη, ἔσω ψεύδης, ἐπειδὴ ὁπωσδήποτε τλὶ τῦ Χριςῦ Ἐκκλησίαν χίζει, μερίζει, διίσησιν, ἐκβληθήτω ἡ τόσες ἀπολύσα. Ἔτι πολλοῖς ἀμφιβάλλεται, εἰ ἄρα μετὰ τῆς ἀληθείας ἵσαται· πλὴν ἔσω δίχα τινὸς λόγε, ἀληθεσάτη καὶ ἀναμφίβολος, ἐπεὶ τὸν τῆς πίσεως θεμέλιον διασείει, τιμάσω σιγῇ· πόσα εἰσὶν ἃ τῷ Θεῷ δόγματα σιωπώμενα; ἀλλ' ἐδεὶς χρισιανῶν ὑπόκειται τινὶ δίκῃ, ὅτι μὴ ταῦτα ἐπ' ἐκκλησίας κηρύτλει, καὶ παῤ-

ἡσίᾳ

ἐχὶ ἔθυσεν; ἃ περιέτεμε τὸν Τιμόθεον; Εἰ δὲ αὐτὸς ἔτος πάλιν ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλῆντα, ἀνέρχεται πρὸς τὲς πρὸ αὐτῆ Ἀποστόλες, καὶ κοινᾶται τούτοις τὸ Εὐαγγέλιον, μήπως εἰς κενὸν τρέχει, ἢ ἔδραμε; καίγε ὁ κορυφαῖος τῶν Ἀποστόλων Πέτρος, ἀποστέλλεται μὲν παρ' αὐτῶν εἰς Σαμάρειαν μετὰ Ἰωάννε, διορθέμενος δὲ παρὰ Παύλε ἀνέρχεται, καὶ ἐπιτιμώμενος σιωπᾷ, καὶ τοῖς σιωδικῶς παρὰ τῆ Θεαδέλφε ῥηθεῖσιν ἕπεται, κἂν πᾶσα ἡ ἐκκλησία σιωέλθη καὶ ἀποκαλυφθῆ τῷ ἐχάτῳ, οἱ πρῶτοι σιγάτωσαν ἦκσε, καὶ τῆς δεσποτικῆς φωνῆς μέμνηλαι κελεύσης „ ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι, πάντων ἔχατος, καὶ πάντων διάκονος ἔτω· καὶ εἰ δεῖλον τῶν δέλων τῆ Θεῆ ἑαυτὸν ὀνομάζει, ἔργοις τὲς λόγες πισέθω, καὶ πάντα ποιέτω πρὸς καταρτισμὸν τῶν Ἐκκλησιῶν· ἕτω γὰρ δοξαθήσεται ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα.

ΛΑΤΙΝ. Ἡμῖν μικρὸν, ἢ ἐδὲ εἶναι δοκεῖ τὸ προσιθέναι τὶ τὸν ἄκρον Ἀρχιερέα, ἐν οἷς ἂν βέληλαι. ΙΩΣ. Ἀλλ' εὖ ἴσε, ὅτι τὸ κατὰ τινὸ προθήκινο ἔγκλημα τῆτο, τῆ κατὰ τινὸ ἀφαίρεσιν τολμήματος ἐδὲ ὑστερεῖ εἰς μετάθεσιν πίσεως· ἐπεὶ ὁ εἰπὼν μὴ ἀφέλης, ἐν τούτοις τὸ μὴ προθῆσης τέτε προέταξεν. Ἀλλὰ καὶ ἀμφότερα ταῦτα τῆς τῶν παραδεδομένων μεταποιήσεως, ἢ διαφορᾶς, ἐδὲν, ἢ μικρὸν διευκύχε· προθήκη γὰρ, ἢ ἀφαίρεσις, ἢ μεταποίησις, ἢ διαφθορὰ, μὴ μόνον τὸ δέ τι δόγμα, ἢ τινὸ δέ τινα πίσιν, ἀλλὰ καὶ πᾶν πρᾶγμα, ᾧ ἐὰν ἐπιγένηται, ἀλλοιῖ καὶ μεθίσησι. Διάτοι τῆτο, αὐτοὶ μὲν ὀφείλετε τινὸ προθήκινο ταύτινο ἐκ τῆ μέσε ποιῆσαι, ὃ καὶ δίκαιον ἐσὶ, καὶ δυνατὸν, καὶ ῥᾷον, καὶ συμφέρον, καὶ ἔνδοξον· ἐπεὶ καὶ ὑμεῖς αὐτινο προσεθήκατε· καὶ ὅτι ἔτέ τις τῶν ἀρχαίων Σιωόδων, ἔτέ τις τῶν ἁγίων Πατέρων ἠπείλησεν ἀνάθεμα, ἢ καθαίρεσιν τοῖς μὴ Φρονῦσι καὶ ἐκ τῆ Υἱῆ προσωπικῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορδέεθαι· ἡμᾶς δὲ ταύτινο προσδέξαθαι, καὶ ἡ ἐπὶ τετρακόσια καὶ χίλια ἔτη παραταθεῖσα δυσέβεια,

τὸ Πνεῦμα λέγειν ἀφ' ἑαυτῆ προσωπικῶς ἐκπορεύεσθαι· ἡ δὲ πρὸς ἡμᾶς αὐτῆ δόσις ἐστὶ καὶ ἐκ τῆ Πνεύματος· καὶ τότε αἱ μαρτυρίαι προφανεῖς ἅπασιν· ἄλλο ἄρα τὸ τῆ Πνεύματος πρόσωπον, καὶ ἕτερον τὸ χάρισμα· ἄλλο δόσις τῆ Πνεύματος, καὶ ἕτερον ὕπαρξις. ΠΟΛ. Θαῦμα, πῶς τοῦτο λέληθε τὰς πολλάς! ΙΩΣ. Τὸ πολλὼ ἐμποιῆν τοῖς πολλοῖς ἐξαπάτλω ἐκεῖνο ἐστὶν, ὅτι περ λωΐκα περὶ τῆς δόσεως ταύτης, ἢ τῆ χαρίσματος, τῆ Πνεύματος ποιῆνται μνήμιω οἱ ἅγιοι, ἐπεὶ μὴ μόνον παρὰ τῆ Πατρὸς, ἀλλὰ καὶ παρὰ τῆ Υἱῆ τοῦτο δίδοθαι ἴσασι, λοιπὸν καὶ ἐκ Πατρὸς δι' Υἱῆ προϊέναι, καὶ ἐκ Πατρὸς δι' Υἱῆ χορηγεῖθαι, καὶ ἐκ Πατρὸς δι' Υἱῆ πεφιωέναι, καὶ ὅσα τοιαῦτα τιθέασιν· ὧν ἀκέοντες οἱ πολλοὶ, καὶ τούτων ἐχ ἥκιστα οἱ ζητοῦντες ἀφορμὰς, καὶ μὴ σωιέντες, ὡς ἐχὶ περὶ τῆ προσώπε τῆ Πνεύματος, ἀλλὰ περὶ τῆ χαρίσματος ταῦτα λέγεται, οὐδὲς καὶ τλὼ δόσιν ἐκπορεύσιν, καὶ τὸ χάρισμα πρόσωπον τῆ Πνεύματος οἴονται· κἀντεῦθεν τότοις τὸ δόγμα ὠχυρῶθαι δοκεῖ, καὶ οἷον ἐρανόμηκες τεῖχος, τότες ἡμῶν διϊξῶν.

ΛΑΤΙΝ. Τότοις μὲν ἀντειπεῖν ἐκ ἐφεῖται τῶν διδασκάλων αὐδοῖ· τὶ δή ποτε δὲ πάντες οἱ τῶν Λατίνων καὶ ἀρχαῖοι, καὶ νέοι διδάσκαλοι, ἐκ τῆ Πατρὸς καὶ τῆ Υἱῆ τὸ Πνεῦμα τὸ ἅγιον καὶ εἶναι καὶ προϊέναι πολυτρόπως διδάσκεσι; τοῦτο εἰ λύσεις τὸ ζήτημα, γνώσομαι ὅτι τῆς ἀληθείας πρεῖσασαι. ΙΩΣ. Πρὸς τοῦτο αὐτίκα καὶ ἀληθῆ, καὶ σωτομα, καὶ σαφῆ, καὶ ἀναγκαῖα τριτλῶς σοι ἀπολογήσομαι. Ἐπεὶ κατ' ἐμλὼ γνῶσιν ἐν τότω τῷ ῥήματι, πᾶν τὸ διεῖργον Ἰταλὲς καὶ Ῥωμαίες συμπέρασμα κρέμαται· καὶ δὴ ἄνοιξόν σε τὸ στόμα, κἀγὼ πληρώσω αὐτό. ΛΑΤΙΝ. Προσέχετε πάσῃ δυνάμει τὸν νῶν. ΙΩΣ. Ἡ τῶν Λατίνων γλῶττα, ἴδι τοῦτο Πρῶτον, διὰ στενότητα ἑαυτῆς, ἢ ἐκ οἶδ' ὅπως ἂν δύσημότερον ἐξαγγείλαιμι, τὸ τῆς οὐσίας ὄμα καὶ τὸ τῆς ὑποστάσεως ὄνομα, ἑ δυσὶ, καθάπερ ἡ Ἑλλὶς, ἀλλ' ἑνὶ

ῥτω

καζα· ἡ μὲν γὰρ πρόοδος κοινόν· ἡ τῆς θεαρχίας γὰρ πρόοδος, ὁ μέγας φησὶ Διονύσιος· καὶ Αὐγεστῖνος, ἡ τῷ θείῳ προσώπῳ ἀποσολὴ, ἀφ' ὅλης ἐσὶ τῆς Τριάδος· καὶ ὁ Κύριος πρὸ τέτων, ἐγὼ καὶ ὁ Πατὴρ ἑλδόμεθα· ἡ δὲ ἐκπόρδυσις ἴδιον· τῇ ὑποζατικῇ καὶ γὰρ ὑπάρξει τῷ Πνδύματος μόνῃ ἀφώρισαι· καὶ τὸ μὲν πρόεισι κοινῶς, ἐπὶ τῶν χαρισμάτων πάντων τῷ Πνδύματος λέγεται μάλισα, ἔσι δ' ὅτε καὶ ἐπὶ τῆς αὐτῷ ἐκπορδύσεως, καὶ ἐπὶ ἄλλων πολλῶν· τὸ δὲ ἐκ τῷ Πατρὸς ἐκπορδύεται, ἐπὶ τῆς σημαντικῆς μόνον φωνῆς τῆς τῷ Πνδύματος ἰδιότητος· ὅθεν ἐκπορδύεθαι τέτο ἐκ Πατρὸς καὶ Υἱῷ ἐν ταῖς τῶν ἱερῶν διδασκάλων χρήσεσιν δρεθλῦαι ἀδιώατον, ὅταν περὶ τῆς ὑπαρκτικῆς προόδε τῷ Πνδύματος λέγωσιν· εἰ μήπε περὶ τῆς τῶν χαρισμάτων αὐτῷ παροχῆς ἐσὶν αὐτοῖς ὁ σκοπός· προϊέναι δὲ ἐκ Πατρὸς καὶ Υἱῷ, ἤτοι κατὰ τὰς αὐτῷ ἐνεργείας ἐκχεῖθαι, πολαχῷ εὕρηται. Ταύτῃ τοι καὶ οἱ τῶν Λατίνων ἀρχαῖοι διδάσκαλοι, ἐκ τῆς Ἑλλάδος φωνῆς τὸ θείαν Γραφὴν, καὶ τὰς θείας ἡμῶν διδασκάλας, εἰς τὴν Ῥωμαίων γλῶτταν μεθερμηνδόντες, ἅτε Πατρικὴν ταύτην ςοιχοῦντες, καὶ ἄλλως εἰπεῖν ἐκ ἔχοντες, τὸ πρόεισι τὸ Πνεῦμα ταύτῃ φωνῇ, καὶ ἐπ' ἀμφοῖν ταῖν σημασίαιν ἐχρήσαντο, τῆτε δηλόσῃ τὸ ὑποζατικὸ αὐτῷ ἐκ τῷ Πατρὸς ὕπαρξιν, λέγω δὴ τὸ ἐκπόρδυσιν, τῆτε σημανόσῃ τὸ μεταδοτικὸ αὐτῷ διὰ τῷ Υἱῷ χάριν τε καὶ ἐνέργειαν· ἐχ ὡς ὃ καὶ ταυτὸν, τὰς διαφόρας προόδες τὸ χρονικὴν καὶ τὸ ἄχρονον εἶναι δοξάζοντες, ἔμενεν· ἀλλὰ μιᾷ φωνῇ τῇ τῆς γλώτης ςενότητι, ὁτὲ μὲν ταύτῃ, ὁτὲ δ' ἐκείνῃ σημαίνοντες· ὧν ἀκόντες οἱ μεταγενέςεροι, καὶ τὶ βέλεται σφίσιν ἐνίοτε τὸ πρόεισιν ἀγνοδντες, εἰς τὸ τῷ ἐκπορδύεται ἔνοιαν τὸ λέξιν μόνον εἰρῆθαι νόμισαν· κἀντεῦθεν γέγονε μάλισα τῆς παρεκτροπῆς ἡ αἰτία, μὴ σωιέντων τῶν πολλῶν, ἢ καὶ ἴσως μὴ σωιέναι θελόντων, τὸν τῶν λεγόντων σκοπὸν, καὶ διὰ τέτο τῆς ἀληθείας λελησότως ἐκλειπομένων. Ὡς εἴγε σωιδεν, ὅτι προϊέναι μὲν ἐκ Πατρὸς καὶ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται

ἀλλὰ

ἐννοίᾳ μάλλον προσέχειν, οὐχὶ μόναις ταῖς λέξεσιν. Οἱ ΠΟΛ. Ἀνήκουστά τινα ταῦτα καὶ τοῖς πολλοῖς ἄγνωστα! ΙΩΣ. Πλὴν ἀληθείας ἐχόμενα.

ΛΑΤΙΝ. Αὐτὸς δὲ ᾤμην, καὶ ἴσως ἔσται ὀψέ ποτε, ὡς ἐὰν Βασιλεὺς καὶ Πατριάρχης καὶ ἡ πόλις αὕτη ὑποκύψῃ τῷ Ῥώμης, καὶ οἱ λοιποὶ Βασιλεῖς τῶν ἐθνῶν, καὶ τὰ ὑπ' αὐτοὺς ἔθνη τούτοις συνυποκύψουσι, καὶ ἥξει αὐτίκα μεγάλη ἐξ Ἰταλίας ἐνταῦθα βοήθεια· νῦν δὲ συνορῶ. ΙΩΣ. Ὦ ποῖον σὲ ἔπος φύγεν ἕρκος ὀδόντων! τοῦτο γενέσθαι τῶν ἀμηχάνων ἐστίν· αὕτη ἐστὶν ἡ παρ' ὑμῶν τόσα ἔτη γενέσθαι μελετωμένη ἕνωσις τῶν τοσούτων Ἐκκλησιῶν καὶ Γενῶν; τούτῳ τῷ τρόπῳ ἐσκέπτεσθε δῆθεν ἡμῖν ἑνωθῆναι; ἐπὶ τοιαύταις συνθήκαις καὶ μηχαναῖς; τῆς προσθήκης ἀδιορθώτου μενούσης, καὶ πάντων ἀμετατρέπτων, ἃ τὸ μακρὸν καὶ ἐπάρατον σχίσμα προὐξένησε; τῆς θαυμαστῆς ἐπινοίας! Οὐκ ἔστιν αὕτη διόρθωσις ἄνθρωπε, οὐδ' ἕνωσις τῶν Ἐκκλησιῶν· τοῦ προτέρου δὲ σχίσματος, σχίσμα χεῖρον, καὶ διαίρεσις, καὶ κατατομὴ, καὶ ἀπάτη, καὶ ἡμῶν πρὸς ὑμᾶς προφανὴς συγκατάβασις, καὶ ὑπόπτωσις, καὶ δουλεία αἰώνιος, καὶ κατάγνωσις τῶν ἁγίων Πατέρων, καὶ οὐδὲν ὑγιές. Καὶ πᾶσα δὲ αἵρεσις ἀμεταβλήτων αὐτῇ τῶν ἐθῶν καὶ τῶν δογμάτων φυλαττομένων, καὶ ἀξιοῖ, καὶ διψᾷ, καὶ σπουδάζει ἑνωθῆναι τοῖς ἅπασιν· ἢ, ἀλλὰ τίς ἰῶ ἡ χρεία μελέτης μακρᾶς, καὶ φροντίδος, καὶ δαπάνης, καὶ γραμμάτων, καὶ Πρέσβεων, καὶ Λεγάτων, καὶ Συνόδου, καὶ τῶν τούτοις ἑπομένων κινδύνων, εἴπερ δίχα κοινῆς συζητήσεως, ὑποκύψαι ὑμῖν βουλόμεθα, ἀντὶ πάντων ἀρκοῦντος Διακόνου ἑνὸς ἐν τῷ Ἄμβωνι παῤῥησίᾳ τὸ τοῦ Ῥώμης ἐκφωνῆσαι μνημόσυνον; Μὴ δὴ νομίσῃς ὅτι ἐξουσιάζεται ἡ πίστις ἡμῶν Πατριαρχικῷ τινι ἢ Βασιλικῷ προσώπῳ, κἄντις ἰσχύσῃ τούτους μεταβαλεῖν, καὶ τοὺς λοιποὺς διὰ τούτων μεταπεῖσαι δυνήσεται· τὸ γὰρ οὕτω φρονεῖν, ἀκεραίου τηρουμένης τῆς πρὸς σέμου καὶ τιμῆς καὶ στοργῆς, ἀνδρῶν ἐστὶν οὐ σοφῶν.

Καὶ

μεῖψαι ἰσχύσωσι· τοῦτο δὲ πᾶσιν ἐπίσης ἀμήχανον· εἰ δὲ τινὶ τῶν κτισμάτων φύσιν, σοφοὶ πάντες ἂν ἰσχύσαι πεῖσαί με, ἄλλως ἔχειν νομίζειν, ἢ ὡς ταῦτα πέφυκε φύσεως, τὸν τῶν κτισμάτων ποιητὴν καὶ δεσπότην, ἰσχύσειέ τις μεταπεῖσαί με δοξάζειν ἄλλως πως ἔχειν καθ' ὕπαρξιν, ἢ ὡς αὐτὸς δι' ἑαυτοῦ, καὶ διὰ τῶν ἑαυτοῦ ἁγίων ἀγραφῶς μοι καὶ ἐγγράφως ἐξηγήσατο καὶ παρέδωκεν; ἤκουσα, ἔμαθον, ἄπαγε.

ΛΑΤΙΝ. Καὶ ποίαις χρήσεσι θεολόγων ἐντυχόντες, ἀτεράμονες ἔτως ἐστὲ καὶ ἀνένδοτοι; ΙΩΣ. Τῆς παντελοῦς Τριάδος ἀκαταίσχυντον λόγε προφορὰν χορηγήσαντός μοι, ἑτοίμως σοι μάλα πρὸς τοῦτο ἀπολογήσομαι· πλὴν ἀξιῶσε τινὶ ἀρετῖνὶ μακροθύμως καρτερῆσαι μέχρι τέλους τοῦ λόγε, καὶ μὴ συχνῶς δυσχεράνειν, τῷ ἀσυνήθει καὶ ξένῳ τῆς ἡμῶν προφορᾶς, ἐκεῖνο σοφῶς διακρίνων, τὸ καὶ πρόδηλον ἅπασιν, ὡς ἐδεὶς ἡμῶν τῶν ἐνταῦθα, οὐ τοῖς Ἰταλίας, ἢ τοῖς ἐν ταῖς Γαλλίαις, ἢ τοῖς ἐν Βρεττανίᾳ παιδοτηρίοις ἐξέμαθε καὶ γεγύμνασαι τῶν τῇδε διαλεγομένων τὰς πολυτρόφους μεθόδες, ἵνα σοι κατ' ἐκείνας ἐριστικῶς διαλέξηται· ἕκαστος δὲ ἁπλῶς ὁ πιστεύει, ἐξαγγέλλει ὡς δυνατόν. Καὶ δὴ λέγομεν, ἀτεράμονες ἔτως ἐσμὲν, καὶ ἀνένδοτοι, ὅτι οἱ Πνεύματι ἁγίῳ περὶ αὐτοῦ τοῦ ἁγίε Πνεύματος λαλήσαντες ἅγιοι, ἐκ προσδιορίσας τὸ ἐκπορευόμενον, ἴδιον εἶπον τοῦ Πνεύματος, ἀλλὰ μετὰ προσδιορισμοῦ σαφεστάτε, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἴδιον τοῦ Πνεύματος ἀπεφήναντο· καὶ μάλα εἰκότως· ἐπεὶ γὰρ τὸ μὲν γεννητὸν σημαίνει τῇ διανοίᾳ τὸν Πατέρα, τὸ δὲ ἐκπορευτὸν ἔχ ἕτω, τούτε χάριν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον ἴδιον πάντες τοῦ Πνεύματος λέγεσι, διὰ τούτε πᾶσι δεικνῦντες, ὅθεν ἔχει τὸ Πνεῦμα τινὶ ὕπαρξιν· καὶ ἐδὲ τούτῳ μόνῳ ἀρκεῖνται· ἀλλὰ νυῦ μὲν φασὶ, μόνος Υἱὸς καὶ Πνεύματος αἴτιος ὁ Πατήρ· νυῦ δὲ μόνος ἀγεννήτος, καὶ μόνος πηγὴ θεότητος ὁ Πατήρ· νυῦ δὲ, οὐ Πνεῦμα ἅγιον, τὸ ἐκπορευόμενον ἐκ μόνε τοῦ Πατρός· νυῦ δὲ, ἐκ τοῦ Πα-

τρὸς

εἰσάγων τὸν Πατέρα, τιμῶτε ἀρχιὼ τιμῷ, καὶ τὰ ἐκ τῆς ἀρχῆς ἐπίσης· τιμὼ μὲν, ὅτι τοιάτων ἀρχὴ, τὰ δὲ ὅτι ἔτω, καὶ τοιαῦτα, καὶ ἐκ τοιάτε· ὁ δὲ, κυρίως ὁ Υἱὸς ἐκ τῦ Θεῦ, καὶ τὸ Πνεῦμα ἐκ τῦ Θεῦ· ἐπειδὴ καὶ ὁ Υἱὸς παρὰ τῦ Πατρὸς ἐξῆλθε, καὶ τὸ Πνεῦμα παρὰ τῦ Πατρὸς ἐκπορδόμενον· ὁ δὲ, τὸ Πνεῦμα τὸ ἅγιον ὃ παρὰ τῦ Πατρὸς ἐκπορδόμενον ἰδίως καὶ ἀληθῶς· ὁ δὲ, εἴτις μὴ εἴποι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῦ Πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως, ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς θείας ἐσίας, καὶ Θεῦ Θεὸν λόγον, ἀνάθεμα ἔτω· ὁ δὲ, εἰς ὑπάρχεις Θεὸς ἀληθινὸς Πατὴρ, ἀληθινὸν Υἱὸν ἔχων ἐκ σῦ γεννηθέντα, ἀληθινὸν Πνεῦμα ἅγιον ἐκ σῦ ἐκπορδόμενον. Καὶ ταῦτα μὲν οἱ καθ' ἕκαστον, ἐν διαφόροις καιροῖς καὶ τόποις καὶ λόγοις εἰρήκασι καὶ παρέδωκαν, κοινῇ δὲ πάντες οἱ τῆς πρώτης Συνόδε Πατέρες, πρὸς τὸν διαπορῆντα φιλόσοφον λέγεσι, δέχε μίαν θεότητα τῦ Πατρὸς τῦ γεννήσαντος τὸν Υἱὸν ἀνεκφράστως, καὶ τῦ Υἱῦ τῦ γεγεννημένε ἐξ αὐτῦ, καὶ τῦ ἁγίε Πνδματος τῦ ἐκπορδομένε ἐξ αὐτῦ τῦ Πατρός· τοῖς προδιορισμοῖς τέτοις, καὶ ταῖς ἀναντιρρήτοις αὐτῶν ἀποφάσεσι πᾶσαν προθήκιν προανατρέποντες.

Οἱ ΠΟΛ. Ὅλως ἀκῆσαι παρὰ σῦ, ἢ παρ' ἄλλε, τοιαῦτα ἡμῶν ἐδεὶς προσεδόκησεν. ΙΩΣ. Εἶτα τέτων ἔτω λεγόντων, τολμήσομεν ἔτι συλλογισμὸς αὐτοῖς ἀντεισάγειν, καὶ ἡμᾶς αὐτὸς πείσομεν ἐκείνοις μᾶλλον προσέχειν, ἕως ἐσμὲν ἑαυτῶν; ἐ δοκῶ, εἰ μή πε τελείως ἐκξῶμεν τῶν οἰκείων φρενῶν, ἢ πόῤῥω ῥιφῶμεν τῶν τῦ Θεῦ ὀφθαλμῶν. Οἱ ΠΟΛ. Τὶ δή ποτε; ΙΩΣ. Ὅτι δύο τινῶν αἱρέσεως προκειμένης ἡμῖν, ἢ ταὶς προτάσεις τῶν ἐπεισάκτων συλλογισμῶν ἐπὶ τῶν θείων πισδσαντας ἀληθεῖς εἶναι, ψδδῆ νομίσαι ὑπάρχειν τὰ ῥητὰ τῶν ἁγίων Πατέρων, τὰ δεικνῦντα ἐκ τῦ Πατρὸς μόνε προσωπικῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορδέσθαι, ἢ ταῦτ' ἀληθῆ ἡγησαμένους ὑπάρχειν, ψδδεῖς τὰς τῶν ἐναντίων συλλογισμῶν προτάσεις ὑπολαμβάνειν, αἱρετώτερον ἡγησόμεθα

τὸ προσωπικῶς ἐκ τῆ Πατρὸς προϊὸν γέννημα εἶναι τῆ ἐξ ἧ πρόεισι βέλεται. Εἰ δὴ ταῦτα καὶ τὰ τοιαῦτα συλλογισμοῖς ἀποδειχθῆναι ἀμήχανον, τῳόντι καὶ οἱ συλλογισμοὶ τῶν ἀνθρώπων δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ τέτων ἐπίνοιαι· καὶ εἰκότως ἡμεῖς τὸ ἡμέτερον δόγμα συλλογισμοῖς ἐ πιςεύομεν.

Ὁ ΠΡΕΣ. Ἀλλὰ τοῖς τὸ ἡμῶν σωιζῶσι συμπέρασμα λόγοις ἐκ ἰσχύοντες ἀντιλέγειν σιὼ λόγῳ, τῶν ἁγίων τὰς χρήσεις προφέρετε. ΙΩΣ. Καὶ τί τῆτο; σοὶ μὲν πᾶσα ἀνάγκη ἀποδέχεσθαι ταύτας, γνώμιν ἔσας τῆς ἐκκλησίας κοινήν· ἐμοὶ δὲ ἐκ ἀνάγκη τὰς προτάσεις ἐπιλύειν τὰς σάς· πλὴν ἵνα μὴ δόξω ἐξ ἀμαθίας σιγᾶν, ἢ ποσῶς ὑπεκφεύγειν σε τὰς τῶν λόγων προφάς, ἐγγυτέρω μοι πρόσιθι, καὶ εἴσοιτις ἔνεσι δυνάμις λόγε, πᾶσαν δεῦρο ἐπίδειξαι. Ὁ ΠΡΕΣ. Θέλγητρα τοῖς ὠσίμε οἱ λόγοι σε. ΙΩΣ. Σὺ διὰ πάσης καὶ πρώτης δοκήσης τῆτο σωάγειν, καὶ δευτέρας προτάσεως, ἁδὲ ἄλλο συμπεραίνειν φαντάζῃ, ἢ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, ἕτω καὶ ἐκ τῆ Υἱῆ τινὸς ὕπαρξιν ἔχει, καθάπερ ἐξ αὐτῆ τῆ Πατρός· ἐπεὶ τοίνυν ἡ σὴ πᾶσα ῥοπὴ καὶ ὁ σκοπὸς καὶ ὁ νῆς πρὸς τῆτ' ἀφορᾷ, φέρε λοιπὸν τὸ ἐκ τῆς σῆς προτάσεως ταύτης σωαγόμενον τῆτο συμπέρασμα, προδηλότατα καὶ σαφέσατα ἐ μετὰ τῆς ἀληθείας ἴσαθαι ἀπελέγξωμεν· εἰ δὲ ἐκ ἀληθὲς τῆτο δείξαιμεν εἶναι, συναποδείξομεν πάντως, καὶ ὅτι αἱ δοκῆσαι τῆτο σωάγειν προτάσεις ἐκ ἀληθεῖς ἅπασαι· καὶ ὅτι ἀληθὲς τὸ παρ' ἡμῶν πιςεύομενον. Εἰ γὰρ πᾶν δένδρον ἐκ τῷ καρπῷ γνωρίζεται, ὡς φησὶν ἡ ἀλήθεια, εἰ ἄρα σύκον ὁ καρπὸς, συκῆ πάντως τὸ δένδρον τὸ τῆτο προσενεγκόν· εἰ δὲ μὴ σύκον ἀλλὰ τρίβολος, ἐκ ἂν εἴη κατ' ἐδένα τρόπον ἡ τέτε ῥίζα συκῆ· συκῆ γὰρ σύκα, ἐχὶ τριβόλες φέρει· καὶ εἰ τὸ σύμπέρασμα ψεῦδες, ἐκ ἂν αἱ προτάσεις ἀμφότεραι ἀληθεῖς εἶεν ἐξ ὧν τῆτο σωάγεται, ἀλλ' ἢ τινὶ ἑτέραν, ἢ ἀμφοτέρας ἀνάγκη μετὰ τῆ ψεύδες ἴσαθαι· ψεῦδος γὰρ ψεῦδος γεννᾷ, ἐκ ἀλήθειαν· καὶ ἀλήθειαν,

ἐχὶ

Προβολεύς, καὶ Προβολεὺς ἐστὶ καὶ Πατὴρ καὶ Υἱὸς, καὶ γεννηθήσεται ἄρα ὁ αὐτὸς καὶ εἷς Προβολεὺς, καὶ γεννήσει, καὶ ἐκπορεύσει· καὶ τρία πρόσωπα ἔτος ἔσαι, καὶ εἷ· εἰ δὲ ἄλλος ἐστὶν ὁ εἷς Πατὴρ, καὶ ἄλλος ὁ εἷς Υἱὸς, καὶ ἄλλος ὁ εἷς Προβολεύς, ἔτε ὁ εἷς Υἱὸς λοιπὸν, ἔτε ὁ εἷς Πατὴρ ἐκπορεύει τὸ Πνεῦμα καθ' ὕπαρξιν, ἀλλὰ μόνος ἐκεῖνος ὁ εἷς Προβολεύς, ὁ ἄλλος παρὰ τὸν ἕνα Πατέρα, καὶ τὸν ἕνα Υἱόν· καὶ τέτε κειμένε, ἔτε ἐκ τῦ Πατρὸς, ἔτε ἐκ τῦ Υἱῦ, ἔτε ἐξ ἀμφοῖν προσωπικῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται· εἰ δὲ ὁ ἐν τέτοις μόνος Πατὴρ, καὶ μόνος ἐστὶ Πατὴρ, καὶ μόνος ἐστὶ Προβολεύς, τὸ συμπέρασμα πρόδηλον. Ὁ ΠΡΕΣ. Ἐπίμενον καὶ ὄψει.

ΙΩΣ. Αὖθις ὁ Πατὴρ ἀφ' ἑαυτῦ μόνε γεννᾷ τὸν Υἱὸν, καὶ προβάλλει τὸ Πνεῦμα; ἢ καὶ παρ' ἄλλε τὸ γεννᾶν τὸν Υἱὸν, καὶ τὸ προβάλλειν τὸ Πνεῦμα πλετεῖ; ἢ τλὺ μὲν τῦ Υἱῦ γόνησιν ἀφ' ἑαυτῦ ἔχει μόνε, τλὺ δὲ τῦ Πνεύματος ἐκπόρευσιν καὶ ἐξ αὐτῦ, καὶ ἐξ ἄλλε; Ὁ ΠΡΕΣ. Ἀφ' ἑαυτῦ μόνε προσωπικῶς καὶ ἀμφοτέρας τὰς τῶν ἐξ αὐτῦ ταύτας προόδες πλετεῖ. ΙΩΣ. Οὐκοῦν τὸ παρ' ἡμῶν ζητέμενον συμπέρασμα πεπεράτωται, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνε τῦ Πατρὸς ἐκπορεύεται· εἰ δὲ καὶ παρ' ἑαυτῦ καὶ παρ' ἄλλε τὸ γεννᾶν τὸν Υἱὸν, καὶ τὸ προβάλλειν τὸ Πνεῦμα πλετεῖ, καὶ τῦ Υἱῦ ἄρα δύο Πατέρες, καὶ τῦ Πνεύματος δύο οἱ Προβολεῖς, ὅ, τε Πατὴρ αὐτὸς, καὶ ὁ τῦ Πατρὸς σωταίτιος πρὸς τὰ ἐξ αὐτῦ προϊόντα προσωπικῶς. Ὁ ΠΡΕΣ. Ἀλλὰ τλὺ μὲν τῦ Υἱῦ γόνησιν ὁ Πατὴρ ἐξ αὐτῦ ἔχει μόνον, τλὺ δὲ τῦ Πνεύματος ἐκπόρευσιν, καὶ ἀφ' ἑαυτῦ κέκτηται, καὶ ἐξ ἄλλε. ΙΩΣ. Λοιπὸν ἔτω τέτε πιςεύομέν, ἐπεὶ ὁ Υἱὸς καὶ τῦθ' ὅπερ ἐστὶ καὶ πιςεύεται τὸ εἶναι Υἱὸς, καὶ τὸ καθ' ὑμᾶς Προβολεὺς εἶναι τῦ Πνεύματος, ἐκ τῦ Πατρὸς ἔχει μόνον, φανερὸν ὅτι ὁ Πατὴρ μόνος ἐστὶ καὶ ἰδίως καὶ ἀρχοειδῶς καὶ κυρίως, τῦτε Υἱῦ ἅμα καὶ τῦ ἁγίε Πνεύματος αἴτιος· ὅτι καὶ ἀφ'

ὄνομα ἡ Τριὰς ἡμῖν τετραὰς ἀναφαίνεται· εἰ δὲ δύο πρόσωπα διακεκριμένα ὁ εἷς ἐστὶ Προβολεύς, καθὼς δοκεῖ καὶ Θωμᾷ, ταῦτα δὲ ὁ Πατὴρ ἐστὶ καὶ ὁ Υἱὸς ἅμα· ἐπεὶπερ δύο τὰ πρόσωπα, δύο ἄρα τὰ τῦ Πνεύματος αἴτια· εἰ δὲ μήτε σὺ ἐστὶ πρόσωπον ὁ εἷς Προβολεύς, μήτε δύο, ἀλλὰ διώαμις μία κοινὴ Πατρὸς καὶ Υἱῦ· αὕτη δὲ ἔτε ὐσία ἐστὶν, ἔτε μορφὴ, ἔτε φύσις, ἔτε χαρακτὴρ, ἔτε ἄτομον, ἔτε ὑπόσασις, ἔτε πρόσωπον· λοιπὸν ἔτε ὁ Πατὴρ, ἔτε ὁ Υἱὸς ἐκπορεύει τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἡ κοινὴ τέτων διώαμις. Ἔτι, εἴπερ ἐκ μόνε τῦ Πατρὸς, καθὸ Πατρὸς, τὸ Πνεῦμα τὸ ἅγιον καθ' ὑπόσασιν ἐκπορεύεται, ἵνα μὴ καὶ Υἱὸς τῦ Πατρὸς, καὶ ἀδελφὸς τῦ Υἱῦ νομίζηται πρός τινος, ἔτε ἐκ μόνε τῦ Υἱῦ, ἵνα μὴ καὶ ἔγγονος τῦ Πατρὸς καὶ τῦ Υἱῦ Υἱὸς ὑποπλοῦηται, ἀλλ' ἐκ μόνε τῦ ἑαυτῦ Προβολέως, καθὸ Προβολέως, ἵνα πρόβλημα μόνον δοξάζηται· ὁ δὲ εἷς Προβολεὺς, ἄλλος τὶς ἐστὶ παρὰ τὸν σὺν Πατέρα, καὶ ἕτερός τις παρὰ τὸν σὺν Υἱὸν, ὅτι διώαμις ἔτος ἐστὶ καθ' ὑμᾶς ἐχ ὑπόσασις· τὸ Πνεῦμα τὸ ἅγιον ἄρα προσωπικῶς ἀδοπωσῦν ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ ἐκπορεύεται. Ἔτι, τὸ ἐν τῇ θείᾳ Τριάδι πισθόμενον σὺ πρόσωπον ὁ Υἱὸς, τὸ αὐτὸ ἐστὶ καὶ Προβολεὺς καὶ Υἱὸς; ἢ ἄλλος ἐστὶν ὁ Υἱὸς ἰδίως, καὶ ἄλλος ὁ Προβολεὺς καθ' αὑτόν; Ὁ ΠΡΕΣ. Τὸ αὐτὸ ἐστὶ καὶ ὁ Προβολεὺς καὶ ὁ Υἱός. ΙΩΣ. Πρόχες τὶ λέγεις· ὅρα τὶ φῄς· μέγαν ὠλίθησας ὄλιθον· εἰ γὰρ ἐκ ἄλλος ἐστὶν ὁ Υἱὸς ἰδίως, καὶ ἄλλος ὁ Προβολεὺς καθ' αὑτὸν, ἔσι δὲ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καθ' ὑμᾶς εἷς Προβολεὺς, ἐχὶ δύο· ἄρα ὁ σὺ τῇ θείᾳ Τριάδι μόνος Υἱὸς, καὶ Προβολεὺς ἐστὶ καὶ Πατὴρ καὶ Υἱός· καὶ ὁ μόνος Προβολεὺς, καὶ Υἱὸς ἐστὶ καὶ Πατὴρ καὶ Προβολεύς· καὶ ὁ μόνος Πατὴρ, καὶ Προβολεὺς ἐστὶ καὶ Υἱὸς καὶ Πατήρ. Ὁ ΠΡΕΣ. Περὶ τέτων ἴσως τῇ σιωόδῳ μελήσει διακρίναι σαφέσερον, εἴπερ τάχιον σιωελθεῖν ταύτῃ ὁ τῶν ὅλων εὐδοκοίη Θεός.

ΙΩΣ. Καὶ μὴν εἴπερ ὁ μὲν Υἱὸς τῦ Θεῦ Υἱὸς μόνον ἐστὶν, ἐχὶ καὶ Πατήρ· ὁ δὲ τῦ Πνεύματος Προβολεὺς, καθ

σὺ μόνον ἔχει τῆς ἰδίας προόδε τὸ αἴτιον, ἔτω πάσαις ἀνάγκαις, τὸ διαφόρως ἐκ δυοῖν προσωπικῶς προϊὸν δύο ἔχει τὰ αἴτια· καὶ ὃν τρόπον ὁ Υἱὸς τῷ Θεῷ, εἰ ἐκ τῷ Πατρὸς γεννηθήσεται καὶ τῷ Πνεύματος, ἐξ ἅπαντος τρόπε δύο ἕξει Πατέρας, ἔτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰ ἐκ τῷ Πατρὸς καὶ τῷ Υἱῷ ἐκπορεύηται, κατὰ πᾶσαν ἀνάγκιν δύο ἕξει προβάλλοντας· καὶ ὃν τρόπον εἰ δύο ἦσιν ἐν τῇ θείᾳ Τριάδι Πατέρες, δύο εἰσὶν ἐν ταύτῃ Θεοὶ, τὸν ἴσον τρόπον, εἰ δύο ἦσιν ἐν ταύτῃ προβάλλοντες, καὶ δύο ἀρχαὶ, καὶ δύο Θεοί. Ἔτι ἐπεὶ, ὃν ὑμεῖς λέγετε Προβολέα τῷ Πνεύματος, ἐκ ἔστι πρόσωπον σὺ τῆς ἁγίας Τριάδος, ἔτε τινὶ τῶν ταύτης προσώπων ἔτος ταὐτὸν, ἔτε συμπεριείληπται ὅλως, ἔτε σιωαριθμεῖται ταύτῃ προσωπικῶς, μόνοις δὲ δυσὶ προσώποις προσεῖναι ψιλαῖς ἐπινοίαις παρ' ὑμῶν ἀναπλάττεται· λοιπὸν σὺ τοῖς θείοις προσώποις ὠδεν ἐστὶ Προβολεὺς τῷ Πνεύματος καθ' ὑπόστασιν.

ΠΡΕΣ. Ἀλλὰ ταῦτα πάντα εἴπετο ἂν κατὰ σὲ, εἴπερ τῷ τῷ Προβολέως προσώπῳ, τὰ τῷ Πατρὸς καὶ τῷ Υἱῷ μὴ σωήρχετο πρόσωπα· ἐπεὶ δὲ ὁ τὸν Προβολέα εἰπὼν, τὸν Πατέρα ἀθὺς καὶ τὸν Υἱὸν σιωνόμασεν· ὁ γὰρ Πατὴρ καὶ ὁ Υἱὸς ὁ εἷς ἐστὶ Προβολεὺς, καὶ τὸ προβαλλόμενον δὲ Πνεῦμα τέτοις συμπεριείληπται, ἅπερ τὶω θείαν Τριάδα εἰσάγει, ἁπλήθιωτον καθ' αὑτὶω καὶ ἀμείωτον, πρόδηλον ὅτι ἐκφεύγει σε τὰς τῶν λόγων λαβὰς ὁ καθ' ἡμᾶς Προβολεὺς, καὶ λαθών σε τοῖς θείοις προσώποις ἐστὶ σιωαρίθμιος. ΙΩΣ. Πότερον; ὅτι ὁ Προβολεὺς ἐτοσὶ, ὥσπερ τὸ ὅλον ἐστὶ Προβολεὺς, ἔτω καὶ τὸ ὅλον ἐστὶ Πατὴρ, καὶ τὸ ὅλον Υἱός; ἢ ὅτι ἕκαστον τῶν θείων προσώπων, κἂν τοῖς λοιποῖς σιωεισέρχηται, ἀμιγῆ πάντη πρὸς τα λοιπὰ τηρεῖ τὶω ἑαυτῷ ἰδιότητα; εἰ μὲν τὸ πρῶτον, καὶ ἄμφω τὰ τῷ Πατρὸς καὶ τῷ Υἱῷ πρόσωπα Προβολεῖς, καὶ ἄμφω Πατέρες, καὶ ἄμφω Υἱοί· εἰ δὲ τὸ δεύτερον, τὰ πολυύμνητα πρόσωπα τῆς Τριάδος τρία ὄντα, ἃ πλείω, τηρεμένης ἑκάτω τῆς ἰδιότητος ἀμιγῶς, σιωαρίθμιον ἄλλο πρόσωπον ὁπωσῶν ἃ

περι-

σώπων ἰδίως καὶ καθ' αὐτὸ, δύναμις ὀνομάζεται· ὁ μέν τοι τῆ θείᾳ Πνεύματος Προβολῆς, ἐδάμη ταύτης εὕρηται προβλητικὴ λεγόμενος δύναμις· καθάπερ ἄρα ἐδ' ὁ Πατὴρ γεννητικὴ δύναμις εἴρηται· τὸ δὲ παρὰ πάσης τῆς Θεοπνεύστε Γραφῆς σιωπώμενον, ὡς μὴ ὂν σεσιώπηται· ὅτι τῶν τῷ Πατρὶ ἀνθεωρεμένων διττῶν ὄντων, τῶν μὲν προσωπικῶν καὶ ἰδίων, τῶν δὲ φυσικῶν καὶ κοινῶν, τὸ προβάλλειν τὸ Πνεῦμα ἐ τῶν φυσικῶν καὶ κοινῶν, προσωπικὸν ἄρα καὶ ἴδιον· πλὴν κἂν τοῦτο δοίημεν ὅλως, πλὴ μὲν γεννητικὴ δύναμιν τῆ Πατρὸς, αἰτίαν εἶναι τῆ Υἱῆ, πλὴ δὲ προβλητικὴ δύναμιν Πατρὸς καὶ Υἱῆ, αἰτίαν εἶναι τῆ Πνεύματος, ἔτε ὁ Πατὴρ ἀμέσως, ἀλλὰ διὰ τῆς γεννητικῆς δυνάμεως αἴτιος ἦται τῆ Υἱῆ, ἔτε ὁ Προβολῆς προσεχῶς, ἀλλὰ διὰ τῆς προβλητικῆς δυνάμεως αἴτιος ἦται τῆ Πνεύματος· καὶ ὁ μὲν Υἱὸς, Υἱὸς δι' οὗ μέσε μόνος, τὸ δὲ Πνεῦμα διὰ δύο μέσων, τοῦτε Υἱῆ λέγω, καὶ τῆς προβλητικῆς δυνάμεως, ἐκ τῆ Πατρὸς προελεύσεται.

Ἔτι, ὁ μὲν Πατὴρ μόνος ἰδίως ἐς ἐσὶν αἴτιος τῆ Υἱῆ, ὁ δὲ Πατὴρ καὶ ὁ Υἱὸς οἱ δύο ἅμα, ἐς αἴτιος εἶναι τῆ Πνεύματος δοκῆσιν ὑμῖν· ἄλλος αἴτιος ὁ ἐς Πατὴρ καθ' αὐτὸν, ὅτι μόνος, καὶ ὅτι τῆ Υἱῆ· καὶ ἄλλος αἴτιος ὁ Πατὴρ καὶ ὁ Υἱὸς οἱ δύο ἅμα, ὅτι ἐ μόνος ἑκάτερος, καὶ ὅτι τῆ Πνεύματος· εἰσὶ δὲ παρὰ τέτες τὲς δύο αἰτίες ἐν τοῖς θείοις προσώποις, καὶ δύο αἰτιατοὶ διαφόρως· ἐς αἰτιατὸς ἰδίως ἐκ μόνε τῆ Πατρὸς ὁ Υἱὸς, καὶ ἐς αἰτιατὸς παρ' αὐτὸν ἐκ Πατρὸς καὶ Υἱῆ, ὁ ἄλλος Παράκλητος· ἔσι δ' ἐπὶ τέτοις, ἄλλη ἡ γεννητικὴ δύναμις τῆ Πατρὸς, τῆς τῆ Υἱῆ γεννήσεως αἰτία ἔσα μόνον, καὶ ἄλλη ἡ προβλητικὴ δύναμις Πατρὸς καὶ Υἱῆ, αἰτία ἔσα ἰδίως τῆς τῆ ἁγίε Πνεύματος ἐκπορεύσεως· εἰσὶ δὲ παρὰ τὰς δύο δυνάμεις ταύτας, καὶ δύο αἰτιαταὶ ἰδιότητες, ἡ τῆ Υἱῆ γέννησις, καὶ ἡ τῆ Παρακλήτε ἐκπόρευσις· καὶ τέτων ἕτω κειμένων ἐπὶ τῆς θείας Τριάδος δύο οἱ αἴτιοι, καὶ δύο οἱ αἰτιατοί· δύο δυνάμεις αἰτίαι, καὶ δύο ἐκ τέ-

των

Τριὰς ἄρα προβολέων, καὶ τετρὰς αἰτίων, καὶ τετρὰς αἰτιατῶν ἐν τοῖς θείοις προσώποις εἰσάγεται.

Ὁ ΠΡΕΣ. Ἵλεος ἔσομαι Κύριε! ΙΩΣ. Ὡς ἀτοπά σοι ταῦτα δοκεῖ, καὶ δύσφημα, καὶ ἀνήκεστα; σύνοιδα· ἀλλὰ ταῦτα καὶ ἄλλα μυρία σωτάγεται ἐκ τῆ πιστεύειν καὶ τὸν Υἱὸν αἴτιον εἶναι τῆ Πνεύματος, καὶ ἄλλως ἐκ ἔστι φυγεῖν τὸν τοσούτων ἀτόπων ἔσμὸν, εἰ μὴ τῷ δοξάζειν, μόνον αἴτιον τὸν Πατέρα τῆ Υἱῆ καὶ τῆ Πνεύματος. Ὁ ΠΡΕΣ. Ἐμοὶ δοκεῖν ἔπεισιν, ἐκ ἂν ἐξ ἑνὸς ῥητῆ τοσαῦτα φύεσθαι ἄτοπα, εἰ μὴ ἄτοπον λέγω, τὸ αἴτιον τῶν τοσούτων ἀτόπων συμπέρασμα. ΙΩΣ. Σύμφημι· νοεῖς γὰρ ὀρθῶς. Καὶ ταῦτα μὲν εἴρηταί μοι, ὅσον οἷόν τε κατ' ἐπιτομήν· ἂν δ' ὁ Θεὸς ἐπιτρέπῃ, καὶ σωέλθῃ ἡ Σιώδος, εἰρήσεταί μοι πρὸς ταύτῃ, καὶ πολλὰ καὶ σεμνὰ καὶ καλά. Σὺ γὲν, ἢ λύσον ὡς χρὴ τὰς ῥηθείσας σοι ταύτας προτάσεις, ἢ τὸ δόγμα κατάθες, ἢ τινὶ ἤπλαν ἐνδυσάμενος ἄπιθι. Ἀλλ' ὁ παντὶ τῷ κόσμῳ τινὶ εἰρηνίῳ βραβεύων Θεὸς, αὐτὸς καὶ ἡμᾶς οἷς τρόποις οἶδας εἰρηνεύσον. Ἀμήν.

φῶς, τοὺς τῶν τεκτόνων ἀρίστους ἀπομιμούμενοι· οἱ ἐπειδὰν ἐξήκοι τοῦ καθήκοντος λόγου τὸ ἐν χερσὶ, μεταῤῥυθμίζουσιν ἐντέχνως, ἐπὶ τὸ ὡς ἄριστα ἔχειν δοκοῦν.

Πρῶτον μὲν οὖν ἐκεῖνο ἔχειν δεῖ προειλημμένον ἐν ταῖς διανοίαις ἡμᾶς, τῶν δεῦρο ῥηθησομένων τὰ καίρια περὶ τῆς ἑνώσεως, τηρεῖσθαι παρ' ἡμῖν ὡς μυστήρια. Δεύτερον δὲ μετὰ τοῦτο, προμελετᾶσθαι χρεὼν παρ' ἡμῶν, ἵν' ἐν τῷ καιρῷ τῆς συνελεύσεως ἡμῶν τε κἀκείνων, μὴ ὁ μὲν, τῷ δε πρόσκειται, ὁ δὲ, τῷ δε· καὶ μάλιστα ἐν ταῖς τῶν λόγων γενησομέναις τηνικαῦτα ἀμίλλαις· καὶ τὸν μὲν τῶν ἡμετέρων ἐπαίρειν μέγα, τὸν δὲ βάλλειν σκώμμασι· ταῦτα καὶ γὰρ αὐτὰ καθ' αὑτὰ μόνα, καὶ μηδενὸς ὄντος σχίσματος, ἀποσχίσαι τοὺς πάντας ἀλλήλων ἀρκεῖ· ἀλλ' ἵνα πάντες ἀδιαίρετοι ὦμεν πρὸς πᾶν ἐπιὸν, ἓν οἱονεὶ πνεῦμα, καὶ ἓν φρόνημα, καὶ σκοπὸς πάντων εἷς· κἂν ἐν ἤθει, ἢ λόγῳ, ἢ ἔν τινι προσπταίσῃτις ἐξ ἡμῶν, ἢ καὶ εἰκῇ διαβάλληται πρός τινος, οἱ ὁμόφρονες πάντες, παρόντες τε καὶ ἀπόντες ὡσαύτως, πᾶσι τρόποις ἐπιστηρίζειν καὶ διορθοῦν, καὶ ἐξ ἑτοίμου λυτροῦσθαι αὐτὸν τῆς διαβολῆς. Καὶ ταῦτα μὲν παρ' ἡμῖν μελετώμενα ἔσται ἀπ' ἄρτι, ὡς ἂν τηνικαῦτα, ἡνίκα δεήσῃ, σὺν λόγῳ γινόμενα, ὁμονοεῖν ἐπὶ καλῷ πείσῃ πολλοὺς ἐξ ἡμῶν, ἢ τοὺς ἅπαντας.

Ἐκεῖνο δὲ πράγμασιν αὐτοῖς παρασκευάσαι χρεὼν, λέγω δὲ ὡς ἐπὶ Θεοῦ· ἐπεὶ ἐκεῖθεν τοποτηρητὴς τοῦ Ῥώμης καὶ τῶν Ἐκκλησίων μεσίτης ἀπεστάλη, ὡς λέγεται, ἕνα λοιπὸν καὶ ἡμᾶς τῆς ἑνώσεως ταύτης μεσίτην συστήσασθαι, εἴτε Μοναχὸν, εἴσε τῶν γυναιξὶ συνοικούντων, αὐτοὶ ἂν εἰδείητε, καὶ γράμμασι Πατριαρχικοῖς τε καὶ Βασιλείοις τοσαύτῃ καὶ τοῦτον ὀχυρῶσαι δυνάμει, ὅσῃ κἀκεῖνος ὠχύρωται, καὶ πᾶσι τοῖς οἰκοῦσιν ἐνταῦθα Ῥωμαίοις ἐπιτάξαι, τοῦτον οὕτω περιθάλπειν καὶ συνιστᾶν, καθάπερ τὸν ἐκεῖθεν ἐρχόμενον οἱ περὶ αὐτόν. Καὶ γὰρ οἶμαι δεινότατον εἶναι λίαν καὶ ἔκτοπον, τὸν μὲν, καὶ πλουσιώτατον ἅμα, καὶ Καρδινάλιον εἶναι, καὶ ἐξουσίαν

ἔχειν

τὴν ξενίαν οἱ ἐρχόμενοι λήψονται, καὶ τὰ παρ' ἑκατέρου τοῦ μέρους, ῥηθησόμενα φιλαλήθως, καθ' ἑκάστην συνέλευσιν, σημειώσεται μέλανι, πρὸς τὸ, σὺν λόγῳ ἀληθείας, καὶ Θεοῦ φόβῳ, παρ' ὑμῶν κατ' ἰδίαν γυμνάζεσθαι, καὶ μετὰ τὸ καλῶς αὐτὰ γυμνασθῆναι, ἐν ἰδίῳ Κώδικι τίθεσθαι.

Εἰ δέτισιν ἴσως ἡ μεταχείρησις αὕτη δυσμεταχείριστος ἄλλως δοκεῖ, εἰσὶ πολλαὶ μέθοδοι καλλίους ταύτης πολλῷ, ἐξ ὧν μάλιστα δύο ἀμείνους καὶ αὐτὸς συνορῶ· ἐρῶ δὲ ἀμφοτέρας εὐθύς· μίαν μὲν, ἵν' ἐν καιρῷ τεταγμένῳ, ἐκείνων οἱ κρείττους ἐρχόμενοι δεῦρο, παῤῥησίᾳ, ἢ ἐν σεκρέτῳ, μεθ' ἡμῶν διαλέξεις μετ' εἰρήνης ποιῶνται· λέγω δὲ κατὰ τάξιν καὶ τῶν πεύσεων, καὶ τῶν ἀπαντήσεων γινομένων, καὶ κατὰ τὴν τῶν προσώπων ὑπεροχὴν, ὡς εἰώθατε, μετὰ κόσμου προβαίνειν τὰ προτεινόμενα. Δευτέραν δὲ, ταύτης πᾶσιν ἀνωτέραν (*), ἵνα κεφαλαιώδεσιν ἐπιτομαῖς, τὰ περὶ τοῦ δόγματος ζητήματα, ἡμεῖς δεῦρο κατ' ἰδίαν κοινῇ συνηγμένοι, μετὰ πολλῆς καὶ ἠκριβωμένης συνδιασκέψεως γράφωμεν, ὅσον οἷον συνοπτικώτερον καὶ σαφέστερον, καὶ μετὰ τὸ ἕκαστον τούτων ἐν τῇ θέσει τεθεῖναι, καθὼς δεδοκίμασται, τὸ τοῦ γραφέντος ἴσον πρὸς αὐτοὺς ἀποστέλλειν εὐθὺς, καὶ τὰ παρ' ἐκείνων ἀντιγραφόμενα κατ' αὐτοῦ, συνετῶς ἐφεξῆς σημειοῦσθαι, καὶ σὺν λόγῳ γενναίῳ αὐτοὺς ἀντιπαρατάττεσθαι, καὶ οὕτω μέχρι τέλους ποιεῖν· ὃ δὴ καὶ πρὸ ἐνιαυτῶν πέντε, ἐν τῇ Κωνσταντίᾳ τῆς Γερμανίας, τὰ τῶν Λατίνων ἑπτὰ Γένη πρὸς ἄλληλα πεποιήκασιν. Οὕτω γὰρ ἐν καιρῷ, αἵτε συνελεύσεις γενήσονται, καὶ αἱ προτάσεις ῥηθήσονται, καὶ τῶν γενησομένων τὰ πλείω ἀνέκφορα ἔσται τοῖς πολλοῖς, καὶ ὡς μυστήρια θεῖα μετ' εὐλαβείας πάντα, καὶ τῆς προσηκούσης ἑκάστῳ τάξεως τελεσθῆναι· οὐ γὰρ πᾶς ὁ βουλόμενος τηνικαῦτα, ὅσα θελήσει ἀναίδην ἐρεῖ· πολλοῦ γε καὶ δεῖ· τοῦτο καὶ γὰρ ἀταξίας καὶ ἔριδος καὶ διαμάχης

(*) Ἴσ. ἀνυσιμωτέραν.

Λέγω δὲ γνώμην αὐτὸς, ὁ τἀκείνων, μάλιστα πάντων, καὶ ἤθη καὶ ἔθη ἀκριβέστερον ἐπιστάμενος, ἵνα πρὸς τὰς ἐκείνων ἐξῃρημένας προτάσεις ἀναντιῤῥήτους ἀπολογίας προμελετῶντες, εἰς τὰς μετ' αὐτῶν Συνελεύσεις ἕτοιμοι εὑρεθῶμεν συνήγοροι τῆς ἀληθείας.

Οἷον φέρ' εἰπεῖν ἐπὶ παραδείγματος, εἰ προτείνοιτότις τῶν ἐξ ἡμῶν πρὸς αὐτοὺς αὐτομολησάντων μυρία τινὰ καθ' ἡμῶν, οὕτω θαῤῥούντως εἰπεῖν πρὸς αὐτόν. Ἔοικας, ὦ οὗτος, ἐν ἀληθείᾳ, οὐ ζήλῳ θείῳ ταύτην ποιεῖσθαι τὴν ἔνστασιν, ἀλλ' ἐκδικεῖν δοκεῖν, ὅπερ ἔφθης ἑλόμενος, ὡς ἂν οὕτω γε τοὺς ἐπὶ τῇ μεταθέσει διαφεύγειν (*) ἐλέγχους, καὶ τὴν τῶν μεθ' ὧν τέταξαι μᾶλλον εὔνοιαν ἐπισπᾶσθαι, τῇ πρὸς ἡμᾶς περιφανεστάτῃ δυσμενείᾳ, καὶ ταῖς καθ' ἡμέραν ἀντιπτώσεσιν αὐτοῖς χαριζόμενος· ὅνπερ ἄρα τρόπον καὶ ἐκ τῆς τῶν Χριστωνύμων μοίρας, οἱ πρὸς τὰ τῶν Ἀγαρηνῶν μεταβάλλοντες, ἀκήρυκτόν τινα καὶ ἄσπονδον καθ' ἡμῶν τὴν μανίαν ἐνδείκνυνται, καὶ τὰ τῆς ἡμετέρας εὐσεβείας ἀχαλίνῳ γλώσσῃ κερτομοῦσι καὶ διασύρουσι, καὶ μηδὲν ἐντεῦθεν, ὅτι μὴ, τὸ οἷς προσῄεσαν εὔνουν πραγματευόμενοι. Εἰ δὲ καὶ τὸν ὑπὲρ τοῦ Θεοῦ προβάλλῃ ζῆλον, εἰσὶν ἕτεροι χείρους ἡμῶν τὴν κακοδοξίαν, Ἰουδαῖοι, καὶ Ἰσμαηλῖται, καὶ Πυρσολάτραι· ἐν τούτοις οὖν τὰ τοῦ ζήλου δειχθήτωσοι· νῦν δ' ἐκείνων ἀνεχόμενος τὰ ἀθεώτατα βλασφημούντων, καθ' ἡμῶν πνέεις μόνον; εἰ γὰρ ἀληθῶς ὁ ὑπὲρ Χριστοῦ σε ζῆλος εἰς τοῦτο κινεῖ, ἐκείνοις ἔδει χαλεπαίνειν, ἐκείνοις ἀντιφέρεσθαι, κατ' ἐκείνων ὁρμᾷν, οὐμὴν καθ' ἡμῶν, οἳ τὴν αὐτὴν Τριάδα σοι, καὶ τὸν αὐτὸν Χριστὸν καθομολογοῦμεν. Εἴπερ οἰκίαν ἑώρας ἐξ αὐτῶν κρηπίδων σεσαθρωμένην, ἆρα ἀφεὶς τὰ καιριώτατα θεραπεύειν, τὰ μικρὰ τῶν τοίχων ῥήγματα ἂν ἠσφαλίζου; οὐκ ἔγωγε οἶμαι. Εἰ δὲ καὶ ὑπὸ Βασιλεῖ τεταγμένος ᾖς, καὶ τοὺς μὲν ἑώρας ἐχθροὺς αὐτοῦ προφανεῖς τελοῦντας καὶ ὑβριστὰς, τοὺς δὲ οἰκείους μὲν, μικρὸν δέ τι προσκρούσαντας, ἆρ' ἂν τοὺς προφανεῖς ἐάσας ἐχθροὺς, τοὺς οἰκέτας ἠμύνω; Τάχ' ἂν

ἀλλ'

νοητὸν ῥαγδαίως συῤῥήγνυσαι, καὶ μαζὸς ἀτιμάζεις τὸς θρέψαντας· δέον, εἰ καὶ ἐπιληψίμως αὖτισιν εἶχε τὰ κατ' αὐτλὶ, ἀποκρύπλειν πειρᾶσθαι τὸ αἶσχος ἁπάσῃ σπεδῇ· ἐδὲ γὰρ τλὶ πατρικλὶ ἐπιτωθάσας γύμνωσιν Χὰμ, τλὶ ἀξίαν δίκλω διέδρα. Εἰ γάρ σοι δι' ἔζωρον ἡλικίαν ἡ Μήτης, ἀμβλυτέραν ἔχε τλὶ αἴθησιν, καί τι τᾶ καθήκοντος διημάρτανεν, ἐμυκτήρισας ἄν; ἀλλ' ἐκ ἂν ὑπαίτιος ἦς καὶ Θεῷ καὶ ἀνθρώποις τᾶτό γε δρῶν; παντίπα σαφές. Ἢ ἀγνοεῖς, ὅσα μὲν τῷ ἀοράτῳ Πατρὶ, τὸ γονεῖς τιμᾶν ἠξίωται λόγα; οἷα δὲ δίκη τοῖς πατραλοίαις ἐξήρτηται; πολλῷ ἦν μᾶλλον τλὶ πνδυματικῶς ὠδινήσασαν, καὶ μαζῷ τῶν θείων λόγων ἐκθρέψασαν, καὶ εἰς τόδεσε ἡλικίας προαγαγᾶσαν ἔδει τιμᾶν, καὶ εἰ σωίδάς τι τῶν ὑπαιτίων αὐτῇ· οἶδα γὰρ καὶ τῶν παίδων, τοῖς τᾶ Νῶε τλὶ γύμνωσιν συγκαλύψασιν, οἷα χάρις ἀντεμετρήθη παρὰ τᾶ Φύσαντος. Ἀλλὰ χάρις τῷ ὑπὲρ ταύτης τὸ ἴδιον αἷμα ἐκχέαντι, ὅτι ἐ μόνον αὕτη ἐν ἐδενὶ ἐπιλήψιμος, ἀλλ' ὅτι μόνη ὀρθὴ καὶ ἀληθὴς καὶ ἐξαίρετος.

Εἰ δὲ καὶ ὅλως τῆς τῶν Ἰταλῶν ἐξήρτησαι δόξης, καὶ τὸ ἀσφαλὲς αὐτῇ μηδὲν ὅλως ἐπιδοιάζων χαρίζῃ, τί μὴ ἀγαπᾷς αὐτὸς ταύτῃ προσκείμενος, δι' ὄχλε δὲ γίνῃ τοῖς ὁμοφύλοις, κοινωνὸς καὶ αὐτὸς ἔχειν τῆς μεταθέσεως; Ἐγὼ δὲ ἐκ οἶμάι σε λανθάνειν λόγιον ὄνλα, πότεροι ἆρα ἡμῶν τε κἀκείνων, κατὰ σκοπὸν τῆς ἀληθείας βάλλεσι; καὶ τίνες πόῤῥω τῆς νύσσης θέσσιν; ἀλλὰ τὸ φιλόνεικον αὐτὸ, καὶ ἡ ἔνστασις, τό, τε ἀγέρωχον καὶ ἰταμὸν, καὶ τὸ μὴ ἀνέχεσθαι μὴ δ' ἀξιᾶν σε ἡτλημένον φανλῶαι, ἐκ ἐᾷ σε μετὰ τῶν ὀρθοτομέντων τλὶ ἀλήθειαν ἵσαθαι, ἐπεμβαίνειν δὲ πείθει ἡμῖν ἀφειδῶς, καὶ λέγειν ἀποσόργες εἶναι καὶ ἀποφράδας ἡμᾶς, ἐπειδὴ τῷ Ῥώμης ὑπείκειν ἐκ ἀνεχόμεθα· σημεῖον δὲ τάτε ἡ παντὸς τᾶ Ἔθνες δυσημερία καὶ δυσπραγία· πλλὶ, σὺν Θεῷ δὲ εἰρήσθω, πρὸς ταῦτά σοι ἀπαντήσομεν.

Εἰ

γίαν παραδηλοῖ, ἐπισήσαντι τὸν νῶν καὶ εἶδεν ἔσαν τοῦτο δῆλον αφόδρα, ὡς οὐδὲς ταύτῃ ἐπάγεται ἐκφαντορικῆ Πνεύματος, ἢ χορηγέμενον, ἢ πεφιυὸς, ἢ ἐκπεμφθεν, ἢ ἀποστελλόμενον, ἢ ἐνέργεια, ἢ δωρεὰ, ἢ προϊὸν, ἢ ἐκλάμπον, ἢ προχεόμενον, ἢ διδόμενον· ἢ πάντως οὐά τινα τῶν τοιούτων προσδιορισμῶν, ἢ προηγεῖθαι, ἢ ἐπιφέρεθαι δεῖ τῇ ΔΙΑ· ὅπε δ' ἂν κέηται, ἀπολύτως δὲ κειμένῳ ταύτῳ εὑρεῖν πανιώτατον· δηλόσης διὰ πάντων σαφῶς, ὡς ὲ περὶ τῆς ἀναιτίε ὑπάρξεως καὶ προόδε, ἀλλὰ περὶ τῆς ὡς ἡμᾶς καὶ μεταδοτικῆς ὁ τῆ λόγε σκοπός. Καὶ ἵνα μηδεὶς ἔχῃ λέγειν, ὡς Ῥωμαῖοι Πατέρες ἐδόξαζον ἄλλως περὶ τῆς ΔΙΑ ταύτης προθέσεως, ἐπὶ τῆ Πνεύματος λεγομένης, ὑπὲρ πάντων ἐκείνων ἀπολογέμενος ὁ ἅγιος, λέγει, Μάξιμος „ καὶ τῆ μὲν πρώτῃ συμφώνες παρήγαγον χρήσεις Ῥωμαίων Πατέρων, καὶ Κυρίλλε Ἀλεξανδρείας, ἐξ ὧν ἐκ αἰτίαν ποιῆντας τὸν Υἱὸν τῆς τῆ ἁγίε Πνεύματος ἐκπορεύσεως, σφᾶς αὐτὲς ἀπέδειξαν· μίαν γὰρ ἴσασι τῆ Υἱῆ καὶ τῆ Πνεύματος τὸν Πατέρα αἰτίαν· τῆ μὲν κατὰ τὸ γεννήσιν, τῆ δὲ κατὰ τὸ ἐκπόρευσιν· ἀλλ' ἵνα τὸ δι' αὐτῆ προϊέναι δηλώσωσι, καὶ ταύτῃ τὸ σωαφὲς τῆς ἐσίας, καὶ ἀπαραλλακτον παραστήσωσιν. Ὅταν δὲ λέγῃ πατέρων Ῥωμαίων πάντως, Ἱλάριον, Ἀμβρόσιον, Αὐγεστῖνον, Ἱερώνυμον, Δάμασον, καὶ πάντας τὲς κατ' ἐκεῖνο καιρῆ λάμψαντας ἁγίες ἐν Ἰταλίᾳ φησίν. Ἀλλὰ καὶ Ἀθανάσιος, καὶ Βασίλειος, καὶ ὁ θεολόγος Γρηγόριος, οἱ πρόκριτοι τῶν καθ' ἡμᾶς θεολόγων, πάσας χεδὸν τὰς τῆ Υἱῆ προσηγορίας ἀπαριθμησάμενοι, εἴπερ ἐπίσδον, ἢ δι' Υἱῆ, ἢ ἐξ Υἱῆ, τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεθαι καθ' ὑπόστασιν, ἐκ ἂν πασῶν τῶν ἄλλων αὐτῆ προσηγοριῶν ταύτῃ πρῆθηκαν, προβολέα τῆ Πνεύματος ὀνομάσαντες;

Εἰ δὲ τῳ ΕΚ τῇ ΔΙΑ πιςδσομεν ταυτοδυναμεῖν, ὡσαύτως ἐπὶ τῶν θείων προσώπων, καθὼς ἐπὶ τῶν κτισμάτων, ἐκ ἐκ τῆ Πατρὸς μόνον τὸ Πνεῦμα ἐρῆμεν, ἀλλὰ

τὸ δὲ, τὸ ἐκ Πατρὸς μὲν τλιὺ τῆς ἑαυτῆ ὑποςάσεως ἔχειν αἰτίαν, πλιὺ ὲ προσεχῶς ὲὸ ἀμέσως, διὰ δὲ τῆ Υἱῆ μεσιτεύοντος. Πῶς τοίνιω τὸ δεύτερον τετωνὶ τῶν τριῶν ὁμολογῆντες πιςεύειν αὐτοὶ, ὥσπερ ἄρα τὸ πρῶτον ἡμεῖς, τὸ τρίτον ἡμῖν εἰσηγῆνται δοξάζειν, ὅπερ ἄλλοτι καὶ ἐςὶ καὶ δηλοῖ, ἢ τὸ πρῶτον; καὶ ἄλλο πάλιν, καὶ ἐχ ὅπερ τὸ δεύτερον;

Ἀλλὰ τὶς ἡ πρὸς ταῦτα τέτων ἀντίθεσις; εἰ ἐκ τῆς τῆ Πατρὸς φασὶ καὶ τῆς τῆ Υἱῆ ὲσίας τὸ Πνεῦμα ἐπίσης ἐςὶν, ἐπίσης πάντως καὶ ἐξ ἀμφοῖν ἐκπορεύεται. Οὐκῆν ἐπεὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ τῆς τῆ Πατρὸς καὶ τῆ Υἱῆ ὲσίας ἐςὶ, διὰ τῆτο καὶ ἐκ τῆ Πατρὸς καὶ τῆ Υἱῆ προσωπικῶς ἐκπορεύεται, ἢ ὡς ἐκ δύο τῆτο προσώπων ἐκπορευόμενον ἔσαι, ἢ πάντως ὡς ἐξ ἑνός· ἀλλ' εἰ μὲν ὡς ἐκ δύο, τὸ ἄτοπον πρόδηλον· καὶ δεῖ ὲδενὸς ἔτι, ὅτι δύο τινὰ ὰ τῇ θεία Τριάδι, καθὸ δύο ἑνός ἐςιν αἰτία· εἰ δὲ ὡς ἐξ ἑνός, ἐπεὶ τὸ προβαλλόμενον πρόσωπον, ὲ μορφὴ, ἐκ ὲσία, ὲ φύσις, καὶ ὁ τέτε προβολεύς, πρόσωπον ἔσαι πάντως· εἰ δὲ μὴ πρόσωπον ἐςὶν ὁ προβάλλων, τὸ δὲ προβαλλόμενον πρόσωπον μόνον, λοιπὸν ἐν τοῖς θείοις προσώποις, ἔσαι τὶ πρόσωπον ἐκ προσώπε αἰτιατὸν ὁ Υἱός· καὶ ἔςι τὶ πρόσωπον ὲκ ἐκ προσώπε αἰτιατὸν τὸ Πνεῦμα τὸ ἅγιον· ὅτι ὁ μὲν Πατὴρ πρόσωπον, ὁ δὲ προβολεὺς ὲχὶ πρόσωπον· καὶ οἱ ὁμολογῆντες τὸ Πνεῦμα ἐκ τῆ Πατρὼς προσώπε προσωπικῶς ἐκπορεύεσθαι τῆς ἀληθείας διαμαρτάνεσι.

Πάλιν· ἐκ τῆς τῆ Πατρὸς μὲν ὑποςάσεως εἶναι τὸ Πνεῦμα καὶ ἐκπορεύεσθαι, τῶν θεολόγων λεγόντων ἔςιν ἀκέειν· ἐκ δὲ τῆς τῆ Υἱῆ ὑποςάσεως, ὲδεὶς τέτων ῥητῶς ἐκδέδωκεν· ἔπεται τοίνιω καλὰ τὰς κοινὰς θεολόγες ἐκ τῆς τῆ Υἱῆ μὲν φύσεως μόνον ἔχειν τὸ Πνεῦμα τλιὺ ὕπαρξιν, ἐκ δὲ τῆ Πατρὸς, ἔκτε τῆς ὲσίας αὐτῆ καὶ τῆς ὑποςάσεως· ὡς τῆ μὲν ἄρτι ἐξευρημένε καὶ νεωςὶ, τῆ δὲ πάλαι κηρυτομένε καὶ ἐξ ἀρχῆς· εἰ δὲ καὶ

Ἔτι, εἰ τὸ Πνεῦμα τὸ ἅγιον ὡς ἐξ ἑνὸς αἰτίᾳ τῆς οὐσίας τῷ Πατρὸς καὶ τῷ Υἱῷ ἐκπορεύοιτο, διότι ταυτόν ἐστιν ἐπὶ τῆς πανταιτίᾳ Τριάδος οὐσία καὶ ὑπόστασις, τὸ Πνεῦμα τὸ ἅγιον ἄρα, ὥσπερ κατ' οὐσίαν ταυτόν ἐστὶ Πατρὶ καὶ Υἱῷ, ἕτω καθ' ὑπόστασιν ἔσται τούτοις ταυτόν· καὶ λοιπὸν ἔσαι τὸ ταυτὸν ἐκ ταυτοῦ· ἀλλ' ἐξ ἑτέρᾳ μὲν ἕτερον εἶναι, τοῖς ἅπασιν ὁμολόγηται, ἐκ ταυτοῦ δὲ ταυτὸν προσωπικῶς προϊέναι, καὶ ἀνήκεσον ἅμα καὶ ἄπιστον.

Ἔτι, ἐπεὶ ἐν τοῖς θείοις ταυτὸν ἐστὶ κατά τινας οὐσία καὶ ὑπόστασις, τὸ δὲ τῷ Πνεύματος πρόσωπον ἐκ τῷ Πατρὸς καὶ τῷ Υἱῷ ἐκπορεύεται, ἄλλᾳ ὄντος τῷ Πατρὸς, καὶ ἄλλᾳ πάλιν τῷ Υἱῷ· τὸ Πνεῦμα τὸ ἅγιον ἄρα ἐκ δύο ταυτῶν τινὶ ὕπαρξιν κέκτηται.

Ἔτι, εἰ ἐκ τῆς τῷ Πατρὸς καὶ Υἱῷ οὐσίας ὡς ἀφ' ἑνὸς αἰτίᾳ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύοιτο, ὅτι ἐν τοῖς θείοις ταυτὸν ἐστὶν ἥτε οὐσία καὶ τὸ πρόσωπον, ἐ μόνον ὁ Πατὴρ καὶ ὁ Υἱὸς οὐ ἔσαι ταυτὸν, ἀλλὰ καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα πάλιν ἄλλο ταυτό· καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἕτερον αὖθις ταυτόν· εἰ δὲ τὸ δεύτερον τέτων, καὶ τὸ τρίτον αἱρετικὰ, καὶ πάλιν ἑξῆ ὁ Σαβέλλιος· καὶ τὸ πρῶτον πάντως αἱρετικόν.

Ἔτι, εἰ τὸ Πνεῦμα τὸ ἅγιον ὡς ἐξ ἑνὸς αἰτίᾳ τῷ Πατρὸς καὶ τῷ Υἱῷ τῆς οὐσίας ἐκπορεύοιτο, ὅτι ταυτὸν ἐστὶν ἐπὶ Πατρὸς καὶ Υἱῷ καὶ Πνεύματος ἁγίᾳ, οὐσία καὶ πρόσωπον, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἄρα καὶ τῇ Πατρότητι, καὶ τῇ Υἱότητι, καὶ τῇ ἐκπορεύσει, καὶ πᾶσιν ἔσαι ταυτά.

Ἔτι, εἰ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῷ Πατρὸς καὶ τῷ Υἱῷ ἐκπορεύεται, ὅτι ταυτὸν ἐστὶν οὐ τῇ Τριάδι οὐσία καὶ πρόσωπον, ἔσι δὲ τρία τὰ πρόσωπα ταύτης, καὶ μία ἡ οὐσία, τρία ἄρα οὐταύτῃ ταυτά, καὶ τρία ἔσονται ἕτερα· ἐπεὶ οὐδὲν τῶν θείων προσώπων καθὸ οὐ ἑαυτῷ ταυτόν ἐστιν, ἢ ἑαυτῷ ἕτερον· ἀλλ' ἢ τινὶ ταυτὸν, ἢ τινὸς πάντως ἕτερον· καὶ ἁπλῶς πᾶσα ταυτότης καὶ ἑτερότης

γία κεκοσμημένος, ἡ μὲν ἐσία κοινόντι φησὶν ἔσα, καθ' " ὃ ἂν λέγηται, καὶ ἀπερίγραπτον, καὶ μήποτε καθ' ὁτιῶν " ἑνὶ προσώπῳ περιγραφομένη, ἐκ ἄν ποτε αἰτία ὑποσά- " σεως φαίνοιτο. Σιωφδὰ τᾶτοις καὶ ὁ ἱερὸς Αὐγεξῖνος ἐν τῷ πρώτῳ τῶν περὶ Τριάδος, περὶ τῆς θείας ἐσίας τοιάδε φησίν· ἐδὲν γεννᾷ ἑαυτὸ, ἀλλ' εἰ ἡ ἐσία ἐγέννα ἐσίαν, " ἐκ ἂν ἐγέννα εἰ μὴ ἑαυτλιὸ, διὰ τὸ μηδὲν εἶναι ἐν τῷ Θεῷ, " τῆς θείας κεχωρισμένον ἐσίας. Θωμᾶς δὲ τῇ ῥήσει ταύ- " τῃ χρώμενος συμπέρασμα ἐπάγει τοιόνδε· ἐκ ἄρα ἡ " ἐσία ἐσίαν γεννᾷ. Καὶ πάλιν ἀπὸ τᾶ αὐτᾶ Βιβλίε, ἐν " οἷς περὶ θείων Ὀνομάτων διαλέγεται, φησὶν, ἡ θεία φύσις " ἐν τῷ Υἱῷ ἐ γεννᾶται, ἔτε καθ' αὑτὸ, ἔτε κατὰ συμ- " βεβηκός. Καὶ Οὕγων δὲ ὁ Ἐθεριανὸς, αὐτὴ μὲν ἡ ἐσία " φησὶν, ἔτε προβάλλει ἔτε προβάλλεται, ἔτε γεννᾷ ἔτε " γεννᾶται· τὰ γὰρ φυσικῶς τῇ ἐσίᾳ προσόντα τῇ θείᾳ, " παντὶ προσώπῳ ἕπεται· ὥσε εἰ γεννητικὴ λῶ ἡ ἐσία, " καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἐγέννησαν ἄν· ὧν ἐδὲν ἀλη- " θείας σιώεγγυς ἐσί· πρόδηλόν γε ἔν, ὅτι ἐ καθὸ ἐσία " ὁ Πατὴρ γεννᾷ, ἀλλὰ καθὸ Πατήρ.

Πρὸς ταῦτα ἔποιμι ἂν καὶ αὐτὸς, εἰ προβλητικὴ λῶ ἡ ἐσία, καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα προέβαλλον ἄν· ἐπεὶ δὲ αὕτη ἔτε προβάλλει, ἔτε προβάλλεται, πρόδηλον ὅτι ἔθ' ὁ Υἱὸς ἔτε τὸ Πνεῦμα τὸ προβάλλειν ἐχήκασι· καὶ ἐ καθὸ ἐσία, ἀλλὰ καθὸ Προβολεὺς ὁ Πατὴρ προβάλλει τὸ Πνεῦμα τὸ ἅγιον· καὶ τὸ Πνεῦμα ἐ καθὸ ἐσία, ἀλλὰ καθὸ πρόβλημα ἐξ αὐτᾶ τᾶ Πατρὸς ἐκπορεύεται.

Ἀλλὰ τὶς ἡ πρὸς ταῦτα τέτων ἀντίθεσις; τί δήποτε πάντες οἱ τῶν Λατίνων, καὶ ἀρχαῖοι, καὶ νέοι διδάσκαλοι, ἐκ τᾶ Πατρὸς καὶ τᾶ Υἱᾶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ εἶναι καὶ προϊέναι πολυτρόπως διδάσκεσι; πρὸς λῶ αὐτὸς αὐτίκα, ἐπεὶ κατ' ἐμλιὸ γνῶσιν, ἐν ταύτῃ πᾶν τὸ διεῖργον Ἰταλὲς καὶ Ῥωμαίες συμπέρασμα κρέμαται, καὶ ἀληθῆ καὶ ἀναγκαῖα ἐρῶ. Ἀλλά μοι πάση δυνάμει προσεκτέον τὸν νᾶν· ὅτι διὰ σκότητα γλώττης παρὰ

τοῖς

χάριν καὶ ἐνέργειαν, ἐχ ὡς οὐ καὶ ταυτὸν τὰς διαφόρες προόδες, τιὼ χρονικιὼ καὶ τιὼ ἄχρονον δοξάζοντες, ἔμενεν· ἀλλὰ μιᾷ Φωνῇ τῇ τῆς γλώττης ςενότητι, ὁτὲ μὲν ταύτιω, ὁτὲ δὲ ἐκείνιω σημαίνοντες· ἧς ἄρα ἀκέοντες οἱ μεταγενέςεροι, καὶ τὶ βέλεται σφίσιν ἐνίοτε τὸ πρόεισιν ἀγνοῦντες, εἰς τιὼ τῦ ἐκπορεύεται ἔννοιαν τιὼ λέξιν μόνον εἰρῆθαι ἐνόμισαν· καντεῦθεν γέγονε μάλιςα τῆς παρεκτροπῆς ἡ αἰτία, μὴ σιωπώντων τῶν πολλῶν, ἢ καὶ ἴσως μὴ σιωπᾶναι θελόντων, τὸν τῶν λεγόντων σκοπὸν, καὶ διὰ τῦτο τῆς ἀληθείας ἐκτρεπομένων· ὡς ἔγε σιωπᾶν, ὅτι προϊέναι μὲν ἐκ Πατρὸς καὶ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγεται, ἀλλὰ κατὰ τὰς ὑπερφυεῖς αὐτῦ δωρεὰς, ἐκέτι δὲ ἐκ Πατρὸς καὶ Υἱῦ ἐκπορεύεθαι, ἤτοι τιὼ τῆς ὑποςάσεως αὐτῦ ὕπαρξιν ἐχηκόα, ἐκ ἂν τοσαύτιω ἔχε χώραν τὸ χίσμα τῶν τοσάτων Ἐκκλησιῶν· νυῖ δὲ ταύταις ταῖς λέξεσιν ἡ παρεκτροπὴ πᾶσα τιὼ ἀρχιὼ ἔλαβε, καὶ εἰσέτι κινδυνόει διὰ τέτων παντὶ τῷ αἰῶνι τέτῳ παρεκτανθῆναι.

Πάλιν ἡ σημασία καὶ τῆς πρόεισι καὶ τῆς ἐκπορεύεται λέξεως, τὸ ἐξέρχεται σημαίνειν δοκῦσα κἀνταῦθα, τοῖς μὴ μετ' ἐμπειρίας ἀκέσι, πολλιὼ ἀπάτιω πρὸς ὄλιθον ἐμποιεῖ· δοκῦσι γὰρ αὐτίκα ἐξελθόσίν τινα χρονικιὼ καὶ τοπικιὼ τῆς τῦ ἁγίε Πνεύματος ὑποςάσεως, ἀπότινος προσώπε ἐπίτι πρᾶγμα, ἢ τόπον, ἢ πρόσωπον· τὸ δ' ἐ τοιῦτον ἐςίν· ἡμῖν γὰρ εὐσεβῶς, τὸ μὲν ἐκ τῦ Πατρὸς ἐκπορεύεται λεγόμενον ἐπὶ τῦ Πνεύματος, ἀντὶ τῦ ὑφέςηκεν ἐκ τῦ Πατρὸς μόνον καὶ ἐςὶ καὶ νομίζεται· διὸ καὶ μετὰ προσδιορισμῦ τῦτο λέγεται, καὶ ἐκ ἀπότινος ἔςτι κίνησιν αὐτῦ δηλοῖ καὶ προέλθσιν, ἀλλὰ καθ' ὕπαρξιν καὶ μονιμότητα· τὸ δὲ πρόεισιν, ἀντὶ τῦ προχεῖται ἡ τῶν αὐτῦ χαρισμάτων δαψίλεια πρὸς ἡμᾶς, καὶ ἐκ Πατρὸς καὶ Υἱῦ, καὶ ἐκ Πατρὸς δι' Υἱῦ· καὶ ὃν τρόπον ἐκ τῦ Πατρὸς γεννᾶθαι λέγομεν τὸν Υἱὸν, ἤτοι ἀδιαςάτως καὶ ἀϊδίως ὑφίσαθαι ἐν αὐτῷ τῷ Πατρί· ἐκ ἐν χρόνῳ, ἐκ ἐν τόπῳ, ἐ διάτι, ἀλλὰ καθ' αὐτὸν

τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς Φύσεως ἐστὶ Πατρὸς καὶ Υἱοῦ· καὶ ἐκ τῆς ἀσίας ἄρα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ὅσα τούτοις ὅμοια· ὅτε δὲ περὶ τῆς αὐτοῦ ὑποστάσεως γράφουσιν, ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα ἐ λέγομεν· καὶ ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα, ἀλλ' ἐχὶ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἔχει τινὰ ὕπαρξιν, καὶ ὅσα τούτοις ἐφάμιλλα· ὥστε οἱ αὐτοὶ Θεολόγοι, καὶ λέγοντες ἐκ τοῦ Πατρὸς μόνου τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, δηλαδὴ προσωπικῶς ὑφεστάναι, τινὰ ἀλήθειαν καταγγέλλουσι· καὶ πάλιν, τιθέμενοι τοῦτο ἐκ Πατρὸς καὶ Υἱοῦ ἐσιωδῶς ἐχηκέναι τὸ εἶναι, τελεώτατα ἀληθεύουσι· καὶ ἵνα πρὸς τὸ προκείμενον ἐπανέλθωμεν, διὰ τὰς ῥηθείσας ταύτας αἰτίας, καὶ οἱ πάλαι καὶ οἱ νέοι τῶν Λατίνων Διδάσκαλοι ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον καὶ εἶναι καὶ προϊέναι πολυτρόπως διδάσκουσιν· ὧν χρὴ τῇ ἐννοίᾳ μᾶλλον προσέχειν, ἐχὶ μόναις ταῖς λέξεσιν· ὅπερ ἔδει ἀπολογήσασθαι. Καὶ ταῦτα μὲν ἔστω εἰρήσθω μοι.

Πλὴν ἐπεὶ τέτε χάριν τοσαῦτα περὶ τοῦ ἁγίου Πνεύματος λέγομεν, ἵνα ἐ μόνον νοῦ ὀρθοδόξως πιστεύωμεν, ἀλλ' ὡς ἂν καὶ διὰ τῆς ἐργασίας τῶν σωτηρίων ἔργων αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἡμῖν ἐνοικίσωμεν αὐτοῖς, περὶ τῆς προόδε τοῦ Πνεύματος λοιπὸν ἀφέμενοι λέγειν, περὶ τῆς ἐν ἡμῖν οἰκήσεως βραχέα φιλοσοφήσωμεν. Φησὶ τοίνυν ὁ ἐν ἀσκηταῖς περιβόητος Μάρκος περὶ ταύτης ὧδε „ χρὴ πρῶτον ἐν τῇ καρδίᾳ ἐνεργεῖσαν ἔχειν τινὰ χάριν τοῦ παναγίου Πνεύματος, καὶ ἔτω κατὰ τινὰ ἀναλογίαν εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Τοῦτο φανεροποιῶν ὁ Κύριος ἔλεγεν, „ ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι. Τοῦτο καὶ ὁ Ἀπόστολος δηλῶν ἔγραφε, δοκιμάζετε ἑαυτοὺς εἰ ἐστὲ ἐν τῇ πίστει· ἢ οὐκ ἐπιγινώσκετε, ὅτι Χριστὸς Ἰησοῦς οἰκεῖ ἐν ἡμῖν; εἰ μήτι ἄρα ἀδόκιμοι ἐστέ.

Ὁ δὲ ἐξ Αἰγύπτου μέγας Μακάριος ἔτω τίθησιν· ὁ Κύριος παραγενόμενος εἰς τοὺς οἴκους τῶν ψυχῶν ἡμῶν,

λέγει θέωσιν, τὴν κατ' εἶδος ἀνυπόστατον ἔλλαμψιν, ἥτις ἐκ ἔχει γένησιν, ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν.

Λέγει καὶ ὁ Νυσσαέων Γρηγόριος· ὁ μὲν τῶν πιστῶν γίνεται Θεοῦ τόπος, ὁ δὲ οἶκος, ἄλλος δὲ θρόνος, καὶ ἕτερος ὑποπόδιον· ἔστι δέ τις καὶ ἅρμα γινόμενος, ἢ ἵππος εὐπειθὴς, δεχόμενος ἐφ' ἑαυτῷ τὸν ἀγαθὸν ἐπιβάτην, καὶ πρὸς τὸ δοκοῦν τῷ ἡνιόχῳ διανύων τὸν δρόμον· γίνεταί τις καὶ φορεῖον αὐτῷ ὁ κατὰ τὴν ἐκείνου σοφίαν, ὁ μόνον τοῖς ἐκ τοῦ λιβάνου κατασκευαζόμενος ξύλοις, ἀλλὰ καὶ χρυσῷ καὶ ἀργύρῳ, καὶ πορφύρᾳ καὶ λίθοις καταπρεπῶς ἐν ἑκάστῳ μέρει καλλωπιζόμενος, δι' ὧν ἡ ἀγάπη αὐτοῦ ἐνεργὸς γίνεται, ὁ πάντων χωρούντων τὴν τῆς ἀγάπης ἐνέργειαν, ἀλλ' εἴτις θυγάτηρ τῆς ἄνω Ἱερουσαλὴμ τῆς ἐλευθέρας γνωρίζοιτο.

Καὶ ὁ τῆς Ἀλεξάνδρου δὲ Κύριλλος, τὸ καλύπτεσθαι φησὶ τῇ νεφέλῃ τὴν ἀρχαίαν σκηνὴν, ἐχ ἕτερον εἶναι δηλοῦν, ἢ τὸ πεπληῶσθαι τῆς δόξης Χριστοῦ, τὴν ἀληθεστέραν σκηνὴν, τουτέστι τὴν ἐκκλησίαν· πεπλήρωκε τοίνυν τὴν ἐκκλησίαν ὁ Χριστός· καὶ τοῖς μὲν ἀμαθίᾳ καὶ πλάνῃ, καθάπερ ἐν νυκτὶ καὶ σκότῳ διατρίβουσι, πυρὸς ἀναλάμπει δίκην, τὸν νοητὸν δηλαδὴ φωτισμὸν ἐνιεὶς· τοῖς γεμὴν ἤδη πεφωτισμένοις, καὶ ἡμέραν ἔχουσιν ἐν καρδίαις τὴν νοητὴν, τὴν παρ' ἑαυτοῦ δωρεάν τε καὶ σκέπην δωρούμενος, καὶ δρόσοις αὐτοὺς καταπιαίνων Πνεύματικαῖς, τουτέστι ταῖς ἄνωθεν διὰ τοῦ Πνεύματος παρακλήσεσιν, ἀναπαύει.

Τούτοις συνάδων καὶ ὁ τὴν γλῶτταν χρυσοῦς ἀποφαίνεται „τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου· ποῖον λέγει φῶς; καὶ τί ποτε τοῦτ' ἔστι τὸ φῶς; ὁ τοῦτο τὸ αἰσθητὸν, ἀλλ' ἕτερον πολλῷ βέλτιον, ὃ τὸν οὐρανὸν δείκνυσι, τοὺς Ἀγγέλους, τοὺς Ἀρχαγγέλους, τὰ Χερουβὶμ, τὰ Σεραφὶμ, τὰς Ἀρχὰς, τὰς Ἐξουσίας, τοὺς Θρόνους, τὰς Κυριότητας, τὸ στρατόπεδον ἅπαν, τὰς αὐλὰς τὰς βα-

Πνεύματος· σβέννυσι δὲ αὐτὸ βίος ἀκάθαρτος· καὶ ταῦτα μὲν ὁ χρυσορρήμων.

Ὅδε Θεολόγος Γρηγόριος, πολλῶν ὄντων ἡμῖν φησὶ καὶ μεγάλων, ἔμενεν εἴποι τις ἂν ἡλίκων καὶ ὅσων, ὧν ἐκ Θεοῦ ἔχομεν καὶ ἕξομεν, τοῦτο μέγιστον καὶ φιλανθρωπότατον, ἡ πρὸς αὐτὸν νεῦσις τε καὶ οἰκείωσις· ὅπερ γὰρ ἐστὶ τοῖς αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός· ὁ μὲν γὰρ τὸν ὁρώμενον φωτίζει κόσμον, ὁ δὲ τὸν ἀόρατον· καὶ ὁ μὲν τὰς σωματικὰς ὄψεις ἡλιοειδεῖς, ὁ δὲ τὰς νοερὰς φύσεις θεοειδεῖς ἀπεργάζεται· καὶ ὥσπερ ἔτος τοῖς τε ὁρῶσι καὶ τοῖς ὁρωμένοις, τοῖς μὲν τὸ τῷ ὁρᾶν, τοῖς δὲ τὸ τῷ ὁρᾶσθαι παρέχον δυνάμιν, αὐτὸς τῶν ὁρωμένων ἐστὶ τὸ κάλλιστον, ἔτω Θεὸς τοῖς τε νοοῦσι καὶ τοῖς νοουμένοις, τοῖς μὲν τὸ νοεῖν, τοῖς δὲ τὸ νοεῖσθαι δημιουργῶν, αὐτὸς τῶν νοουμένων ἐστὶ τὸ ἀνρότατον· εἰς ὃν πᾶσα ἔφεσις ἵσταται, καὶ ὑπὲρ ὃν οὐδαμοῦ φέρεται· οὐδὲ γὰρ ἔχει τι ὑψηλότερον, ἢ ὅλως ἔξει, οὐ δὲ ὁ φιλοσοφώτατος νοῦς, καὶ διαβατικώτατος, ἢ πολυπραγμονέστατος· τοῦτο γὰρ ἐστὶ τὸ τῶν ὀρεκτῶν ἔσχατον, καὶ ὃ γνωσομένοις πάσης θεωρίας ἀνάπαυσις. Ὧι τινι μὲν ἓν ἐξεγένετο διαχόντι τινὶ ὕλῃ, καὶ τὸ σαρκικὸν τοῦτο, εἴτε νέφος χρὴ καλεῖν, εἴτε προκάλυμμα, Θεῷ συγγενέσθαι, καὶ τῷ ἀκηραιφνεστάτῳ φωτὶ κραθῆναι, καθ' ὅσον ἐφικτὸν ἀνθρωπίνῃ φύσει, μακάριος ἔτος, τῆς τε ἐντεῦθεν ἀναβάσεως, καὶ τῆς ἐκεῖσε θεώσεως ἰοῦ τὸ γνησίως φιλοσοφῆσαι χαρίζεται, καὶ τὸ ὑπὲρ τινὶ ὑλικινὶ δυάδα γενέσθαι, διὰ τινὶ σὺ τῇ Τριάδι νοουμένῃ ἑνότητα· ὅστις δὲ ὑπὸ τῆς συζυγίας χείρων ἐγένετο, καὶ τοσοῦτον τῷ πηλῷ συνεχέθη, ὡς μὴ δυνηθῆναι ἐμβλέψαι πρὸς τὰς τῆς ἀληθείας αὐγάς, μηδὲ ὑπὲρ τὰ κάτω γενέσθαι, γεγονὼς ἄνωθεν, καὶ πρὸς τὰ ἄνω καλέμενος, ἄθλιος ἔτος ἐμοὶ τῆς τυφλώσεως, κἂν εὑρεῖ τοῖς ἐνταῦθα, καὶ τοσοῦτον πλέον, ὅσον περ ἂν μᾶλλον ὑπὸ τῆς εὐροίας παίζηται, καὶ πείθηται ἄλλοτι καλὸν εἶναι πρὸ τοῦ ὄντος καλοῦ· πονηρὸν

ἐστὶν, ὅτι ὢν ἐστὶ ποιητὴς, τούτων καὶ Πατὴρ ὕστερον κατὰ χάριν γίνεται· γίνεται δὲ, ὅταν οἱ κτισθέντες ἄνθρωποι λάβωσιν εἰς τὰς καρδίας ἑαυτῶν τὸ Πνεῦμα τῆ Θεῆ κράζον ἀββᾶ ὁ Πατήρ· ἄλλως γὰρ ἐκ ἂν γένοιντο Υἱοὶ, ὄντες φύσει κτίσματα, εἰ μὴ τῆ ὄντος φύσει καὶ ἀληθινῆ Υἱῆ τὸ Πνεῦμα ὑποδέξωνται· διὸ καὶ ὁ Λόγος σάρξ ἐγένετο, ἵνα τὸ ἀνθρώπινον δεκτικὸν θεότητος ποιήσῃ.

Καὶ Διονύσιος ὁ θεῖος αὐταῖς λέξεσιν, ἡ θεία Φύσις φησὶ, τῆ μὲν ἐσίᾳ ὑπ' ἐδενὸς τῶν ὄντων μετέχεται, ταῖς δὲ δωρεαῖς ὑπὸ πάντων. Καὶ ὁ θεῖος Παῦλος πρὸς τούτοις, ὁ καὶ χρίσας ἡμᾶς Θεὸς, καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τῆ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν· καὶ πάλιν, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τῆ Υἱῆ αὐτῆ εἰς τὰς καρδίας ἡμῶν· καὶ αὖθις, ἡ ἀγάπη τῆ Θεῆ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίε τῆ δοθέντος ἡμῖν· πρὸ πάντων δὲ καὶ μετὰ πάντων ὁ φύσει Κύριος ἡμῶν καὶ διδάσκαλος Ἰησῆς Χριςὸς, ἔτω διὰ τῶν Ἀποςόλων ἐπαγγέλεται τοῖς πιςοῖς· τὸ Πνεῦμα τὸ ἅγιον ὃ ὁ κόσμος ὐ δύναται λαβεῖν, ὅτι ὐ θεωρεῖ αὐτὸ, ὐδὲ γινώκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσαι· καὶ πάλιν, ὁ ἔχων τὰς ἐντολάς με καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστὶν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ἀπὸ τῆ Πατρός με· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐγὼ ἐμφανίσω αὐτῷ ἐμαυτόν· καὶ ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

Οὐδεὶς μέντοι ἀνθρώπων ἐστὶν, ὃς δίχα τῆς πρὸς τὸν πλησίον ἀγάπης, ἔννοιαν ἔχει τὸν Κύριον· ὅτι πᾶσα ἐντολὴ, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σε ὡς ἑαυτὸν, ἀνακεφαλαιῶται φησὶ, καὶ πλήρωμα νόμε παντὸς ἡ ἀγάπη ἐστί· καὶ ὥσπερ ὁ ἥλιος πάντη ὅμοιος ἐστὶ καὶ ὁλόλαμπὴς, ἔτω καὶ ψυχὴ ἁγία ἡ καταληφθεῖσα καὶ φωτισθεῖσα, τελεία ὑπὸ τῆ ἀῤῥήτε κάλλες τῆς δόξης

Πνεύματι, ἀλλ' ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτῦ· ἔνδον γὰρ ἔχει ἐν ἑαυτῇ τὸν Θεὸν καὶ Πατέρα· ἔνδον τὸν Υἱὸν τὸν μέγαν Ἀρχιερέα· ἔνδον τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἀληθινὸν πῦρ· ἔνδον τιὼ ἀληθῆ θυσίαν τῦ Θεῦ, τὸ Πνεῦμα τὸ σωτετριμμένον· ἔνδον τὸ θυσιαστήριον, τιὼ καθαρὰν συνείδησιν· ἔνδον τὸ ἱλαστήριον τῶν ἁμαρτιῶν, τὸ πνευματικὸν δάκρυον· ἔνδον τιὼ ἄνω ἱερουσαλὴμ, τιὼ ἀγαλλιωμένιω ψυχιώ· καὶ λοιπὸν ὡς πνευματικὸς ταῖς πνευματικαῖς χερσὶ πνευματικαὶς θυσίας προσάγει. „Πνεῦμα γὰρ ὁ Θεὸς, καὶ τὸς προσκυνῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· αὐτῷ ἡ δόξα εἰς τὸς ἀπεραπλέτες αἰῶνας καὶ ἀεὶ καὶ νυῦ. Ἀμιώ.

τέρᾳ ἑπόμενα, θεωρεῖν ὁπότερα τούτων ὁμόλογα, ἢ μαχόμενα τῇ ἀληθείᾳ ἐστί· καὶ τὰ μὲν αἱρεῖσθαι σὺν λόγῳ, τὰ δὲ ἀποτρέπεσθαι· τὸ γὰρ ἀληθὲς αὐτὸ ἑαυτῷ ἅπαν ὁμόλογον· ὃ δὲ ἑαυτῷ περιπίπτει, ἀληθείας πάντως ἐστὶν ἐκτός· ὃ μάλιστα καὶ ἡμῖν ἐπιμελῶς καὶ φυλακτέον, καὶ ποιητέον, εἰ μὴ μέλλοιμεν πάντῃ τοῦ εἰκότος διαμαρτεῖν. Καὶ πρῶτον μὲν ῥητέον τὰς χρήσεις, ὅσαι περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως διειλήφασι. Δεύτερον δὲ σκεπτέον ἐπιεικῶς, πῶς ἐκλαμβάνουσι ταύτας οἱ πρὸς ἡμᾶς διὰ ταῦτα διαφερόμενοι; τὶ δὲ καὶ ἡμῖν περὶ τούτων δοκεῖ; Καὶ Τρίτον ἐξεταστέον περὶ ἑκάστης εἰς τίνα σκοπὸν ἀφορᾷ; πῶς δὲ καὶ πρὸς τῶν ἁγίων κατὰ διαφόρους ἑρμηνεύθη καιρούς; καὶ μήτε ἡμῖν αὐτοῖς, μήτε τοῖς ἡμῶν ἀντιθέτοις λοιπὸν, ἀλλὰ τοῖς ἁγίοις μόνοις πιστευτέον περὶ πασῶν. Οὕτω καὶ γὰρ ἔσται ἡ ἀλήθεια δήλη, καὶ ἡ πίστις ἡμῶν ἀναμφίβολος, καὶ ἡ μερὶς μετὰ τοῦ Θεοῦ· καὶ πᾶσα ἔρις εὐθὺς γενήσεται ἐκποδὼν, καὶ ἡ ἄνωθεν εἰρήνη παῤῥησιάσεται.

Ἐλέγομεν τοίνυν ἐν τοῖς προσεχῶς ἡμῖν περὶ τοῦ Πνεύματος εἰρημένοις, χρῆσιν ἁγίων κοινὴν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον λέγεται προϊέναι ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ· καὶ τὶ βούλεται συνάγειν αὕτη διερευνῶντες, κατὰ τὰς ὑπερφυεῖς αὐτοῦ δωρεὰς, τοῦτο λέγεσθαι παρ' αὐτῶν μεμαθήκαμεν· σκοπήσωμεν οὖν, εἰ δοκεῖ, πῶς καὶ πρὸς τῶν τἀναντία φρονούντων ἡμῖν νοεῖται, ἢ ἐκλαμβάνεται αὕτη ἡ χρῆσις· λέγω δὴ, ἡ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι λέγουσα· εἶτα Θεοῦ συνεργοῦντος σκεψόμεθα πάλιν, τὶ τούτοις ἀπ' ἐναντίας οἱ ἅγιοι ἀποφαίνονται. Καὶ δὴ λέγομεν δεῦρο, τὰ ὡς αὐτοίφασιν ἑαυτοὺς ἐξηγούμενοι, ὅτι τὸ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, τὸν τρόπον τοῦτον ἡμεῖς ἐκλαμβάνομεν, ὡς τὸν μὲν καρπὸν ἐκ τῆς ῥίζης διὰ τοῦ κλάδου συνίστασθαι, τὸν δὲ κρουνὸν ἐκ τῆς βρύσεως διὰ τοῦ σωλῆνος ἐκρέειν, καὶ τὸ φῶς ἐκ τοῦ ἡλίου διὰ τῆς ἀκτῖνος ἐκλάμπειν· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, οὐ μόνον δι' αὐτῶν, ἀλλὰ καὶ ἐξ αὐτῶν λέγεται· ὅτι ὁ καρπὸς

ἐκ

σωσοι τινὶ ὁμοίωσιν; ἢ ζητεῖς πάλιν ἐκ τῶν κάτω καὶ περὶ σέ; λίαν μὲν αἰσχρὸν, καὶ ἐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ μάταιον ἐπιεικῶς, ἐκ τῶν κάτω τινὶ εἰκασίαν τῶν ἄνω λαμβάνειν, καὶ τῶν ἀκινήτων ἐκ τῆς ῥευστῆς φύσεως· καὶ ὃ φησὶν Ἡσαΐας, ζητεῖσθαι τὰ ζῶντα ἐν τοῖς νεκροῖς· καὶ μιὶ, εἰ καὶ ἀληθεῖς ἐπὶ τῶν ὄντων οἱ λόγοι, τίς ἡ ἀνάγκη καὶ ἐπὶ τῶν θείων ἀληθεῖς νομίζειν αὐτοὺς; ἃ γὰρ ὅσα πρὸς τοῖς ἄλλοις ἀκολουθεῖ, ταῦτα καὶ τοῖς Θείοις ἕπεσθαι νομίζομεν· ἃ γὰρ ἀνάγκη· ἔτω γὰρ ὑπὸ φύσιν ἂν ἅμα καὶ ὑπὸ τέχνιν ἐποιούμεθα τὸν Θεόν. Ἀλλὰ διότι ταῦτα ἐν τοῖς κτίσμασι θεωρεῖται· θεωρηθείη ἂν καὶ ἐν τῷ Θεῷ; ἀλλ' ἔστι δικαιώτερον λέγειν, διότι ταῦτα ἐπὶ τῶν κτισμάτων, ἐκ ἂν εἴη ἐπὶ τῶν Θείων· ἃ γὰρ τῦτο πᾶσα ἀνάγκη· κτισμάτων γὰρ καὶ Θεῦ τὸ μὲν διάφορον ἄπειρον, τὸ δὲ ὅμοιον, ἢ ἐδαμῶς, ἢ μετρίως, καὶ ὡξε μόνον εἰκάσαι. Καὶ ταῦτα μὲν πρὸς πάντα τάγε τοιαῦτα εἰρήθω κοινῇ, ἕπεται δὲ καὶ πρὸς ἕκαστον ἐφεξῆς τῶν εἰρημένων ἀπαντητέον.

Καὶ πρῶτόν γε πρὸς τὸ πρῶτον, ὅτι ὁ καρπὸς ἀτελεσφόρητος ὢν, ἐκ τῆς ῥίζης διὰ τῦ κλάδυ κατὰ φύσιν τελεσφορέμενος γίνεται, καὶ ἐκ ἔστι· τὸ γὰρ γινόμενον πάντως ἐκ ἔστιν, ἀλλ' ἐκ μὴ ὄντων εἰς τὸ εἶναι προβαίνει κατὰ μικρὸν, ὀψέποτε τελειόμενον· πῦ δὲ ταῦθ' ὅλως ἁρμόζει τῷ Πνεύματι τῷ σωσαναρχῳ Πατρὶ καὶ Υἱῷ; ἄλλως τε ἐχ ὥσπερ ἐκ ῥίζης τῦ Πατρὸς κλάδος ὁ Υἱὸς, εἰ ἔτω χρὴ φάναι, εἶτα ἐκ τῦδε τῦ κλάδυ καρπὸς, ἢ ἄνθος τὸ Πνεῦμα, παρὰ τῶν θείων εἰσηγητῶν ἡμῖν παραδέδοται, ἵνα τὸ μὲν τὰ πρωτεῖα, τὸ δὲ τὰ δευτερεῖα, τὸ δὲ τρίτιν τάξιν ἐπέχῃ, καὶ πόῤῥω μὲν ᾖ τὸ τρίτον ἀπὸ τῦ πρώτυ, κἀκεῖνο τέτυ, ὡς τῇ τῦ δευτέρυ παρεμπλώσει καὶ μεσιτείᾳ σαφῶς διειργόμενα· ἐγγὺς δὲ τὸ δεύτερον ἀμφοῖν, ὡς ἐκ τῦ μὲν ἄρτι σωιζόμενον, τῷ δὲ τινὶ τῦ εἶναι διώκειν, ἔκτε τῦ πρώτυ καὶ ἐξ ἑαυτῦ παρεχόμενον· ἀλλὰ μίαν μὲν τὸν Πατέρα τῆς τῦ Υἱῦ καὶ Πνεύματος θεότητος ἀρχέγονον ῥίζαν διασαφῶσι, δύο

τῆς ἐξ αὐτȣ̃ διασκιδναμένης ὀδμῆς, καὶ ταῖς τῶν περιε- «
ςώτων αἰσθήσεσιν ἐμπιπτȣ́σης, λέγοι, ὅτι ἐκ τȣ̃ ἐμȣ̃ λή- «
ψεται, τὴν φυσικὴν οἰκειότητα κατασημήνειεν ἄν· ȣ̓τι- «
πȣ́τινος ἐν μεθέξει διῃρημένην ᾧδέπη νοήσεις καὶ ἐφ' «
Υἱȣ̃ καὶ Πνεύματος. Τȣ́τῳ συμμαρτυρήσων ἐμμέτροις «
ἔπεσι καὶ Γρηγόριος ὁ μέγιςος παρελθέτω, ὃς πᾶσιν ἅμα
χριςιανοῖς ἐγκελευόμενος ὡς ἐνὶ, ȣ̓τώπως φησίν „ ὡς εἴ- «
περ ἀκȣ́σαις περὶ Υἱȣ̃ καὶ Πνεύματος, ὡςῥα Θεοῖο τὰ «
δεύτερα Πατρὸς ἔχȣσιν, ȣ̓τω νοεῖν κέλομαί σε λόγȣς σο- «
φίης βαθυκόλπȣ, ὡς εἰς ῥίζαν ἄναρχον ἀνέρχεται, ȣ̓ «
Θεότητα τέμνει. Ἀκȣ́εις; εἰ γὰρ μὴ ἀμέσως ἦν ἐκ τȣ̃ «
Πατρὸς τὸ Πνεῦμα, ȣ̓κ ἂν δεύτερον καὶ τȣ̃το ἀπὸ Πα-
τρὸς ἐτίθει, καθὰ δῆτα καὶ τὸν Υἱὸν ὁ Γρήγορος ȣ̓τοσὶ
ὀφθαλμός. Καὶ Βασίλειος δὲ ὁ μέγας, ἐν τῷ κατὰ
ἀνομοίων ȣ̓ ἡ ἀρχὴ, μάχεται Ἰȣδαϊσμὸς Ἑλληνισμῷ,
ȣ̓τω τίθησιν. „ Ἔςι μὲν ὁ Πατὴρ τέλειον ἔχων τὸ εἶναι «
καὶ ἀνενδεὲς, ῥίζα καὶ πηγὴ τȣ̃ Υἱȣ̃ καὶ τȣ̃ ἁγίȣ Πνεύ- «
ματος· ἄλλως τε, ὅπερ καὶ ἔφθην εἰπὼν, ȣ̓κ ἀναγκαῖον «
τοῖς ȣ̓σι καὶ τῷ Θεῷ ταὐτὰ ἕπεσθαι· ȣ̓δὲ ὅπερ ἀδύνατον
ὑπάρχει τοῖς ȣ̓σι, καὶ τῷ Θεῷ τȣ̃το ἀδύνατον· πάντων
γὰρ τῶν ὄντων ἕτερον ὄντα κατὰ λόγον ἀπόῤῥητον, ȣ̓κ
ἀνάγκη τȣ̀ς αὐτȣ̀ς ἔχειν τοῖς ȣ̓σι τῶν προόδων τȣ̀ς λόγȣς.
καὶ ταῦτα μὲν πρὸς τὸ πρῶτον εἰρήσθω.

Ἐκεῖνα δὲ πρὸς τὸ δεύτερον, ὅτιπερ ὁ κρȣνὸς ἐκ
τῆς βρύσεως μὲν ἔχει τὸ εἶναι ὅπερ ἐςὶν, ἐκ δὲ τȣ̃ σω-
λῆνος, ἢ διὰ τȣ̃ σωλῆνος αὐτὸ ȣ̓δαμῶς· καὶ τȣ̃το ταυ-
τὸν ἐςὶ τὸ ὑπόδειγμα τῷ τῆς πηγῆς καὶ τȣ̃ ποταμȣ̃ καὶ
τȣ̃ ὕδατος· πλὴν ὅπερ ἐςὶν ἐκεῖ ποταμὸς, τȣ̃το ἐνταῦ-
θα σωλὴν, δεξαμενὴ διοδεύοντος ὕδατος· τέως ἐπειδὴ
πηγὴ τȣ̃ Πνεύματος ὁ Υἱὸς, καθὼς τῷ ȣ̓ρανοφάντορι
Βασιλείῳ, Ἀθανασίῳ τῷ πολύτλᾳ, Γρηγορίῳ τῷ πάνυ,
καὶ πᾶσιν ἁγίοις δοκεῖ; σκοπήσωμεν περὶ τȣ́τȣ τὶ τοῖς
αὐτοῖς ἁγίοις δοκεῖ, τȣ́των γὰρ ὁ μὲν μέγας Βασίλειος,
ἐν τῷ πρὸς Ἀμφιλόχιον ὀγδόῳ, ἀπαριθμȣ́μενος τὰ προ-
σόντα ὀνόματα τῷ Υἱῷ, καὶ τὸ τῆς πηγῆς ὄνομα τίθη-
σιν,

λήλων ἀπέρρηκλαι τῇ συνεχείᾳ· καὶ δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι, ἀλλ' ἔδειξα πρῶτον μὲν ῥύσίν τινα θεότητος παραδέξασθαι φάσιν ἐκ ἔχουσαν· δεύτερον δὲ, μὴ τὸ ἓν τῷ ἀριθμῷ, διὰ τῆς εἰκόνος ταύτης εἰσάγηται. ὀφθαλμὸς γὰρ καὶ πηγὴ καὶ ποταμὸς ἓν ἐσιν ἀριθμῷ, διαφόρως σχηματιζόμενον. Ἐνταῦθα ἀκριβῶς παρίσαται, ὡς ὁ διδάσκαλος, τὸν ὀφθαλμὸν καὶ τὴν πηγὴν καὶ τὸν ποταμὸν, ἃ δοκεῖ πως τρία εἶναι ταῖς ἰδιότησι, τῆς συμφυίας ἕνεκα, καὶ τὸ μὴ ἀπερρῆχθαι καὶ διεξάναι ἀλλήλων τὰ θεαρχικὰ πρόσωπα κατεδέξατο· ἐπεὶ καὶ τὰς ἄλλας τῶν εἰκόνων τῶτον τὸν τρόπον παρέλαβεν· ὅτιπερ καὶ ὁ τῆ λόγε σκοπὸς, καὶ πρὸς ἃς ὁ πόλεμος τὰ τοιαῦτα ἀπήτει, ἐκ ἐκ τίνος ἡ αἰτία τῷ Πνεύματι· καὶ δῆλον ἐκ τῆς μαρτυρίας τῆς αὐτῆ· τί γὰρ εἰπέμοι πηγή; ἢ τί ποταμὸς, ἢ ὀφθαλμὸς, ἀλλ' ἢ τὸ ὕδωρ αὐτὸ, ὅπερ ἀναβλύζον μὲν πηγὴ, φερόμενον δὲ ποταμὸς, ἀρυόμενον δὲ ὕδωρ λέγεται; Ἔτιπερ ὁ αὐτὸς ἐν τῷ πρὸς Εὐάγριον περὶ θεολογίας λόγῳ, ἔτω φησὶ „περὶ πηγῆς καὶ ποταμῆ εἰκόνος εἰς τὴν Τριάδα ἀναγομένης τὸν λόγον ποιέμενος· ὃν τρόπον ἀπό τινος ὑδάτων πηγῆς, νεκταρῶδες ἀφθόνως προϊεμένης ὕδωρ συμβαίνει ῥεῦμά τι παμπληθὲς, καὶ ῥεῖθρον ἀκατάσχετον εἰς ποταμὸς δύο τῷ ῥεύματι τέμνεσθαι, μίαν ἐξ ἑνὸς ὀφθαλμῆ τῆς πηγῆς τὴν ῥοὴν ἐξ ἀρχῆς ἐχηκὸς, διῤῥύτοις δὲ τῶν ποταμῶν σχηματιθέντων τοῖς ὕδασι, βλαβὲν δὲ ὅμως ἐδὲν εἰς τὴν ἑσίαν ἐκ τῆς διαιρέσεως· τῇ μὲν γὰρ τῶν ποταμῶν θέσει τὸ ῥεῖθρον διήρηται, τὴν δὲ τῆ χυμῆ ποιότητα μίαν καὶ τὴν αὐτὴν κέκτηται· κἂν γὰρ ἀποτερματίζεσθαι πόῤῥωπε τῶν ποταμῶν ἕκαστος τῶν προειρημένων δοκῇ, ἀπὸ τῆς πηγῆς ἀφεσάναι μακρὰν, τὴν γὲν ἀρχὴν τῇ μητρὶ πρὸς τὸ διηνεκὲς τῆς πηγῆς σωηνωμένην ἔχει· παραπλησίως ἓν καὶ ὁ τῶν ἀγαθῶν ἁπάντων Θεὸς, ὁ τῆς ἀληθείας πρύτανις καὶ τῆ Σωτῆρος Πατὴρ, τὸ πρῶτον αἴτιον τῆς ζωῆς, καὶ τὸ τῆς ἀθανασίας φυτὸν, ἡ τῆς ἀειζωΐας πηγὴ, διῤῥυτόν τινα τῆτε Υἱῆ καὶ τῆ ἁγίε Πνεύματος τὴν νοητὴν εἰς ἡμᾶς

ἀδελφὰ ἀλλήλοις ὁμοούσια λέγεται μόνον, ὅπερ τινὲς ὑπειλήφασιν, ἀλλὰ καὶ ὅταν δύο τινῶν ὄντων, τὸ μὲν αἴτιον ᾖ, τὸ δὲ ἐκ τῆς αἰτίας, καὶ τῆς αὐτῆς ἑκάτερον ὑπάρχῃ φύσεως, καὶ κατ' ἐκείνων κατηγορεῖται τὸ ὁμοούσιον. Ἔτι ἡμεῖς δοξάζομεν Υἱὸν ἐκ τοῦ Πατρὸς ἅμα καὶ Πνεῦμα, ὥσπερ ἐξ ἡλίου φῶς καὶ ἀκτῖνα· καὶ τὸ παράδειγμα τοῦτο ἐκ ἀντιβαίνει, ἀλλὰ συμβαίνει ἡμῖν· ἆρα γὰρ ἡ ἀκτὶς αὐτὴ οἰκοθεν προβάλλει τὸ φῶς, ἢ ὁ ἥλιος; ἐκ τοῦ ἡλίου γὰρ ἡ ἀκτὶς αὐτὸ δεχομένη, τοῦτο πηγάζοντος ἐξ ἑαυτοῦ μετὰ τῆς ἀκτῖνος, πρὸς ἡμᾶς ἐκεῖνο διαπορθμεύει· ὥστε αἴτιον τοῦ φωτὸς, ἐχ ἡ φέρουσα αὐτὸ πρὸς ἡμᾶς ἀκτὶς, ἀλλ' ὁ δίσκος ἐστὶν ὁ ἡλιακὸς, ὃς ἐκ τῆς οἰκείας ἐσίας καὶ ἄμφω, τὴν ἀκτῖνα φημὶ καὶ τὸ φῶς προβάλλει· καὶ ἐπὶ τῆς ζωαρχικῆς ἓν Τριάδος, εἰ καὶ ὁ Υἱὸς πρὸς ἡμᾶς διαπορθμεύει τὸ Πνεῦμα, ἀλλ' ἐχὶ καὶ αἴτιος ἐστὶν αὐτῷ τῆς ὀντότητος, αὐτὸν αἴτιον αὐτῆς ἔχοντι τὸν Πατέρα, ὃν ἆρα καὶ ὁ Υἱός. Καὶ ταῦτα φαμὲν δεικνύντες ὅτι ἐκ ἐκ τῆς ἀκτῖνος ἐστὶ τὸ φῶς, ἀλλὰ δι' αὐτῆς μεταδίδοται· εἰδὲ καὶ ἐξ αὐτῆς ἰὼ, πόθεν ἡ τῆς ἀνάγκης ἀφορμὴ, διὰ τοῦτο καὶ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι; εἰ μὲν γὰρ ἰὼ ἀναγκαῖον, πᾶν ὅπερ ἔπεται τῷ ἡλίῳ, τοῦτο καὶ τῷ Θεῷ ἕπεσθαι, καὶ ὅπερ ἐκ ἐγχωρεῖ τούτῳ μὴ δὲ τῷ Θεῷ τοῦθ' ὑπάρχειν, ἀκόλουθον ἂν ὑπῆρχε καὶ τὴν κοινὴν ἔννοιαν τὴν ἐπὶ τῆς ἀκτῖνος καὶ τοῦ φωτὸς, καὶ ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ἀληθῆ ταύτην ἡγεῖσθαι, καὶ ἐκ ἄλλως συμβαίνουσαν· ἐπεὶ δὲ ἔθ' ὅσιον, ἔτ' ἀσεβὲς ὑπολαμβάνειν ἀπαραλλάκτως ταυτὸ ἕπεσθαι τῷ Θεῷ καὶ τοῖς ἐκείνου ποιήμασιν· ἔτω γὰρ ἂν εἴη τῶν ἄλλων διαφέρων ἐδέν· πῶς ἐκ εἰκότως ἀναλαβησόμεθα τὰς ἐπὶ τοῦ κτίσματος ἀληθεύοντας λόγους, καὶ ἐπὶ τοῦ κτίσαντος αὐτὸ Θεοῦ ἀληθεῖς αὐτὰς ἐξ ἀνάγκης ἡγεῖσθαι; Ὅτι περὶ τῆς εἰκόνος ταύτης, περὶ ἧς νῦν σκοπέμεθα, ὁ θεολόγος Γρηγόριος πολλὴν τὸν λόγον ποιούμενος, ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ φησὶν „ὡς ἐγὼ πολλὰ διασκεψάμενος παρ' ἐμαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ, καὶ παντα-

ἄλλον ἥλιον, ὁμοῦ τῇ πρώτῃ ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα, κάλλει, δυνάμει, λαμπηδόνι, φαιδρότητι, καὶ πᾶσιν ἁπλῶς τοῖς περὶ τὸν ἥλιον θεωρεμένοις· καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἕτερον τοιοῦτον φῶς, κατὰ τὸν αὐτὸν τρόπον νοοῦμεν.

Τέτων ἕτω πρὸς τῆς τῶν θεολόγων φωνῆς διακεκριμένων, ἐκεῖνο ἐκ ἀνδὸς λόγε τοῖς πᾶσιν ἀπολογέμεθα, ὡς εἰ μὲν τὸ τῆς ἀκτῖνος τᾶτο καὶ τᾶ φωτὸς ὑπόδειγμα, περὶ τῆς τᾶ ἁγίε Πνεύματος ὑπάρξεως λαμβανόμενον, ἐκ ἀπόβλητον λιὼ τοῖς ἁγίοις, εἰκότως ἂν καὶ ἡμῖν προσεδέχθη· ἐπεὶ δ' ὅταν μὲν περὶ τῆς ὡς ἡμᾶς ἀποσολῆς καὶ μεταδόσεως τᾶ Πνεύματος ἐσὶν αὐτοῖς ὁ σκοπὸς, ὡς τοιᾶδε ἁρμόζειν ἐνοίᾳ λαμβάνεται παρ' αὐτῶν καὶ μάλα· ὅταν δὲ περὶ τῆς τᾶ αὐτᾶ προσώπε ὑπάρξεως ἀποβάλλεται, πῶς ἡμεῖς αὐτὸ ςέρξομεν τὸ τοῖς ἁγίοις ἀπόβλητον; ὥςε τὰ τοιαῦτα προβάλλεθαι ὑποδείγματα, καὶ ἐκ τέτων οἴεθαι συμπεραίνειν, καὶ ἐκ τᾶ Υἱᾶ τὸ Πνεῦμα προσωπικῶς ὑφεσάναι, πόρρω βάλλειν ἐσὶ τᾶ σκοπᾶ· εἰ δ' ἔν, ἐκ δύο ῥιζῶν προσεχῶς καρπὸς εἰς προέρχεται, καὶ ἐκ δύο πηγῶν ἀμέσως κρουὸς εἰς ἐκρέει, καὶ ἐκ δύο ἡλίων ἀδιαφόρως οἳ φῶς ἐκλάμπει καθ' ὕπαρξιν, ἃ καὶ νᾶς ἀναπλάττειν ῥᾴδιος ὁ θέλει, καὶ φύσις ποιεῖν ἀπαναίνεται, καὶ ἡ ἀληθὴς θεολογία ςέργειν ὁ βέλεται.

Ἀλλ' ἀνάγκη φησὶν ἀναλλάττειν τὰς προθέσεις ἐπὶ τᾶ Πατρὸς καὶ τᾶ Υἱᾶ, λέγοντας περὶ τῆς τᾶ ἁγίε Πνεύματος ἐκπορεύσεως, ἵνα μὴ νομίσωμεν, ἢ τὸν Πατέρα, ὥσπερ ἀμέσως γεννᾷ τὸν Υἱὸν, ἕτως ἐκπορεύειν καὶ τὸν Παράκλητον, ἢ τὸν Υἱὸν ἐμμέσως ἐκπορεύειν αὐτὸν ὥσπερ ὁ Πατήρ· ὁπότερον γὰρ ἄντις συγχωρήσῃ τῶν εἰρημένων, καὶ δῶ ὡσαύτως τῷ Πατρὶ τὸν Υἱὸν ἐκπορεύειν τὸ Πνεῦμα, μηδαμῶς παραλλαγῆς ἐπίνοιαν λαβὼν, τῆς ἐξ ἀμφοῖν τᾶ Πνεύματος ἐκπορεύσεως, δικαίαν δέξαιτο γραφὴν ὡς δύο παρεισάγων τᾶ Πνεύματος ἀρχάς. ὅπερ ἀπεὶη καὶ ςόματος καὶ ψυχῆς τῶν εὐσεβεῖν

πρὸς Θεὸν, τὸ δὲ καὶ σωματικὸν εἶναι καὶ αἴτιον τοῦ αὐτοῦ, πῶς ἐκ ἄτοπον; ἐδὲ γὰρ πάππος καὶ Πατὴρ καὶ ἔγγονον ἐκεῖ· πῶς δὲ καὶ τὸ μόνον τὸ Πνεῦμα τῆς ὁμοτιμίας τῶν ὁμοφυῶν ἀποξέρεθαι, ἢ τοῖς Πνευματομάχοις παρέξει χώραν; ἢ τὶς ὁ λόγος, ὅτι ὁ Πατὴρ ἐπὶ μὲν τῆς τοῦ Υἱοῦ γεννήσεως ἐ χρήζει τῆς τοῦ Πνεύματος συνεργίας, ἐπὶ δὲ τῆς τοῦ Πνεύματος προβολῆς τῆς τοῦ Υἱοῦ δεῖται συνάρσεως;

Πλιὺ ἵν' ἐπὶ τὸν τοῦ λόγου σκοπὸν ἀναδράμωμεν, ἡμεῖς μὲν τιὼ ΕΚ μυριάκις εἰ δέοι, ἐπὶ τοῦ Πατρὸς λεγομένιω μόνον, καὶ τιὼ ΔΙΑ ἐπὶ μόνου τοῦ Υἱοῦ, ἐκεῖ μὲν ὅταν ὁ λόγος περὶ τῆς ἐκπορεύσεως, ὧδε δὲ ἰδίκα περὶ τῆς παροχῆς τοῦ Πνεύματος ᾖ, παρίσημεν ἀναργῶς, τὸ μὲν ἐκ τοῦ Πατρὸς ἐκπορεύεθαι τὸ Πνεῦμα μόνου προσωπικῶς, προχεῖσθαι δ' αὐτὸ καὶ ἐκλάμπειν καὶ προϊέναι καὶ δίδοθαι, καὶ ὅσα τιὼ χάριν παρίσησι τότε διὰ τοῦ Υἱοῦ πρὸς ἡμᾶς ἀπειράκις πρὸς πάντων μαρτυρέμενον δείκνυμεν· ἐδεὶς δ' ἀνθρώπων ἐστὶν, ὃς ἀντιτρόφως ἑκατέραν τούτων ἀποδεῖξαι δυήσεται, λέγω δὲ ὅτε τῷ Υἱῷ μόνῳ ἀπονενεμημένιω τιὼ ΕΚ, ὅτε τιὼ ΔΙΑ μόνον τῷ Πατρὶ ἐφαρμοζομένιω, ὅτε μιὼ τὸ Πνεῦμα προσωπικῶς ἐκ τοῦ Υἱοῦ ἐκπορεύεθαι, ὅτε χορηγεῖσθαι τοῦτο διὰ Πατρὸς ἐξ Υἱοῦ· ἅπερ πρὸς ἅπαντα σκοπὸν ἀφορᾷ, καὶ οὗ ταῦτα δόγμα σωίσησιν· ὅτι ἐπὶ τῶν τῆς Θεότητος ὑποτάσεων, μόνῳ τῷ Πατρὶ ἡ ΕΚ, καὶ τὸ προβάλλειν τὸ Πνεῦμα ἀφώρισαι, τῷ δὲ Υἱῷ ἡ ΔΙΑ, καὶ τὸ χορηγεῖν τοῦτο οἷς ἄξιον.

Τούτων ὅτως ἐχόντων, ἐκ ἄρα ταυτὸν δυώδαι ἡ ΔΙΑ τῇ ΕΚ, ἐπὶ τῶν θείων προσώπων φημὶ λεγόμεναι, ὥστισιν ἔδοξεν· ἐδὲ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ, καὶ τὸ ἐκ Πατρὸς καὶ Υἱοῦ· ἅπαγε· ἀλλ' ὡς τοῖς ἁγίοις δοκεῖ· ὧν τῆς δόξης ἐχόμενοι, καὶ τὰ γνώμιω ἐμιὼ, διεγερθῶμεν καὶ πρὸς μίμησιν τοῦ κοινοῦ πάντων Δεσπότου, καὶ ἀγάπιω θερμιώ. Πῶς δὲ γίνεται τοῦτο; ὁ μακάριος Παῦλος ἐπισέλλων ἅτε Ἀπόστολος, καὶ εἰς μίμησιν ἀνάγων τοὺς πάντας Θεοῦ, καὶ αὐτοῦ φησὶ γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά.

διὰ πραγμάτων, διὰ μαθητῶν, δι' ἑαυτοῦ· καὶ καθάπερ σίδηρος εἰς τὸ πῦρ ἐμπεσών, ὅλος γίνεται πῦρ, ἔτω καὶ αὐτὸς τῷ πυρὶ τῆς ἀγάπης ἀναφθεὶς, ὅλος γέγονεν ἀγάπη, καὶ σῶμα καὶ ψυχὴ καὶ πάντα ἐπιδιδοὺς ὑπὲρ τῶν ἠγαπημένων· διὰ τοῦτο καὶ πλήρωμα ταύτην ἐκάλει νόμε, καὶ συνδεσμον τελειότητος, καὶ μητέρα τῶν ἀγαθῶν πάντων, καὶ ἀρχὴν ἀρετῆς, καὶ τέλος· τοῦτον ἓν μόνον τὸν ἅγιον ἔτις βέλοιτο κτήσασθαι διὰ τῆς μιμήσεως οἰκειον, ἀδενὸς μέρος ἀρετῆς ἔσαι ἄμοιρος· ἀλλ' ὥσπερ τῆς μὲν σοφίας ςήλην αὐχοῦσιν οἱ περὶ ταύτην ἐχολακότες τὸν Σολομῶντα, οἱ τὸς τῆς ὑπομονῆς μιθὸς ἐκδεχόμενοι τὸν Ἰωβ, οἱ τὴν σωφροσύνην πεθῶντες τὸν πάγκαλον Ἰωσὴφ, καὶ ἄλλοι ἄλλον, τὸν κατ' ἐξαίρετον λόγον τῆς ἀρετῆς, ὧν αὐτοὶ μετίασιν ἔξοχον, ἔτως οἱ τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην βελόμενοι κτήσασθαι, μετὰ Χριςὸν αὐτοὶ καὶ τὸν Παῦλον μιμέμενοι, εἰς αὐτὸ φθάνεσι τὸ τῆς ἀγάπης ἀκρότατον· ἐν ταύταις γὰρ ταῖς δυσὶν ἐντολαῖς, ἐν αἷς ὡς φησὶν ὁ Χριςὸς, ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται, τὸς πάντας ἁγίας ὁ ἅγιος ἦτος, πολλῷ τῷ μέσῳ ὑπερηκόντισε.

Λέγεται περὶ τοῦ μακαρίε Μελετίε Πατριάρχε Ἀντιοχείας, ὅτι παρὰ τὴν ἀρχὴν εἰς τὴν πόλιν εἰσελθόντα δεξάμενοι οἱ Ἀντιοχεῖς, τὸ παιδίον ἕκαςος τὸ ἑαυτοῦ ἀπὸ τῆς ἐκείνε προσηγορίας ἐκάλει, διὰ τῆς προσηγορίας εἰς τὴν οἰκίαν ἕκαςος τὴν ἑαυτοῦ τὸν ἅγιον ἐκεῖνον εἰσάγειν νομίζοντες· καὶ πατέρας, καὶ πάππες, καὶ προγόνες παρατρέχεσαι αἱ μητέρες, τὸ τοῦ μακαρίε ὄνομα τοῖς τικτομένοις παιδίοις ἐπετίθεσαν· νίκα γὰρ τὴν φύσιν τῆς ἀλαβείας ὁ πόθος, καὶ τὰ τικτόμενα λοιπὸν, ἐκ ἀπὸ τῆς κατὰ φύσιν φιλοσοργίας μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς πρὸς τὴν προσηγορίαν ἐκείνην διαθέσεως, ποθεινὰ τοῖς γεννησαμένοις ἦν· τὸ γὰρ ὄνομα αὐτὸ, καὶ συγγενείας κόσμον, καὶ οἰκίας ἀσφάλειαν, καὶ τοῖς καλεμένοις σωτηρίαν, καὶ τοῦ πόθε παραμυθίαν εἶναι ἐνόμιζον· καὶ καθάπερ ἐν σκότῳ καθήμενοι τινὲς, μιᾶς λαμπάδος ἀφ-

λείωσιν τῆς ἑαυτῦ καρποφορίας καὶ αὐξήσεως· καὶ προσέτι τὸ εὔριζον καὶ ὑψηλὸν, τὸ τελείῳ τῷ πάχει τῆς κορυφῆς ἀναφύεσθαι, τὸ λοξοκάρδιον, τὸ τὸν καρπὸν ἐκ ἐπ' ἄκρῳ φέρειν τῶν πρέμνων, ἀλλ' ἐπὶ ἑδραίῳ τῷ σελέχει καὶ μέσον· καὶ τὸ ἄνω μόνον καρποφορεῖν, ἐκ ἐπὶ τὰ πλάγια· πρὸς δὲ καὶ τὸ ὅλον αὐτὸν, καὶ πάντα τέτε τὰ μέρη χρησιμώτατα τοῖς ἀνθρώποις παρέχειν μόνον τῶν ἄλλων φυτῶν· φυτὰ μὲν ἔτω μιμεῖσθαι ὁ Προφήτης φησί. Περὶ δὲ ζώων Σολομὼν ὑποτίθησι „ πορεύθητι, λέγων, εἰς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐσί· καὶ ζήλωσον τὸν μύρμηκα ὦ ὀκνηρὲ, καὶ ὅσα ἔξῆς· περὶ δὲ ἁγίας μιμήσεως, καὶ Θεῦ, εἰσηγεῖται ὁ Παῦλος „ μιμηταί μὲ γίνεθε, καθὼς κἀγὼ Χριςῦ· καὶ ὅρα μοι λόγε ἀκρίβειαν· ἐ γὰρ εἶπεν αὐτὶ μιμητής μὲ γενῦ, ἀλλὰ πᾶσι· καὶ γίνεθε· τετέσι, διὰ παντὸς τῦ βίε, καὶ πάντα τρόπον, ἐν παντὶ ἀγαθῷ.

Δεῖ δὲ κἀκεῖνο σκοπεῖν, ὡς ἡ τῆς εἰκόνος μίμησις, πρωτοτύπε ἐσὶν ἐκμαγεῖον· τῦτο δὲ ὁλόκληρον εἶναι χρὴ πάντως· ἐχὶ τέτῳ μὲν ἐοικέναι τῷ μέρει, τέτῳ δ' ἀπεοικέναι, ἀλλ' ὅλον ὅλε τέλειον ἀφομοίωμα, εἴπερ μὴ μέλλοι τέρας εἶναί τι ἐξ ἀνομοίων συγκείμενον· τοιῦτος ἡμᾶς ἔρωτι θείῳ θελγομένες, διὰ τὴν εἰς ἀλλήλες ἀγάπην εἶναι πάντως χρεών· ἃ ποτὲ μὲν ἀχρείες, ποτὲ δὲ χρησίμες· ἢ τῷ δὲ μὲν τῷ μέρει τῆς ἀρετῆς κοινωφελεῖς, τῷ δ' ἃ τοιῦτος· ἀλλ' ὥσπερ ὁ Παῦλος Πνεῦμα Θεῦ ἔχων, δι' ὅλε ἔπνεε τὸν Χριςὸν, ἔτω καὶ ἡμᾶς, ἢ αὐτὸν τὸν Παῦλον, καὶ δι' αὐτῦ τὸν Σωτῆρα Χριςὸν μιμεμένες τὸν αἰῶνα τῦτον διαπερᾶν. Πῶς δὲ αὐτὸς τὸν Χριςὸν ἔπνευσι, αὐτῦ γράφοντος ἄκεσον „ Παῦλος κλητὸς ἀπόςολος Ἰησῦ Χριςῦ, ἡγιασμένοις ἐν Χριςῷ Ἰησῦ τοῖς ἐπικαλεμένοις τὸ ὄνομα τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριςῦ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεῦ Πατρὸς ἡμῶν, καὶ Κυρίε Ἰησῦ Χριςῦ· εὐχαριςῶ τῷ Θεῷ με ἐπὶ τῇ χάριτι τῇ δοθείσῃ ὑμῖν ἐν Χριςῷ Ἰησῦ, καθὼς τὸ μαρτύριον τῦ Χριςῦ ἐβεβαιώθη ἐν ὑμῖν· ἀπεκδεχομένες τὴν ἀποκάλυψιν τῦ Κυρίε ἡμῶν Ἰησῦ Χριςῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἀνεγκλήτες, ἐν τῇ ἡμέρᾳ „ τῦ

ΛΟΓΟΣ ΙΓ.

ΠΕΡΙ
ΤΗΣ ΘΕΙΑΣ ΤΡΙΑΔΟΣ,

Ἐν τῷ περιωνύμῳ τῶν ἁγίων Ἀποστόλων Ναῷ λαληθείς· Γραφικὰς περιέχων περὶ τῦ Πνεύματος χρήσεις· καὶ δεικνὺς ὡς οὐ ἐδεμιᾷ τέτων, λέγεται τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τῦ Υἱῦ ἐκπορεύεσθαι.

Πιστεύομεν ἕνα Θεὸν εἶναι, πάσης ἐσίας καὶ Φύσεως ὁρατῆς τε καὶ ἀοράτε δημεργόν· τὸ γὰρ μὴ ἕτω πιστεύειν, ἢ ἀθεΐας, ἢ πολυθεΐας τεκμήριον· ἀλλὰ τὸν ἕνα τῦτον Θεὸν, καὶ ἕνα Λόγον ὑπόστατον ἔχειν δοξάζομεν, ὁμοούσιον αὐτῷ κατὰ πάντα, καὶ ἰσόθεον, καὶ συναίδιον· τὸ γὰρ μὴ ἕτω δοξάζειν, τῷ πάσης λογικῆς Φύσεως ἀρχικωτάτῳ αἰτίῳ, ἄντικρυς ἀλογίαν προσάπτειν ἐσίν· ἀλλὰ καὶ τὸ Πνεῦμα ἅγιον ἐκ τῦ ἑνὸς Θεῦ τὸ ὕπαρξιν ἔχον ὑπόστατον ὁμολογῦμεν, καὶ τῷ τῦ Θεῦ Λόγῳ ἰδίως συνόν· τὸ γὰρ μὴ ἕτως ὁμολογεῖν, τῶν τὸν Θεὸν αὐτὸν, καὶ τὸν αὐτῦ Λόγον θείῳ Πνεύματος ἀμοιρεῖν φρονέντων, ἐσὶ φρόνημα· καὶ τῦτο ἐσὶ τοῖς ὀρθοδόξοις ἡμῖν, ὁ εἷς καὶ μόνος Θεὸς ἡ Τριὰς, ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, καθὼς ἡμῶν ἕκαστος ἐν τῷ συμβόλῳ τῆς πίστεως ὁμολογεῖ λέγων λαμπρᾷ τῇ φωνῇ· πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ εἰς ἕνα Κύριον Ἰησῦν Χριστὸν, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τῦ Πατρὸς ἐκπορευόμενον. Τῦτων δὴ τῶν θείων καὶ

φρικτῶν

Δεῖ δὲ λοιπὸν περὶ τῦ ἁγίε Πνεύματος, καθ' ὅσον οἷόν τε λογάδιω τε ἢ τροχάδιω διαλαβεῖν, ὡς ἂν ἢ παρὰ πάσης τῆς θείας Γραφῆς πιστωθῶμεν, ὅτι ἀπειράκις τὸ τῦ ἁγίε Πνεύματος ὄνομα ἐκφερόμενον ἐν αὐτῇ, ἐδαμῦ λεγόμενον εὕρηται, ὅτι ἐκ τῦ Υἱῦ τὸ Πνεῦμα τιὼ ὕπαρξιν κέκτηται. „Εὐθὺς γὰρ ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις φησὶν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, ἐ δυνάται εἰσελθεῖν εἰς τιὼ βασιλείαν τῦ Θεῦ· τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστὶ, καὶ τὸ γεγεννημένον ἐκ τῦ Πνεύματος, Πνεῦμα ἐστί· μὴ θαυμάσῃς, ὅτι εἶπόν σοι δεῖ ἡμᾶς γεννηθῆναι ἄνωθεν· τὸ Πνεῦμα ὅπε θέλει πνεῖ, καὶ τιὼ φωνὴν αὐτῦ ἀκούεις· ἀλλ' ἐκ εἶδες πόθεν ἔρχεται, καὶ πῦ ὑπάγει· ἔτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τῦ Πνεύματος· καὶ πάλιν, τὸ Πνεῦμα ἐστὶ τὸ ζωοποιῦν· ἡ σάρξ ἐκ ὠφελεῖ ἐδέν· καὶ αὖθις, τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, Πνεῦμα καὶ ζωὴ ἐστί· πρὸς δὲ, ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστὶν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ, προσκυνήσυσι τῷ Πατρὶ ἐν Πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιύτυς ζητεῖ τὺς προσκυνῦντας αὐτόν. Πνεῦμα ὁ Θεὸς, καὶ τὺς προσκυνῦντας ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Ἔτι, ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτῦ ῥεύσυσιν ὕδατος ζῶντος. Ἔτι, ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολάς τὰς ἐμὰς τηρήσατε, καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα· τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος ἐ δύναται λαβεῖν, ὅτι ἐ θεωρεῖ αὐτὸ, ἐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσαι. Ἔτι, ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· ὁ δὲ παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί με, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν. Ἔτι, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος ἐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. Ἔτι, ὅταν ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς πρὸς πᾶσαν τιὼ ἀλήθειαν·

βαπτίζειν ἐν ὕδατι, ἐκεῖνος μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδοις τὸ " Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, ἕτος ἐστὶν ὁ " βαπτίζων ἐν Πνεύματι ἁγίῳ. Καὶ αὖθις, ἐγὼ γὰρ ἐκ μέ- " τρε δίδωσιν ἐκείνῳ τὸ Πνεῦμα ὁ Πατὴρ, περὶ τῦ Υἱῦ λέ- " γων. Καὶ οἱ Εὐαγγελισταὶ, βαπτισθεὶς δὲ ὁ Ἰησῦς ἀνέβη " εὐθὺς ἀπὸ τῦ ὕδατος, καὶ ἰδὲ ἀνεῴχθησαν αὐτῷ οἱ ἐρα- " νοὶ, καὶ εἶδε τὸ Πνεῦμα τῦ Θεῦ καταβαῖνον ὡσεὶ περι- " στερὰν, καὶ ἐρχόμενον ἐπ' αὐτόν· καὶ τότε ὁ Ἰησῦς ἀνήχ- " θη εἰς τὴν ἔρημον ὑπὸ τῦ Πνεύματος· καὶ Ἰησῦς δὲ " Πνεύματος ἁγίε πλήρης ὑπέστρεψεν ἀπὸ τῦ Ἰορδάνε· " καὶ ἐγένετο, ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαὸν, καὶ " Ἰησῦ βαπτισθέντος καὶ προσευχομένε, ἀνεῳχθῆναι τὸν " ἐρανὸν, καὶ καταβῆναι τὸ Πνεῦμα τὸ ἅγιον, σωματικῷ " εἴδει ὡσεὶ περιστερὰν ἐπ' αὐτόν. Καὶ τῦτο δὲ ἔλεγε περὶ " τῦ Πνεύματος, ἃ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς " αὐτόν. Καὶ ἐν τύτῳ γινώσκομεν ὅτι ὁ Θεὸς ἐν ἡμῖν μέ- " νει, ὅτι ἐκ τῦ Πνεύματος αὐτῦ δέδωκεν ἡμῖν. Καὶ ἕτος " ἐστὶν ὁ ἐλθὼν, δι' ὕδατος καὶ αἵματος καὶ Πνεύματος " ἁγίε, Ἰησῦς Χριστός· ἐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ " ὕδατι καὶ τῷ αἵματι. Καὶ τὸ Πνεῦμα ἐστὶ τὸ μαρτυρῶν, " ὅτι ὁ Χριστὸς ἐστὶν ἡ ἀλήθεια· ὅτι τρεῖς εἰσὶν οἱ μαρτυρῶν- " τες ἐν τῷ ἐρανῷ, ὁ Πατὴρ ὁ Λόγος καὶ τὸ Πνεῦμα τὸ " ἅγιον· καὶ ἕτοι οἱ τρεῖς ἓν εἰσί· καὶ τρεῖς εἰσὶν οἱ μαρ- " τυρῶντες ἐν τῇ γῇ, τὸ Πνεῦμα τὸ ὕδωρ καὶ τὸ αἷμα. " Καὶ ὤφθησαν αὐτοῖς γλῶσσαι διαμεριζόμεναι, ὡσεὶ πυ- " ρὸς, ἐκάθισέ τε ἐφ' ἕνα ἕκασον αὐτῶν. Καὶ ἐπλήσθησαν " ἅπαντες Πνεύματος ἁγίε, καὶ ἤρξαντο λαλεῖν ἑτέραις " γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδε αὐτοῖς ἀποφθέγγε- " σθαι. Καὶ θεασάμενος δὲ ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως " τῶν χειρῶν τῶν Ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, " προσήνεγκεν αὐτοῖς χρήματα λέγων, δότε κἀμοὶ τὴν ἐξ- " σίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ " Πνεῦμα ἅγιον. Καὶ εἶπε δὲ τὸ Πνεῦμα τὸ ἅγιον τῷ " Φιλίππῳ, πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τύτῳ. " Καὶ, ὅτε δὲ ἀνέβησαν ἐκ τῦ ὕδατος, Πνεῦμα Κυρίε ἥρ- " πασε τὸν Φίλιππον, καὶ ἀνέθη εἰς Ἄζωτον. Καὶ ἔτι

Θεῦ, συγκληρονόμοι δὲ Χριςῦ. Καὶ ὡσαύτως δὲ καὶ τὸ " Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ " γὰρ τί προσευξόμεθα καθ' ὃ δεῖ, οὐκ οἴδαμεν, ἀλλὰ τὸ " Πνεῦμα ὑπερεντυγχάνει ἡμῖν στεναγμοῖς ἀλαλήτοις· ὁ δὲ " ἐρευνῶν τὰς καρδίας οἶδε, τί τὸ φρόνημα τῦ Πνεύματος. " Καὶ ἀληθειαν λέγω ἐν Χριςῷ ὐ ψεύδομαι, συμμαρτυρέ- " σης μοι τῆς συνειδήσεώς μὐ ἐν Πνεύματι ἁγίῳ. Καὶ ὐ " γάρ ἐςιν ἡ βασιλεία τῦ Θεῦ βρῶσις καὶ πόσις, ἀλλὰ δι- " καιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι ἁγίῳ. Καὶ " ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος ἡγιασ- " μένη ἐν Πνεύματι ἁγίῳ. Καὶ ἐν τῇ πρὸς Κορινθίους πρώ- " τῃ· ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τῦ Πνεύματος αὐ- " τῦ· τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τῦ " Θεῦ· τίς γὰρ οἶδε τὰ τῦ ἀνθρώπε, εἰ μὴ τὸ Πνεῦμα τῦ " ἀνθρώπε τὸ ἐν αὐτῷ; ὕτω καὶ τὰ τῦ Θεῦ ὐδεὶς ἔγνω- " κεν, εἰ μὴ τὸ Πνεῦμα τῦ Θεῦ· ἡμεῖς δὲ ὐ τὸ Πνεῦμα τῦ " κόσμε ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τῦ Θεῦ. Καὶ " ὐκ οἴδατε ὅτι ναὸς Θεῦ ἐςὲ, καὶ τὸ Πνεῦμα τῦ Θεῦ οἰκεῖ " ἐν ὑμῖν; Καὶ πάλιν, ἢ ὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν " ναὸς τῦ ἐν ὑμῖν ἁγίε Πνεύματος ἐςὶν, ὃ ἔχετε ἀπὸ " Θεῦ; Καὶ ταῦτα τίνες ἦτε; ἀλλ' ἀπελύσασθε, ἀλλ' " ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τῦ Κυρίε Ἰη- " σῦ, καὶ ἐν τῷ Πνεύματι τῦ Θεῦ ἡμῶν. Καὶ ὐδεὶς δύνα- " ται εἰπεῖν Κύριον Ἰησῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. Καὶ " ἐγένετο πρῶτος ἄνθρωπος ὁ Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ " ἔσχατος Ἀδὰμ εἰς Πνεῦμα ζωοποιῦν. Καὶ ἐν τῇ δευτέρα, " ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ἡμῖν εἰς Χριςὸν, καὶ χρίσας ἡμᾶς " Θεὸς, ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δὺς τὸν ἀῤῥαβῶ- " να τῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. Καὶ φανερώ- " μενοι ὅτι ἐςὲ ἐπιςολὴ Χριςῦ, διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγ- " γεγραμμένη ὐ μέλανι, ἀλλὰ Πνεύματι Θεῦ ζῶντος, ὐκ " ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίαις σαρκίναις. Καὶ " πίσιν δ' ἂν ἐπισρέψη πρὸς Κύριον περιαιρεῖται τὸ κάλυμ- " μα· ὁ δὲ Κύριος τὸ Πνεῦμα ἐςὶν· ὃ δὲ τὸ Πνεῦμα Κυρίε, " ἐκεῖ ἐλευθερία· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προ- " σώπῳ τὴν δόξαν Κυρίε κατοπτριζόμενοι, τὴν αὐτὴν "

τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τινὶ τῶν ἁγίων ὁδόν. Καὶ, πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, δι' οὗ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας; Καὶ ταῦτα μὲν ὁ μακάριος Παῦλος ἐν ταῖς ἐηθείσαις Ἐπιστολαῖς δίεισι. Στέφανος δὲ ὁ πρωτάθλος ἐν ταῖς τῶν Ἀποστόλων Πράξεσι, τοὺς Ἑβραίους ἐλέγχων τάδε φησὶ, σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσὶν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ Πατέρες ὑμῶν καὶ ὑμεῖς· ὅ, τε προφήτης Ἄγαβος ἐν ταῖς αὐταῖς, τὰ δὲ λέγει τὸ Πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα ὃ ἐστὶν ἡ ζώνη αὕτη, καὶ τὰ ἑξῆς.

Ἀλλὰ τὰ μὲν τῶν Ἀποστόλων χωρὶς τῶν σεσιγημένων περὶ τοῦ Πνεύματος τοῦ ἁγίου τοιαῦτα, τὰ δὲ τῶν Προφητῶν οἷα; Τέτων γὰρ ὁ μὲν Δαβὶδ, τῷ λόγῳ Κυρίου φησὶν, οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δυνάμις αὐτῶν· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με· ἐξαποστελεῖς τὸ Πνεῦμα σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς· ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; καὶ τὸ Πνεῦμα σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ὁ δὲ Ἡσαΐας, ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου, θήσω τὸ Πνεῦμα μου ἐπ' αὐτόν. Πνεῦμα Κυρίου ἐπ' ἐμὲ οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· κατέβη Πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν αὐτούς· τάδε λέγει Κύριος ἐποιήσατε βελιὼ, καὶ ἐ δι' ἐμοῦ, καὶ σωθήκατε, καὶ ἐ διὰ τοῦ Πνεύματός μου· καὶ αὐτοὶ δὲ ἠπείθησαν, καὶ παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον· καὶ ἐπεστράφη αὐτοῖς εἰς ἔχθραν. Καὶ ὁ μὲν θεῖος Ἰεζεκιὴλ,

Φύσιν ἀπερίληπτον ταύτης, καὶ ἀμερές· καὶ ὁ τῶν Φώ- "
των Πατὴρ Πνεῦμα, καθὼς ὁ Κύριος λέγει τῇ Σαμαρείτι- "
δι, Πνεῦμα ὁ Θεὸς, καὶ τὸς προσκυνοῦντας αὐτὸν ἐν "
Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Καὶ ὁ Υἱὸς ἰδίᾳ "
καθ' ἑαυτὸν Πνεῦμα, ὡς Ἱερεμίᾳ τῷ Προφήτῃ δοκεῖ λέ- "
γοντι, Πνεῦμα πρὸ προσώπε ἡμῶν Χριστὸς Ἰησῦς. Πνεῦ- "
μα, καὶ τὸ χάρισμα τὸ πνευματικόν· ἦγεν αὐτὴ τῇ "
ἁγίᾳ Πνεύματος ἡ χάρις καὶ δυνάμις καὶ ἐνέργεια, ὡς "
τῇ τῶν ἀγγέλων Κυρίᾳ ἔφη ὁ ἄγγελος Γαβριὴλ, Πνεῦ- "
μα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δυνάμις ὑψίςε ἐπι- "
σκιάσει σοι. Καὶ Ἰωσὴφ δὲ τῷ μνήσορι πάλιν ὁ αὐτὸς, "
περὶ ταύτης, τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός "
ἐςὶν ἁγίε. Λέγεται μέντοι καὶ ὁ ἀγαθὸς ἄγγελος Πνεῦ- "
μα, ὡς λέγει Δαβὶδ, ὁ ποιῶν τὸς ἀγγέλες αὐτῦ Πνεύ- "
ματα, καὶ τὸς λειτεργὸς αὐτῦ πυρὸς φλόγα. Καὶ ὁ "
πονηρὸς ἄγγελος Πνεῦμα, ὡς λέγει ὁ Κύριος, ὅταν τὸ "
ἀκάθαρτον Πνεῦμα ἐξέλθῃ ἐκ τῦ ἀνθρώπε. Καὶ πάλ- "
λιν, τὸ Πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπιτάσ- "
σω. Καὶ ἡ τῦ ἀνθρώπε ψυχὴ Πνεῦμα, καθ' ὃ σημαινό- "
μενον γέγραπται, ἀνταναλεῖς τὸ Πνεῦμα αὐτῶν καὶ "
ἐκλείψεσι· καὶ Κύριε εἰς χεῖράς σε παρατίθημι τὸ "
Πνεῦμά με, δηλαδὴ τὴν ψυχήν με. Καὶ τὸ ἐν τῇ ἀν- "
θρωπίνῃ ψυχῇ θεωρέμενον, Πνεῦμα ἕτερον ὂν παρ' αὐ- "
τὴν τὴν ψυχὴν, Πνεῦμα λέγεται· καθὸ λέγομεν, νῦς "
ἐν ταὐτῷ καὶ λόγος καὶ Πνεῦμα ἐςὶν ἡ ψυχή· Πνεῦμα "
καὶ ὁ ἐν τοῖς θείοις λόγοις ἐγκείμενος νῦς· καθὸ σημαι-
νόμενον, ἐν μὲν τῇ Παλαιᾷ, τοῖς ἐν ταύτῃ ὁ προφήτης
ἔλεγεν Ἰεζεκιὴλ „ ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν, καὶ "
Πνεῦμα καινόν· ἐν δὲ τοῖς ἐν τῇ Καινῇ, φησὶν ὁ θειότα- "
τος Παῦλος, μὴ δελεύσωμεν παλαιότητι γράμματος, "
ἀλλὰ καινότητι Πνεύματος· καὶ πάλιν, ὃς καὶ ἐκάλεσεν "
ἡμᾶς διαθήκης καινῆς διακόνες, ἐ γράμματος ἀλλὰ "
Πνεύματος· τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ Πνεῦμα "
ζωοποιεῖ. Πνεῦμα καὶ τὸ σωεζόμενον τῇ ψυχῇ σωτει- "
δὸς· ὡς τὸ, τὶς γὰρ οἶδε τὰ τῦ ἀνθρώπε, εἰ μὴ τὸ "
Πνεῦμα τὸ ἐν αὐτῷ; Πνεῦμα καὶ ἡ διάνοια, ὡς τὸ εἰρη- "

ἑαυτῦ Θεότητος καὶ τῆς τῦ Πατρὸς, ὁτὲ μὲν λέγων, „ ὁ Πατήρ μὲ ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· ὁτὲ δὲ, ὁ μὴ τιμῶν τὸν Υἱὸν, ὐ τιμᾷ τὸν Πατέρα. Καὶ ὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ· ὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός. Καὶ ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί. Καὶ ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν· καὶ ἄλλα μυρία τύτοις ταυτά· πῶς τοῖς ἑαυτῦ μαθηταῖς, καὶ τύτων μάλιστα τοῖς τῶν πάντων μυστικωτέροις, καὶ ταῦτα ἐν τῷ δείπνῳ τῷ μυστικῷ, ὅπε τὰ τελευταῖα διετίθετο, καὶ τὰ τελεώτατα μυστήρια παρεδίδε, μηδενὸς παρόντος τῦ ἀντιπίπτοντος, τὸ πάντων ἀναγκαιότατον δόγμα, καὶ ὃ μηδαμῦ πρότερον εἶπε, περὶ τῦ Πνεύματος λέγων, ὐ τελείως ἐφθέγξατο; Εἶτα ὁ μὲν Κύριος μετριάζων σεσίγηκε τῦτο διὰ τὸ ἀνθρώπινον, οἱ Προφῆται δὲ πάντες, οἵτε Ἀπόστολοι, καὶ οἱ Διδάσκαλοι τῦτο τίνος ἕνεκα σεσιγήκασιν; ἢ τάχαπε καὶ αὐτοὶ μετριάζοντες;

Τὶ δὲ καὶ εἰσηγῦνται τοῖς θέλεσιν εὐσεβεῖν ἕτωσί; λεγέσθω ὑφ' ὑμῶν περὶ τῦ ἁγίε Πνεύματος μόνα τὰ γεγραμμένα· εἰ δέτι μὴ γέγραπται, μὴ πολυπραγμονῶμεν· αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε τὰς Γραφὰς, αὐτὸ καὶ περὶ ἑαυτῦ εἴρηκεν ὅσα ἐβύλετο, καὶ ὅσα ἐχωρεῖμεν· λεγέσθω ὅσα εἴρηκεν, ὅσα δὲ ὐκ εἴρηκεν, ἡμεῖς ὐ τολμῶμεν πολυπραγμονεῖν. Καὶ πάλιν, χρὴ γὰς ἀπαραίβατον μένειν τὶν ἐν τῷ ζωοποιῷ Πνεύματι παράδοσιν, ἢ προσθῆναί τι, ἢ ἀφελεῖν, ζωῆς ἐστὶν ἀίδιε προδήλως ἔκπλωσις. Καὶ αὖθις, ὐ τολμητέον εἰπεῖν, ἕτε μὶν ἐννοῆσαι περὶ τῆς ὑπερσίε Θεότητος, παρὰ τὰ θεοπνεύστως ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. Πρὸς δὲ, κἂν ἄγγελος ἐξ ὐρανῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Καὶ πρό γε πάντων αὐτὸς ὁ Θεὸς, φυλάξη φησὶ, τὸ ῥῆμα ὃ ἐγὼ ἐντέλλομαί σοι σήμερον, ὐ προσθήσεις ἐπ' αὐτῷ, ὐκ ἀφελεῖς ἀπ' αὐτῦ.

Εἰδέπε τὶς τῶν Δυτικῶν θεολόγων εἴρηκε τῦτο ἐφάπαξ, σκεπτέον μὴ τῷ ἐπ' ἄλλῳ σκοπῷ εἰρημένῳ, ἐφ'

ὁ γὰρ τὰ αὐτῆ τῆ δεσπότη ποιησάμενος, ὲ τὰ αὐτῆ τῆ δεσπότη ἐποίησεν, ἀλλὰ τὰ δεσπότη αὐτῆ· ὥσε ὅταν διαθρέψῃς πάντα σαυτὸν νόμιζε διατρέφειν· τοιαύτη γὰρ ἡ τῆ πράγματος Φύσις· ἐξ ἡμῶν εἰς ἡμᾶς μεταχωρεῖ τὰ διδόμενα. Πλὴν ὁ μὲν ἔχων δύο χιτῶνας, τὸν οὐα τέτων τῷ μὴ ἔχοντι δότω, καὶ ὁ ἔχων βρώματα τοῖς μὴ ἔχεσιν, ὡς τῷ Προδρόμῳ δοκεῖ· ὁ δὲ διδασκάλε κεκτημένος ἀξίωμα, ὲ μέχρι τῆς περὶ τὰ ἔξω Φιλοφροσύνης τὴν ἐλεημοσύνην περιορίσει, ἀλλὰ καὶ ἐνδοτέρω χωρήσει τῆ Φαινομένε· καὶ κατασκευώσει μὲν εἰς τόπον χλόης θρέμματα λογικά, ἐπὶ δὲ ὕδατος ἀναπαύσεως αὐτὰ διαθρέψει· καὶ τὸν μὲν ἐκδημήσαντα τῆς ἰδίας πατρίδος, ἐπὶ τὴν ἰδίαν ἑξίαν ἀσμένως χειραγωγήσει, τὸν δὲ ἀπογυμνωθέντα τῆς πατρικῆς ὐσίας ἐνδύσει πάλιν· τὸν ἀθανῆντα τῇ πίσει ἐπὶ τὴν ποθεμένην ὑγείαν ἀνακαλέσεται, καὶ τὸν καθειργμένον ἐν τῷ ζόφῳ τῆς ἀγνοίας, ἐπὶ τὸ Φῶς προαγαγεῖν τῆς ἐν Χριῳ πολιτείας ἐπιμελήσεται.

Ὅτι πολλὴ ἐσὶν ἡ διαφορὰ καὶ ἐπὶ τῆ σκοπῆ τῆς ἐλεημοσύνης, ὡς καὶ τῇ Φύσει τῆ πράγματος, καὶ τοῖς ἁγίοις Πατράσι δοκεῖ. Ἔσι γάρ τις ποιῶν ἐλεημοσύνην, διὰ τὸ εὐλογηθῆναι τὸ χωρίον αὐτῆ, καὶ ὁ Θεὸς διασώζει αὐτό· ἄλλος ποιεῖ διὰ τὸ φυλαχθῆναι τὰ τέκνα αὐτῆ, καὶ ὁ Θεὸς φυλάτ ει τὰ τέκνα αὐτῆ· ἄλλος ποιεῖ διὰ τὸ δοξασθῆναι, καὶ ὁ Θεὸς δοξάζει αὐτόν· καὶ ἐκ ἀθετεῖ ὁ Θεὸς τινὰ, ἀλλὰ ὃ θέλει ἕκασος παρέχει αὐτῷ, ὅταν μὴ βλάπτηται ἡ ψυχὴ αὐτῆ· ἀλλ' ὅτοι πάντες ἀπέχεσι τὸν μισθὸν αὐτῶν· ἐδοὺ γὰρ ἀπέδοντο ἑαυτοῖς παρὰ τῷ Θεῷ· ἐπειδὴ καὶ ὁ σκοπὸς ὃν προέθντο, ἐκ ὗ διὰ τὴν ὠφέλειαν τῆς ψυχῆς. Διὰ τὸ εὐλογηθῆναι τὸ χωρίον σε ἐποίησας; εὐλόγησεν ὁ Θεὸς τὸ χωρίον σε· διὰ τὸ διασωθῆναι τὸ πλοῖον ἐποίησας; ὁ Θεὸς ἐφύλαξεν αὐτό· διὰ τὸ δοξασθῆναί σε ἐποίησας; ὁ Θεὸς ἐδόξασέ σε· τί ἓν χρεωτεῖσοι ὁ Θεός; ἀπέδωκε γάρ σοι τὸν μισθὸν δι' ὃν ἐποίησας. Ἔσι δὲ καὶ ἄλλος ποιῶν ἐλεημοσύνην,

ξιοῦν αὐτὸν, τὴν χεῖρα ὀρέγειν τῷ Χριστῷ; πόσους ἱκέτας ὁ Ἀβραὰμ ἐκέκτητο; πόσας εἶχε θεραπαίνας ἡ Σάῤῥα; ἀλλὰ δι' ἑαυτῶν πᾶσαν διακονίαν ξένου ὑπερβαλλόντως αὐτοὶ ἐπλήρουν· καὶ ὁ μὲν ἐπὶ τὰς βοῦς μόσχον ἐνέγκαι ἔτρεχεν, ἡ δὲ δι' ἑαυτῆς φυρῶσα, καὶ πᾶσαν σπουδὴν ἐπιμελέστατα ποιουμένη, ὡς ἐκ προσώπου Θεοῦ πεμφθέντας, ταύτῃ τοὺς ξένους ἀνέπαυε· ταύτῃ τοι καὶ αὐτὸν τὸν Θεὸν ὑποδέξασθαι κατηξίωται.

Ἐν τῷ οὖν εὖ ποιεῖν, χρὴ δεικνῦναι καὶ ῥήμασι καὶ ἤθει καὶ πράγμασιν αὐτοῖς, ὅτι οὐκ εὖ ποιεῖ ὁ εὖ ποιῶν, ἀλλ' εὖ πάσχει μᾶλλον· πληθύνει τὰ ἑαυτοῦ, οὐχὶ δαπανᾷ· καὶ εὐεργετεῖται αὐτὸς, οὐκ εὐεργετεῖ. Ὥσπερ γὰρ ὁ νομίζων ζημιοῦσθαι οὐδὲν κινδυνεύει, οὕτως ὁ ἡγούμενος εὖ πάσχειν πολλαπλάσιον ποιεῖ τὸ διδόμενον. Ἰατροὶ τῶν ἡμετέρων τραυμάτων εἰσὶν οἱ πένητες· οὐχ οὕτως ἰατρὸς χεῖρας ἐκτείνων, καὶ φάρμακα ἐπιτιθεὶς θεραπεύει τὰ τραύματα, ὡς πένης χεῖρα ἐκτείνων, καὶ τὰ παρ' ἡμῶν λαμβάνων, τὸ πολὺ τῶν ἁμαρτιῶν ἡμῶν ὑποτέμνεται. Ὥστε μείζονα λαμβάνεις, ἢ δίδως· εὐεργετῇ μᾶλλον, ἢ εὐεργετεῖς· αὔξεις τὸν πλοῦτον, οὐχὶ μειοῖς· Θεῷ δανείζεις καὶ οὐκ ἀνθρώποις· εἰς τὸν οὐρανὸν σπείρεις οὐχὶ εἰς τὴν γῆν· ἔνθα οὐ κρυμὸς, οὐ χειμὼν, οὐδέ τι λυμήνασθαι δύναται τὸ σπειρόμενον. Δύο εἰσὶ τὰ λυμαινόμενα τοῦτον τὸν σπόρον, φειδὼ καὶ κενοδοξία· ὁ σπείρων φησὶ φειδομένως, φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Καὶ σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστεράσου τὶ ποιεῖ ἡ δεξιά σου· ἵνα μὴ σκορπίσῃ ἡ κενοδοξία τὸν καρπὸν τῆς ἐλεημοσύνης. Διὰ τοῦτο δέδωκέ σοι ὁ Θεὸς τὰ ἀναγκαῖα, πρῶτον μὲν ἵνα μὴ πρὸ θανάτου ἔξωθεν ἐπιόντος, θάνατον ἔσωθεν ἐπιόντα ὑπομείνῃς ἀνέλπιστον· ἔπειτα ἵνα μὴ κατ' αὐτοῦ γογγύζῃς τοῦ κτίσαντος, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών σε οὐδαμῶς προνοεῖταί σου· διὰ τοῦτο δέδωκέ σοι καὶ περιττὰ τοσαῦτα, πλείω τῶν ἀναγκαίων, ὅσα οὐδ' ἀριθμῆσαι σοι ῥᾴδιον, ἵνα πᾶν τοῖς μὴ ἔχουσιν παραχὼν περιττεῦόν σοι, ἀπειροπλάσιον

εὕροις

γίζεθαι δίκαιον. Ἡ ταπείνωσις καὶ χωρὶς ἔργων πολλὰ συγχωρεῖ πλημμελήματα· ταῦτα δὲ χωρὶς αὐτῆς τὰς κλησαμένας ἀπώλεσαν. Ἐπὶ τίνι δὲ καὶ μέγα φρονεῖς; ὅτι πλήσιος ὢν παρέχεις πάνησιν; εἰ μὲν ἐξ ἀδικίας συνέλεξας ταῦτα, τί τὰ ἀλλότρια σκορπίζων κενοδοξεῖς; εἰ δὲ ἐκ τῶν σῶν ἱδρώτων καὶ πόνων, ὀχαρίσει τῷ τιὼ ἰχιώ σοι χαρισαμένῳ· δόξαζε τὸν εἰς τέτό σε ὁδηγῆνται· σώες τὶς αὐτὸς εἶ, καὶ τίνος ἐσὶ τὰ διδόμενα. Εἶτα πρὸς τέτοις, ὅτι ἐκ ἀρκεῖ τὸ δῆναι ἐλεημοσιώλιν εἰς τὸ δεχθιῶναι, ἀλλ' ὅταν ἀηδῶς τὶς παρέχη, ὅταν μετὰ ἀνάγκης, ὅταν ἐξ ἀδικίας, ὅταν πρὸς κενοδοξίαν βλέπων, ὀίχεται ὁ καιρὸς, ὅπερ καὶ ἐπὶ πασῶν ἀρετῶν συμβαῖνον ἴδοι τις ἄν. Μεγάλη τῆς ἐλεημοσιώης ἡ διώαμις, ἀλλ' ὅταν μετὰ γνώσεως γένηται „ μακάριος φησὶν ὁ σιωιῶν ἐπὶ πλωχὸν καὶ πένητα· καὶ τίς ἐσιν ὁ σιωιῶν; ὁ νοῶν τὶ ἐσὶ πένης, ὁ τιὼ θλίψιν αὐτῆ καταμανθάνων· ὁ γὰρ κατανοῶν τιὼ θλίψιν τῆ πένητος ὀθὺς αὐτὸν ἐλεήσει καὶ ἀ παρόψεται· ννοεῖ γὰρ ὀθὺς τὶς ἂν ιῶ, εἰ αὐτὸς ἐκεῖνος ιῶ, ὁ ὐτυγχάνων τέτῳ πλωχός· καὶ τὶ ἂν ἠθέλησεν ἵτως αὐτῷ διακειμένῳ, τὰς πάντας ποιεῖν· τῆτο δὲ λογιζόμενος, ἵτως ἐκεῖνον θεραπεῦσαι σπεδάζει, ὡς ἑαυτόν. Ἀλλ' ἵνα μὴ τὰς ἀκοὰς ὑμῶν ὐσχλῶμεν τὸν λόγον μηκύνοντες, τέλος δεῦρο τῆ λόγῳ ἀκέσατε· σωιδόντες ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι ἀγάπης δίχα ἀδεὶς σωτηρίας ἔτυχεν, ἀγάπιω δὲ χωρὶς ἐλεημοσιώης συσιῶναι ἀμήχανον, ἀμφοτέρας ἕως ζῶμεν κτησώμεθα, ἵνα καὶ αὐτοὶ ἐλεηθῶμεν παρὰ Χριςῆ· ᾧ ἡ δόξα σὺ τῷ Πατρὶ αὐτῆ καὶ τῷ Πνεύματι· γένοιτο.

ΛΟΓΟΣ

ξειλαν ὁ Θεὸς τὸ Πνεῦμα τῦ Υἱῦ αὐτῦ εἰς τὰς καρδίας " ἡμῶν κράζον ἀββᾶ ὁ Πατήρ· τό, τε ἐν τῇ πρὸς Θεσσα- " λονικεῖς δευτέρᾳ, τὸ „ ὃν Κύριος Ἰησῦς ἀνελεῖ τῷ Πνεύ- " ματι τῦ στόματος αὐτῦ· τὸ, δυνάμις παρ' αὐτῦ ἐξήρ- " χετο καὶ ἰᾶτο πάντας, ὅπερ ἐν τῷ ἕκτῳ τῦ κατὰ αὐ- " τὸν Εὐαγγελίε φησὶν ὁ Λουκᾶς· τὸ, „ εἰ δὲ ἐγὼ ἐν δακτύ- " λῳ Θεῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς " ἡ βασιλεία τῦ Θεῦ, ὃ λέγει ὁ Κύριος ἐν τῷ ενδεκάτῳ " τῦ αὐτῦ· τὸ „ πάντα τὰ ἐμὰ σὰ ἐστὶ, καὶ τὰ σὰ ἐμά· " τὸ, πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· τὸ, ἐγὼ καὶ ὁ " Πατὴρ ἓν ἐσμέν· τὸ, ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ " ἐν ἐμοί· τὸ, ἐνεφύσησε καὶ εἶπε τοῖς μαθηταῖς, λάβετε " Πνεῦμα ἅγιον· τὸ, ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τῦ ἐμῦ " λήψεται καὶ ἀναγγελεῖ ὑμῖν· καὶ τὸ, ὃν ἐγὼ πέμψω " ὑμῖν παρὰ τῦ Πατρὸς, ἃ κεῖται ἐν τῷ κατὰ Ἰωάννην " Εὐαγγελίῳ. Ταῦτα γὰρ ἅπαντα πρὸς ἕνα σκοπὸν ἀφο- " ρᾷ τὸ παραξῆσαι τὴν συμφυΐαν τῦ παρακλήτε πρὸς τὸν Υἱὸν, καὶ τὸ ἴσον καὶ ταυτὸν τῆς ὐσίας καὶ ἐνεργείας, ἧς ἔχει πρὸς τὸν Θεόν· καὶ δῆλον ἐκεῖθεν.

Ὅτι περὶ τῦ μὲν, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τῦ Πατρὸς, φησὶν ὁ Θεῖος Χρυσόστομος ἐν τῷ περὶ τῦ Πνεύ- ματος λόγῳ „ ἐὰν ἀκούσῃς λέγοντος τῦ Σωτῆρος ἀποστε- " λῶ ὑμῖν τὸ Πνεῦμα τὸ ἅγιον, μὴ τὴν θεότητα ἐκλά- " βῃς, Θεὸς γὰρ ἐκ ἀποστέλλεται· ὀνόματά ἐστι ταῦτα τὴν " ἐνέργειαν σημαίνοντα. Καὶ ὁ μακάριος Αὐγυστῖνος ἐν τῷ πεντεκαιδεκάτῳ περὶ Τριάδος „ τὸ μὲν ἀποστέλλεσθαι ἐν " τοῖς θείοις προσώποις, ἐχ ἁρμόζει παντὶ προσώπῳ, ἀλ- " λὰ μόνῳ τῷ ἐξ ἑτέρε ὄντι φησὶ, τὸ δὲ ἀποστέλλειν παντὶ " προσώπῳ ἔπεται. Καὶ ὁ Θεῖος Ἀναστάσιος ἐν τῷ λόγῳ ᾧ ἐπιγέγραπται περὶ τῶν καθ' ἡμᾶς ὀρθῶν τῆς ἐκκλη- σίας δογμάτων „ ἐχ ὅτι δὲ πέμπεται τὸ Πνεῦμα τὸ ἅγιον, " ἔλαττον αὐτὸ Πατρὸς καὶ Υἱῦ κατὰ τὴν ὐσίαν νομίζο- " μεν· τῦτο μηδεὶς ὑπολάβοι· ὑπηρέτου γὰρ ὡς διάκονον, ἀλλ' ὡς " ὁμόσιον ἀποστέλλεται, καὶ ὡς ἰσότιμόν τε καὶ συμφυές. " Εἶτα τὸ μὲν Πνεῦμα τὸ ἅγιον ἐκ τῦ ὁράτε κόσμε τὸν

σικὴν οἰκειότητα κατασημαίνοι ἂν, ὅτι πȣ τὴν ὡς ἐν με- "
θέξει διῃρημένην, ᾧδέπῃ νοήσεις καὶ ἐφ' Υἱȣ̃ καὶ Πνεύ- "
ματος. Ἔπειτα πῶς ἂν εἴη ταυτὸν, τὸ, λήψεται ἐκ "
τȣ̃ Υἱȣ̃, τῷ ἐκπορεύεσθαι ἐξ αὐτȣ̃, εἴπερ τὸ μὲν τȣ̃ μέλ-
λοντος χρόνȣ, καὶ δι' ἡμᾶς· ἀναγγελεῖ γὰρ ὑμῖν· ἡ δὲ
τȣ̃ ἁγίȣ Πνεύματος ὕπαρξις ȣ̓τ' ἐν χρόνῳ, ȣ̓τε δι' ἡμᾶς;
ὥςε τὴν διδαχὴν φησὶ λήψεται, ȣ̓ τὴν ὕπαρξιν· τὸν λό-
γον, ȣ̓ τὴν ὀντότητα· καὶ τὸ ἀναγγελεῖ, τὴν τȣ̃ λό-
γȣ ἔννοιαν δείκνυσιν· εἰ δὲ καὶ περὶ τῆς ὑπάρξεως τȣ̃
Πνεύματος ἦν ὁ σκοπὸς τῷ Σωτῆρι, ȣ̓δ' ȣ̓τω κατ' Ἰτα-
λȣ̀ς συνεπέραινεν, αὐτὸν σαφῶς τὸν Πατέρα τȣ̃ ἄρθρȣ
δηλȣ̃ντος εἶναι τȣ̃ Πνεύματος αἴτιον· καὶ ταῦτα μὲν
τροχάδην εἰρήσθω· περὶ τȣ̃ ἐκ τȣ̃ ἐμȣ̃ λήψεται.

Ἐκεῖνα δὲ περὶ τȣ̃ ἐμφυσήματος ῥηθήτω κατὰ και-
ρὸν, ὅτι καὶ περὶ τȣ́τȣ ἡ χρυσῆ γλῶσσα διέξεισιν ȣ̓τωσί·
„ ȣ̓κ ἂν δέ τις ἁμάρτοι, καὶ τότε εἰληφέναι αὐτȣ̀ς λέ- "
γων ἐξȣσίαν τινὰ πνευματικὴν καὶ χάριν, ὥςε ἀφεῖναι "
ἁμαρτήματα· διὸ καὶ ἐπήγαγεν, ὧν ἀφῆτε ἀφέονται· "
δεικνὺς ποῖον εἶδος ἐνεργείας δίδωσι· καὶ γὰρ ἄφατος τȣ̃ "
Πνεύματος ἡ χάρις, καὶ πολυειδὴς ἡ δωρεά· τȣ̃το δὲ "
γίνεται ἵνα μάθῃς, ὅτι Πατρὸς καὶ Υἱȣ̃ καὶ Πνεύματος "
ἁγίȣ μία ἡ δωρεὰ, καὶ ἡ ἐξȣσία. Ὅ, τε μέγας Βασί- "
λειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον Κεφαλαίοις „ ἀνακαινί-
ζων φησὶ τὸν ἄνθρωπον ὁ Κύριος, καὶ ἦν ἀπώλεσε χάριν "
ἐκ τȣ̃ ἐμφυσήματος τȣ̃ Θεȣ̃, ταύτην πάλιν ἀποδιδȣ̀ς, "
ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν, τὶ φησί; λά- "
βετε Πνεῦμα ἅγιον· ἄντινων ἀφῆτε τὰς ἁμαρτίας, "
ἀφίενται αὐτοῖς, ἄντινων κρατῆτε κεκράτηνται. Ἄλ- "
λως τε τὸ ἐμφύσημα τȣ̃το σαρκικὸν, καὶ ὁ θεῖος Αὐ-
γȣςῖνος ἐν τῷ περὶ Τριάδος βιβλίῳ, καὶ ὁ τῆς Ἀλε-
ξάνδρȣ Κύριλλος ἐν τῷ εἰς τὰς Βασιλίδας αὐτȣ̃ λό-
γῳ δείκνυσιν· ὁ μὲν λέγων „ ȣ̓δὲ γὰρ τὸ σωματικὸν "
ἐκεῖνο ἐμφύσημα, σὺν αἰσθήσει τȣ̃ σωματικῶς θιγγά- "
νειν, ἡ ȣ̓σία τȣ̃ ἁγίȣ Πνεύματος ἦν· ὁ δὲ, διατὶ δὲ καὶ "
διὰ σαρκικȣ̃ φυσήματος τὸ Πνεῦμα δίδωσι; Κομιδῇ δὲ "

Πνεύματος· ἐ γὰρ ἔχει πρὸς τὸν Πατέρα προσωπικὴν ταυτότητα καὶ ὁ Υἱὸς, καθάπερ ἐδὲ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ κατ' ἐσίαν μόνον.

Τὸ δὲ πάντα τὰ ἐμὰ σὰ ἐστὶ καὶ τὰ σὰ ἐμὰ, καὶ πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν, οἱ θεῖοι διδάσκαλοι ἐξηγέμενοι, ἐκεῖνα φασὶν ἔχειν τὸν Υἱὸν, ὅσα ἁρμόζει Θεῷ ἢ Θεῷ, ἐχ ἵνα δὲ καὶ αὐτὸς τὸ Πνεῦμα προβάλῃ καθὸ προβολάς· διεσι γὰρ Ἀθάνασιος ὁ πολύτλας, ἵνα τὲς ἄλλες παρῶ, περὶ τέτε ῥητῶς „ ἐχ ἕνεκεν κτισῶν πραγμάτων ὁ Σωτὴρ ἔφη, ὅτι πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν, ἀλλ' ὅσα ἀνήκει τῇ Θεότητι τῇ Πατρὸς, αὐτῇ ἴδια εἶπεν ὁ Κύριος· ἔχει δὲ ὁ Πατὴρ τὸ κτίζειν, τὸ δημιεργεῖν, τὸ εἶναι παντοκράτορα, τὸ ἄτρεπλον, καὶ τὰ τοιαῦτα. Ἄλλως τε, εἰ μὲν ὁ Υἱὸς πάντα εἶχε μόνος τὰ τῇ Πατρὸς, τὸ δὲ Πνεῦμα τέτων ἀπεξένωτο πάντων, εἶχεν ἂν χώραν τὸ δόγμα ὑπονοέντων ἐνίων, ἐπεὶ ὁ Πατὴρ ἐξ ἑαυτῇ τὸ Πνεῦμα προβάλλει, ἔχει δὲ μόνος πάντα τὰ τῇ Πατρὸς ὁ Υἱὸς, ἐξ ἅπαντος τρόπε καὶ αὐτὸς προβάλλει τὸ Πνεῦμα τὸ ἅγιον· εἰ δὲ ὅσα ἐστὶ τῇ Πατρὸς καὶ τῇ Υἱῇ κοινωνικῶς καὶ ἰδιωμενίως, καὶ τῷ ἁγίῳ Πνεύματι ὁ θεαρχικὸς ἀνατίθησι λόγος· καὶ τὰ κοινὰ Πατρὶ καὶ Υἱῷ ταῦτα κοινὰ καὶ τῷ Πνεύματι· καὶ πάντα ὅσα ἔχει καὶ ἐστὶν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, ἔχει καὶ ἐστὶ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πλὴν τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως· καὶ πάντα τὰ τῇ Πατρὸς αὐτῇ ἐστὶ τῇ Πνεύματος, πλὴν τῆς ἀγεννησίας· καὶ πάντα τὰ τῇ Υἱῇ ἐστὶ καὶ τῇ Πνεύματος, πλὴν τῆς γεννήσεως, καθὼς πᾶσιν ἁγίοις δοκεῖ· πῶς ἂν ὁ Υἱὸς δίχα τῇ Πνεύματος ἐκπορεύειν ἔχοι τὸ Πνεῦμα, ἐπεὶ πάντα τὰ τῇ Πατρὸς αὐτῇ εἰσὶ, καὶ τὰ αὐτῇ τῇ Πατρός;

Τὸ δὲ, εἰ δὲ ἐγὼ ἐν δακτύλῳ Θεῇ ἐκβάλλω τὰ δαιμόνια, ὁ θεῖος Κύριλλος ἐξηγέμενος, ἐν μὲν τῇ βίβλῳ τῶν Θησαυρῶν ἕτω τιθησι „ δάκτυλον ἐνθάδε φησὶ, τὸ Πνεῦμα τὸ ἅγιον, τρόπον τινὰ τῆς θείας ἐσίας ἐκπεφυκὸς, καὶ φυσικῶς αὐτῆς ἐκκρεμάμενον, ὥσπερ καὶ ὁ δά-

Τὸ δὲ δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἵστατο πάντας, οἱ τῆς ἐκκλησίας διδάσκαλοι ἀναπλύσαντες, νῦν μὲν φασὶν, ἔρχεται δύναμις ἀπὸ Χριστοῦ, ὑ τοπικῶς μεταβαίνουσα, ἀλλὰ πρὸς τὰς ἄλλας διαδιδομένη, καὶ ἐν τῷ Χριστῷ ἀμείωτος μένουσα· ὥσπερ καὶ τὰ μαθήματα, καὶ παρὰ τοῖς διδασκάλοις εἰσὶ, καὶ τοῖς μαθηταῖς παραδίδοται· νῦν δὲ, οἱ μὲν Προφῆται ἐκ εἶχον δυνάμεις ἀπ' αὐτῶν ἐξερχομένας, χάριτι γὰρ Θεοῦ ἐθαυματέργουν· ὁ δὲ Ἰησοῦς πηγὴ ὢν παντὸς ἀγαθοῦ καὶ πάσης δυνάμεως, πολλὰς ἔχει δυνάμεις ἀπ' αὐτοῦ ἐξερχομένας. Εἰ δὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐν, ὁ δὲ Κύριος πολλὰς δυνάμεις ἀπ' αὐτοῦ προϊόσας ἔχει· καὶ ὁ μὲν παράκλητος ὑ μερίζεται, αὕτη δὲ ἡ δύναμις καὶ πρὸς ἄλλας διαδίδοται· πῶς ἐστὶν ἐνταῦθα νομίζειν, αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον; Ἔπειτα καὶ τὸ τῆς δυνάμεως ὄνομα κοινὸν ἐστι τῆς Τριάδος. „ καὶ γὰρ καὶ ὁ Πατὴρ δύναμις, ὡς ὁ Κύριος φησὶν, ὄψεσθε τὸν Υἱὸν καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως· καὶ ὁ Υἱὸς ὡσαύτως· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ὡς φησὶν ὁ Ἀπόστολος· ἀλλὰ καὶ τὸ Πνεῦμα δύναμις· λέγει γὰρ τοῖς ἀποστόλοις ὁ Κύριος, ἕως ἂ ἐνδύσησθε δύναμιν ἐξ ὕψους· καὶ ὅλη αὐτὴ ἡ ἁγία Τριὰς μία δύναμις λέγεται, ὥσπερ μία θεότης, καὶ μία μορφή. Εἰ δὴ ταῦτα ἀληθῆ πῶς ἐστὶ δίκαιον διὰ τοῦτο νομίζειν τὸ Πνεῦμα προσωπικῶς ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, διὰ τὸ εἰρῆσθαι καθάπαξ δύναμιν παρ' αὐτοῦ ἰαματικὴν καὶ θαυματέργον ἐξέρχεσθαι; Φησὶ γὰρ ὁ θεῖος Κύριλλος ἐπεξηγούμενος τοῦτο τὸ ῥητὸν „ ὃ γὰρ ἰσχὺ ἐδανείζετο τινὶ παρ' ἑτέρου ὁ Χριστὸς, ἀλλ' αὐτὸς ὢν φύσει Θεὸς, εἰ καὶ γέγονε σὰρξ τινὶ ἐπὶ τοῖς κάμνουσιν ἐκπέμπων δυνάμιν, ἴατο πάντας. Καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Νεστορίου αὐτοῦ ἐννάτου ἀναθεματισμοῦ δείκνυσιν ὅτωσὶ „ ἄνθρωπος γεγονὼς ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, ἀπομεμένηκε καὶ ἔστω Θεὸς, πάντα ὑπάρχων ὅσα καὶ ὁ τοῦτο Πατὴρ, δίχα μόνου τοῦ εἶναι Πατὴρ, καὶ ἴδιον ἔχων τὸ ἐξ αὐτοῦ ἐσιωπῶς ἐκπεφυκὸς Πνεῦμα, ἅτε τῶν ὅλων Θεὸς ἀπειργάζετο τὰς θεοσημείας· προείρηται δὲ, ὅτι ὅσα ἐστὶν ὁ

τῶν ἀναφορικῶν, καὶ πρὸς τὸν πνέοντα ὡς εἰς αἴτιον ἀναφέρεται, τίνος πνέοντος ἡ Τριὰς ὅλη, ἢ ὁ Πατὴρ Πνεῦμα; καὶ πρὸς τίνα ὡς εἰς αἴτιον ἀναφέρεται; Πάλιν, εἴπερ ἡ πνεῦσις τρόπος ἐστὶ τῆς τοῦ Πνεύματος ὑπάρξεως, καθὼς ἡ ἐκπόρευσις παρὰ πᾶσι πιστεύεται, ἐπεὶ καὶ τὸ Πνεῦμα πνέει αὐτὸ ἑαυτό, ἆρα προσωπικῶς ἐκπορεύσει, ἢ πάντως πρόσωπον ἕτερον· πνεῖ γὰρ φησὶν ὁ θεολόγος Γρηγόριος ὅπου θέλει τὸ Πνεῦμα, καὶ ἰσχνὰ, καὶ ὅσον βέλεται. Καὶ ὁ μέγας Βασίλειος ἐν τῷ πρὸς Εὐνόμιον τεταρτῳ „τὸ τῆς ὑιοθεσίας Πνεῦμα, τὸ τῆς ἐλευθερίας αἴτιον, τὸ ὅπου θέλει πνέον θεότητα. Ὥστε ἡ πνεῦσις λεγομένη ἐπὶ τοῦ Πνεύματος, ἀ τρόπον σημαίνει ὑπάρξεως, χορηγίαν δὲ μᾶλλον, καὶ μετάδοσιν τιὼ ἐπὶ τὰ κτίσματα. Πρὸς δὲ τέτοις, τὸ τοῦ Πνεύματος ὄνομα τὸ ἀσώματον καὶ καθαρῶς ἄϋλον, καὶ ἀμερὲς βέλεται· λέγει γὰρ ὁ αὐτὸς ἐν τῷ πρὸς Ἀμφιλόχιον ενάτῳ „Πνεῦμα ἅγιον ἡ κυρία αὐτοῦ καὶ ἡ ἰδιάζουσα κλῆσις, ὅπερ δὴ μάλιστα παντὸς ἀσωμάτου καὶ καθαρῶς ἀΰλου, καὶ ἀμερὲς ὄνομα ἐστί· διόπερ ὁ Κύριος τιὼ ἐν τόπῳ προσκυνεῖσθαι τὸν Θεὸν ἡγεμονίῳ ψυχιὼ, διδάσκων ὅτι ἀπερίληπτον τὸ ἀσώματον, Πνεῦμα φησὶν ὁ Θεὸς, καὶ τὸς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ κε. Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ τὸ ἀσώματον, ἢ ἄϋλον, ἢ ἀμερὲς, ἀ τοῖς πρός τι συντάττεται, ἀδὲ ἀναφορικόν ἐστι, πρόδηλον ὅτι ἀδὲ τὸ Πνεῦμα τοιοῦτον· ταυτῃ τοι ἀδὲ τοῖς πρός τι τιὼ τοιούτῳ ἂν δοίημεν φωνιὼ, ἀδὲ μιᾷ μηχανῇ, ἀδ' ὑγιῶς ἂν λέγοιτο τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ, διὰ τὸ τοῦ Υἱοῦ Πνεῦμα λέγεσθαι· ἐπεὶ διὰ τὸ ταυτὸν τῆς ὐσίας, τοῦτο εἰρῆσθαι τοῖς ἁγίοις δοκεῖ.

„Τὸ δὲ ὃς προέγνω ὁ Θεὸς τούτους καὶ προώρισε συμμόρφους γενέσθαι τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ· εἰ μὲν τοῦ Υἱοῦ εἰκόνος τοῦ Πατρὸς λεγομένου, ἐκ ἐξιῶν ἀντιτρέφειν τὸν λόγον, ὥστε καὶ τὸν Πατέρα εἰκόνα τοῦ Υἱοῦ λέγειν, ἔχειν ἂν χώραν ὁ λόγος καὶν ὁπωσοῦν· εἰ δὲ λέγεται μὴ τοῦ

καὶ πάλιν, τιὼ μὲν πρὸς τὸν Πατέρα τῷ Πνεύματος οἰκειότητα νοῶ, ἐπειδὴ ἐκ τῷ Πατρὸς ἐκπορεύεται, τιὼ δὲ πρὸς τὸν Υἱὸν, ἐπειδὴ ἀκέω, εἴτις Πνεῦμα Χριστῷ ἐκ ἔχει, ἔτος ἐκ ἔστιν αὐτῷ· ὥστε ἡ μὲν πρὸς τὸν Πατέρα τῷ παρακλήτῳ Πνεύματος οἰκείωσις, καὶ κατ' αἰτίαν, καὶ κατ' ἐσίαν ἐστὶν οἰκείωσις, ἡ δὲ πρὸς τὸν Υἱὸν οἰκείωσις τότε ἐ κατ' αἰτίαν, ἀλλὰ κατ' ἐσίαν μόνον· ὥσπερ ἄρα ἡ μὲν πρὸς τὸν Πατέρα τῷ Υἱῷ οἰκείωσις, καὶ κατ' αἰτίαν ἅμα καὶ κατ' ἐσίαν ἐστὶν, ἡ δὲ πρὸς τὸ Πνεῦμα κατ' ἐσίαν μόνον, ἐ μιὼ καὶ κατ' αἰτίαν ἐστὶ, καθὼς ἐνταῦθα φησὶν ὁ Διδάσκαλος. Καὶ ὁ θεῖος Κύριλλος ἐν τοῖς Θησαυροῖς „Χριστὸν δὲ πάλιν ὀνόμασε τὸ Πνεῦμα καλεῖ Παῦλος λέγων, εἰ δὲ Χριστὸς ἐν ἡμῖν, ἐκ ἀλλότριον αὐτὸ δεικνύων τῆς τῷ λόγῳ φύσεως· καὶ πάλιν ἐν τοῖς αὐτοῖς, Χριστὸς καὶ τὸ Πνεῦμα, ὡς τῷ Χριστῷ διὰ Πνεύματος ἡμῖν ἐνοικιζομένῳ· καὶ πρὸς τὸν Ἀγλιοχείας Ἰωάννιν γράφων, ἐκπορεύεται μὲν φησὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ τῷ Θεῷ καὶ Πατρὸς, κατὰ τιὼ τῷ Σωτῆρος φωνιὼ, ἔστι δὲ ἐκ ἀλλότριον τῷ Υἱῷ, κατὰ τὸν τῆς ἐσίας λόγον· καὶ πάλιν, ἴδιον δὲ τὸ Πνεῦμα τῷ Υἱῷ, ὡς ὁμοούσιον ὀνομαζόμενον. Καὶ ὁ θεῖος Ἀναστάσιος, ἓ τιὼ φωνιὼ διδασκάλε ἐνόμισεν ἡ τῶν σωζόντων ἕκτη, τὸ Πνεῦμα τὸ ἅγιον λέγει, τοῖς μὲν Ἀποστόλοις σωζεσιν ἀεὶ μεθεκτῶς, τῷ δὲ Σωτῆρι Χριστῷ καὶ Θεῷ ἡμῶν, ὡς ὁμοούσιον καὶ ὁμόθεον· ταύτη τοι λέγεται, καὶ Πνεῦμα Υἱῷ, καὶ Πνεῦμα Χριστῷ. εἰκότως διὰ ταύτας γε τὰς αἰτίας λέγεται τῷτο Χριστῷ Πνεῦμα, καὶ Πνεῦμα Υἱῷ· τὸ γὰρ τοσαυτιὼ πρὸς αὐτὸν κεκτημένον σῶσιν, ὡς ὅλον ἐν ὅλῳ αὐτῷ εἶναι, κἀκεῖνος ἐν τότῳ, καὶ ἅμα αὐτῷ ἐκ τῷ αὐτῷ προσώπε τιὼ ὕπαρξιν ἔχειν μήτε τόπῳ, μήτε χρόνῳ, μήτε ἐσίᾳ, μήτε ἀξιώματι, μήτε δυνάμει, μήτε θελήσει, μήτε ἐνεργείᾳ αὐτῷ διεργόμενον, εἰκότως ἂν αὐτῷ λέγοιτο, καὶ εἰ μὴ ἐξ αὐτῷ προσωπικῶς ἐκπορεύοιτο. Τὶ δὲ τὸς τιὼ ῥῆσιν ταύτιν ἑρμηνεύσαντας διδασκάλες ἐκώλυσεν εἰπεῖν, Πνεῦμα Υἱῷ λέγεται, ὡς ἐκ τῷ Υἱῷ ἔχον τιὼ ὕπαρξιν; καὶ πρὸς τὸν Υἱὸν οἰκειότητα τῷ Πνεύματος

νοῶ,

τέχεθαι, καὶ ὑπ' ἐδενὸς ἐδενὶ μέρει· καθάπερ κέντρε « σημεῖον ἐν μέσῳ κύκλε, πρὸς πασῶν τῶν ἐν τῷ κύκλῳ « περικειμένων εὐθειῶν· καὶ ὥσπερ σφραγῖδος ἐκτύπωμα « τὰ πολλὰ μετέχει τῆς πρωτοτύπε σφραγῖδος, καὶ ἐν « ἑκάστῃ τῶν ἐκτυπωμάτων, ὅλης καὶ ταυτῆς ἔσης, καὶ « ἐν ἐδενὶ κατ' ἐδεν μέρος. Καὶ ταῦτα μὲν ἔτος κοινῇ περὶ τῆς Τριάδος φησίν· οἱ δὲ τῆς Ἀλεξάνδρε φωνῆρες, Ἀθανάσιός τε καὶ Κύριλλος περὶ τὲ Πνεύματος, ὁ μὲν, ἀὶ τὸ Πνεῦμα ἑκάστῳ ἐνεργεῖ, ταῦτα παρὰ τὲ Πατρὸς διὰ τὲ « Λόγε χορηγεῖται· διὸ καὶ τὰ παρὰ τὲ Υἱὲ ἐν Πνεύματι διδόμενα, τὲ Πατρὸς ἐστὶ χαρίσματα· ὁ δὲ, μετοχὴ « δὲ Πατρὸς δι' Υἱὲ ἐν Πνεύματι κυρίως τε καὶ πρεπόντως « ἂν γένοιτο· ὥσπερ ἔν καὶ ἡλίε μετέχομεν διὰ τῆς ἐξ αὐτὲ τιτρομένης αὐγῆς, ἐ δίχα θερμότητος, ἢ τῆς τὲ « Πνεύματος ἐνεργείας εἰκόνα φέρει. Ὅ, τε μέγας Βασίλειος, περὶ μὲν τὲ Υἱὲ, τὰ ἐκ τὲ Θεὲ φησὶν ἀγαθὰ, διὰ τὲ Υἱὲ εἰς ἡμᾶς ἀφικνεῖται, πλέονι τάχει τὰ « καθ' ἕκασον ἐνεργοῦντος, ἢ ὡς ἂν λόγος ἐξίκοιτο· ἔτε « γὰρ ἀστραπὴ, ἔτε φῶς ἐν ἀέρι, ἄτε ταχεῖα διαδρομὴ, « ἐκ ὀφθαλμῶν ὀξεῖαι ῥοπαὶ, ἐκ αὐτὲ τὲ ἡμετέρε νοήματος αἱ κινήσεις, ἀλλὰ πλέον τέτων ἕκασον τῆς ἐνεργείας κατὰ τὸ τάχος λείπεται, ἢ καθ' ὅσον τὰ νωθρότατα τῶν παρ' ἡμῖν ζώων, ἐκ ἂν ἔποιμι πλιωῶν, ἐδ' « ἀνέμων, ἢ τῆς τῶν ἀερανίων φορᾶς, ἀλλ' αὐτὲ τὲ ἡμετέρε νῶ κατὰ τλὺ κίνησιν ὑστερεῖ. Περὶ δὲ τὲ ἁγίε « Πνεύματος, τὸ Πνεῦμα τὸ ἅγιον λέγει, ἁπλῶν τῇ « ἐσίᾳ, ποικίλον ταῖς δυνάμεσιν, ἃ ἀπολαύει τὰ μετέχοντα, ὅσον αὐτὰ πέφυκεν, ἐχ ὅσον ἐκεῖνο δυνάται. «

Ἐπεὶ ἔν ὁ λόγος ἔτος ἐπίσης πάντων κατηγορεῖται πιςῶν, ὅτι ἐχ ὅσον τὸ θεῖον ἰχύει πρὸς ἡμᾶς ἐνεργεῖ, ἀλλ' ὅσον ἡμῶν ἕκασος πέφυκε τῶν αὐτὲ ἐνεργειῶν ἀπολαύομεν, κατά γε τλὺ ἐμλὺ συμβελλὺ καὶ εἰσήγησιν, οἱ ποθῆντες αὐτὲ τῆς βασιλείας τυχεῖν, ἕως καιρὸν ἔχομεν, φοβηθῶμεν τὸν Κύριον, ταπεινώσωμεν ἑαυτὲς, καθαρθῶμεν ψυχῇ τε καὶ σώματι, νηςεύσωμεν, ἐλεήσωμεν

τροφῆς, εἰδότες ὡς αἱ ἀκρότητες ἑκατέρων τῶν μερῶν ἐπίσης βλάπτουσι, καὶ ἡ τῆς νηστείας ὑπερβολὴ, καὶ ἡ τῆς γαστρὸς πλήρωσις· καὶ ἡ τῆς ἀγρυπνίας ἀμετρία, καὶ ὁ τοῦ ὕπνου κόρος, καὶ αἱ λοιπαὶ ὑπερβολαί. Διὸ δεῖ ὁδῷ βασιλικῇ πορευομένους ἡμᾶς ἐκκλίνειν τῆς ἀμετρίας· ὅτι μεσότης μὲν ἐστὶν ἡ ἀρετὴ, κακία δὲ πᾶσα ὑπερβολὴ, ἢ ἔλλειψις· ὃν γὰρ τρόπον ὑπὸ πλήθους βρωμάτων βαρούμενον τὸ σῶμα, δειλόν τινα καὶ δυσκίνητον τὸν νοῦν ἀπεργάζεται, οὕτω καὶ ἐξατονοῦν ἀπὸ πολλῆς ἐγκρατείας, συγνόντι καὶ ἀφιλόλογον τὸ θεωρητικὸν τῆς ψυχῆς ἀποτελεῖ μέρος. Δεῖ οὖν πρὸς τὰς τοῦ σώματος κινήσεις καὶ τὰς τροφὰς εὐτρεπίζεσθαι, ἵν' ὅταν μὲν ὑγιαίνῃ κολάζηται πρεπόντως, ὅταν δὲ ἀσθενῇ πιαίνηται μετρίως· οὐ γὰρ τρυφὴ, τροφὴ δὲ καὶ τοῦτο τρέφον ἐστίν· ὅτι τὰ τῶν ἀνθρώπων σώματα, συνεχεῖ μὲν τῷ κόρῳ καταβαρυνόμενα, εὐκόλως ὑποβρύχια ταῖς ἀῤῥωστίαις γίνεται, εὐσταλῆ δὲ καὶ κούφην τὴν τροφὴν κεκτημένα, καὶ προσδοκώμενον ἐκ νόσου κακὸν, ὥσπερ χειμῶνος ὑπανάστασιν ὑπεξέφυγε, καὶ ἤδη παρὸν, ὥσπέρ τινα σπιλάδος ἐπιδρομὴν διεκρούσατο· καὶ καθάπερ ἡ συνεχὴς συννεφία, οὐκ ἀφίησι τὴν ἀκτῖνα διαλάμψαι τοῦ ἡλίου πρὸς τὴν γῆν, οὕτως οἱ ἀπὸ τῆς τροφῆς ἀναδιδόμενοι ἀτμοὶ, καθάπερ τινὰ σκόπελον τὸν ἐγκέφαλον ἀπολαβόντες, καὶ πυκνὸν ἐκεῖσε στήσαντες νέφος, τὸ λογικὸν τῆς ψυχῆς μέρος οὐκ ἀφιᾶσιν ἐπὶ τὴν τῶν ὄντων θέαν ἐκτείνεσθαι, τὸν τρυφῶντα καὶ σπαταλῶντα ἐν πολλῇ σκοτομήνῃ κατέχοντες· καὶ καθάπερ πλοῖον μεῖζον τῆς οἰκείας συμμετρίας τῶν ἀγωγίμων τὸ πλῆθος δεξάμενον, τῷ μεγέθει τοῦ φόρτου βαρυνόμενον ὑποβρύχιον γίνεται, οὕτω καὶ ἡ ψυχὴ, καὶ τοῦ σώματος ἡμῶν ἡ φύσις, πλείονα δεξαμένη τῆς οἰκείας δυνάμεως τὰ σιτία ὑπέραντλος γίνεται, καὶ τὸ βάρος οὐ στέργουσα τῶν ἐπιβληθέντων, εἰς τὸ τῆς ἀπωλείας καταποντίζεται πέλαγος, καὶ ναύτας καὶ κυβερνήτην καὶ πρωρέα καὶ ἐπιβάτας, καὶ αὐτὸν τὸν φόρτον μετὰ πάντων προσαπολλύει. Ἢ καθάπερ πλημμύρας γινομένης, καὶ τοῦ ὕδατος τῶν ἐργα-

στηρίων

ὅτε τὸ διψαλέον τῷ συνεχεῖ καὶ ἀδιαστάτῳ τοῦ ῥείθρου παραμυθούμεναι. Ἐπεὶ τοίνυν ὅτε σῶμα δύναται καθαρθῆναι, κάθαρσιν λέγω πνευματικὴν, νηστείας καὶ ἀγρυπνίας χωρὶς, ὅτε δίχα ἐλέους καὶ ἀληθείας ψυχὴ, ὅτε νοῦς ἄνευ φόβου καὶ ὁμιλίας Θεοῦ, νηστεύοντες τὰς τεσσαράκοντα πάσας ἡμέρας, μηδεμίαν αὐτῶν παραδράμωμεν ἀμετάδοτοι πρὸς τοὺς χρήζοντας. Οὐδὲν οὕτω δύναται τὴν σὴν νηστείαν θεάρεστον ἀπεργάσασθαι, ὡς τὸ τῆς ἐλεημοσύνης χρῆμα· οὐδέν σε παρὰ πᾶσι περίβλεπτον καὶ πλούσιον καὶ περίφημον, καὶ ζῶντα καὶ μετὰ θάνατον, ὡς τὸ μεταδιδόναι ὧν ἔχεις ἀγαθῶν. Εἰπὲ γάρ μοι, ἐπὶ τίνι σκοπῷ τόσα ἔτη τρέχεις καὶ ἀγρυπνεῖς καὶ μοχθεῖς καὶ συνάγεις χρυσίον; οὐχ ἵνα γένῃ λαμπρὸς καὶ θαυμαστὸς καὶ ἐξάκουστος; παντίπου δῆλον, καὶ οὐδ' αὐτὸς ἀντερεῖς· οὐκοῦν εἰ ἀληθείᾳ τοῦτο βούλει γενέσθαι, ἅπερ ἔμελλες ἀναλῶσαι εἰς φίλους καὶ γείτονας, καὶ τοὺς περὶ τὸν βασιλέα μεγάλους, ὥστε συνδραμεῖν σοι ἐπιβῆναι λαμπροῦ ἀξιώματος, ἀνάλωσον εἰς τοὺς ἀδελφοὺς τοῦ Χριστοῦ, κἀκεῖνοί σοι μεσῖται γενόμενοι ἑτοιμότατοι, πείσουσι τοῦτον αὐτίκα βασιλείαν οὐρανῶν σοι χαρίσασθαι· ὃ γὰρ ἑκάστῳ παρέχεις πτωχῷ, αὐτὸς λαμβάνειν ὁμολογεῖ, καὶ πρὸς πληροφορίαν τελεωτέραν χειρόγραφόν σοι ἐποίησεν „ὁ γὰρ ἐλεῶν πτωχὸν δανείζει Θεῷ· καὶ ὃ παρέχεις ἐν τῇ χειρὶ τοῦ πένητος, τοῦτο εὑρήσεις ἐν τῇ παλάμῃ τοῦ δικαστοῦ· ὅπου κατ' ἐμὴν γνώμην, πάντα τὸν ἡμέτερον πλοῦτον προαποθώμεθα, ἵν' ὅταν ἐντεῦθεν ἀπέλθωμεν, θησαυρὸν ἀδαπάνητον εὕρωμεν ἐν Χριστῷ· ᾧ ἡ δόξα καὶ ἡ προσκύνησις εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.

ματος συμφολογῶ, καὶ τοῖς θέλουσιν ἕτω πιστεύειν ἀδελφικῶς παραινῶ, καθὼς ὁ λόγος ἕτος παραξήσας πειράσεται, ὅτι πάντες οἱ θεολόγοι παντὶ τρόπῳ διὰ τῆς ἐκ Πατρὸς καὶ Υἱῦ φωνῆς, καὶ τῶν ὁμοίων φωνῶν, τὴν ταυτότητα τῆς φύσεως, ἣν ἔχει τὸ Πνεῦμα πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν δεικνύναι θέλουσι, καὶ ἐχ ὅθεν τὴν τῆς ἑαυτῦ ὑποστάσεως ὕπαρξιν ἔχει παραξῆσαι παιδάζουσιν. Ὅτι δὲ τῦτ' ἀληθὲς, καὶ ἐκ πάντων μὲν δῆλον, μάλιστα δὲ καὶ ἐκ τῶνδε, τῶν καὶ δοκούσων καθ' ἡμᾶς ἰσχὺν ἔχειν χρήσεων.

Αὐτίκα γὰρ ὁ Κύπρος Ἐπιφάνιος, ἐν λόγῳ τῷ ἑτωσὶ καλουμένῳ Ἀγκυρωτῷ φησί· „τὸ Πνεῦμα τὸ ἅγιον, “
ἐ συναδελφον, ἐδὲ πατράδελφον, ἀλλ' ἐκ τῆς αὐτῆς “
ἐσίας Πατρὸς καὶ Υἱῦ· αὐτὸς γὰρ ὁμογενὴς λέγει, τὸ “
Πνεῦμα τῦ Πατρὸς, καὶ τὸ ἐκ τῦ Πατρὸς ἐκπορδόμε- “
νον· καὶ ἐκ τῦ ἐμῦ λήψεται. Καὶ πάλιν, ὥσπερ γὰρ “
ἐδεὶς ἑώρακε τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, ἐδὲ τὸν Υἱὸν εἰ μὴ “
ὁ Πατὴρ, ἕτω τολμῶ λέγειν, ἐδὲ τὸ Πνεῦμα εἰ μὴ ὁ “
Πατὴρ, ἐξ ἓ ἐκπορδύεται, καὶ ὁ Υἱὸς ἐξ ἓ λαμβάνει· “
ἐδὲ τὸν Υἱὸν καὶ τὸν Πατέρα, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον “
τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, ὃ παρὰ “
τῦ Πατρὸς ἐκπορδύεται, καὶ ἐκ τῦ Υἱῦ ἐστὶν, ἤτοι κατὰ “
τὸν τῆς ἐσίας λόγον. Καὶ αὖθις, ἀμφότερα κατοικεῖ “
ἐν τῷ ἀνθρώπῳ τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐ- “
τῦ· εἰ δὲ Χριστὸς ἐκ Πατρὸς πιστδύεται Θεὸς ἐκ Θεῦ, καὶ “
τὸ Πνεῦμα ἐκ τῦ Χριστῦ, ἢ παρ' ἀμφοτέρων, ὡς φησὶν ὁ “
Χριστὸς, ὃ παρὰ τῦ Πατρὸς ἐκπορδύεται, καὶ ἕτος ἐκ “
τῦ ἐμῦ λήψεται, ἵνα μὴ ἀλλότριον νομισθείη Πατρὸς, μη- “
δὲ Υἱῦ. Σωπήκατε πῶς αὐτὸς ἑαυτὸν ὁ διδάσκαλος ἐξη-
γεῖται; ἵνα μὴ ἀλλότριον νομισθείη Πατρὸς, μηδὲ Υἱῦ
τὸ Πνεῦμα, εἰρηκὼς λέγει τὸν Χριστὸν, τὸ, ἕτος ἐκ τῦ
ἐμῦ λήψεται· καὶ ἐκ τῆς ἐσίας τῦ Πατρὸς καὶ τῦ Υἱῦ
τῦτο εἶναι· καὶ ἔτι Πνεῦμα ἐκ τῦ Χριστῦ, καὶ παρ' ἀμ-
φοτέρων λέγεται, διὰ τὸν αὐτὸν λόγον, ἐ μέντοι διὰ
τὸ ἐκ τῦ Υἱῦ αὐτὸ ἐκπορδύεσθαι;

ἑκάστῳ τῶν ὑπὸ τὸ αὐτὸ εἶδος προσώπων, ἴδιον λέγεται· πρόσωπον μέντοι προσώποιν δυοῖν ἴδιον προσωπικῶς λέγειν, πλιὼ κλητικῶ, ἐκ ἐμάθομεν. Ὡσαύτως καὶ ἐν τῇ πνευματικῇ λατρείᾳ „ τρεπτὸν ἔτι πᾶ τὸ Πνεῦμα ἐσίν· “
ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτλιὼ ὁ μῶμος τλιὼ θείαν “
ἀναδραμεῖται φύσιν, εἴπερ ἐσὶ τῶ Θεῶ καὶ Πατρὸς, καὶ “
μλιὼ καὶ τῶ Υἱῶ τὸ ἐσιωδῶς ἐξ ἀμφοῖν, ἦγεν ἐκ Πατρὸς “
δι' Υἱῶ προχεόμενον Πνεῦμα. Σιώες ὁ σιωετὸς ἀκρατὴς “
τὸν προσδιορισμὸν τῶ μεγάλε, ὅτι ἐχ ἁπλῶς, ἀδ' ὑποσατικῶς ἐξ ἀμφοῖν λέγει τὸ Πνεῦμα, ἀλλὰ προσίθησι καὶ ταῦθα τὸ ἐσιωδῶς· ὅπερ ἐσὶ, τὸ τῆς αὐτῆς ἀμφοῖν εἶναι τῶτο ἐσίας· καὶ ἐπεξηγεῖται τῶτο τιθεὶς, ἦγεν ἐκ Πατρὸς δι' Υἱῶ προχεόμενον Πνεῦμα. Καὶ ἐν τῇ εἰς τὸν Προφήτλιω Ἰωὴλ ἐξηγήσει „ ἢ Θεὸς ἐσὶ φησὶν ὁ Υἱὸς, “
καὶ ἐκ Θεῶ κατὰ φύσιν γεγεννημένος, ἐξ αὐτῶ τὸ Πνεῦ- “
μα ἐσί· καθάπερ ἀμέλει καὶ ἐπ' αὐτῶ νοεῖται τῶ Θεῶ “
καὶ Πατρός· ἀκήκεις; ἦγεν, ὁ καθὸ Υἱὸς ὁ τῶ Θεῶ λό- “
γος, ὁ δὲ καθὸ προβολὸς, ἢ ἁπλῶς αἴτιος, ἀλλὰ καθὸ Θεὸς, ἐξ αὐτῶ τὸ Πνεῦμα ἐσίν· ἤτοι διὰ τὸ τῶν φύσεων ταυτόν· ὅπερ δ' ὐσεβῶς παρ' ἡμῶν ἐπίσης νοεῖται Πατρὶ καὶ Υἱῷ· τῶτο δὲ σιγῶντος μὲν ἐσὶ σαφῶς, ὅτι ὡς ἐξ αἰτίας λέγεται τὸ Πνεῦμα ἐκ τῶ Υἱῶ, ὁμολογῶντος δὲ διαῤῥήδλιν, ὅτι διὰ τλιὼ ὁμοσσιότητα μόνον, καὶ ἐσὶ ᾗ λέγεται ἐξ αὐτῶ· ἐδὲν γὰρ τῶν ἐν τῇ θείᾳ Τριάδι προσώπων, ἢ Θεὸς, ἑτέρᾳ αἴτιον λέγεται· ἐπεὶ τὸ Θεὸς ὄνομα κοινὸν ἐσὶ τοῖς τρισίν· ἔτε γὰρ ὁ Πατὴρ, ἢ Θεὸς, γεννᾷ· εἶχε γὰρ αὐτὸ τῶτο καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα· ἔτε μλιὼ ὁ Υἱὸς, ἢ Θεὸς, ἐξ αὐτῶ τὸ Πνεῦμα προϊὸν κέκτηται, εἰ τῶτο συγχωρηθείη καθάπαξ· προσλιῶ γὰρ ἂν τῶτό γε καὶ τῷ Παρακλήτῳ. Θεὸς γὰρ ἐσὶ καὶ αὐτὸς τὸν ἴσον τρόπον, ὥσπερ καὶ ὁ Υἱός· ἐκ ἄρα τλιὼ αἰτίαν σύταῦθα τὸ ἐξ αὐτῶ δείκνυσιν, ἀλλά γε τλιὼ πρὸς τὸ Πνεῦμα συμφυίαν αὐτῶ. Εἰ δέτισε θορυβεῖ τὸ εἰρῆθαι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτῶ νοεῖται τῶ Θεῶ καὶ Πατρὸς, ἄκεσον αὐτῶ ἑαυτὸν ἐξηγεμένε, καὶ παῦσαι ταύτης τῆς ἀγωνίας. Ἐρωτώμενος γὰρ τίνος ἴδιον φα-

θαι, πρὸς τίνα σκοπὸν ἀφορῶν, ἕτω τέθεικε ταύτας ὁ τιὼ σοφίαν πολύς; φησὶ γὲν ἐν τῇ πρὸς Μαρῖνον πρεσβύτερον Κύπρε ἐπιστολῇ, ὅπερ καὶ ἐν ἑτέροις ἀνήγγειλα „ καὶ τῷ μὲν πρώτῳ συμφώνες παρήγαγον χρήσεις, “ Ῥωμαίων Πατέρων, καὶ Κυρίλλε Ἀλεξανδρείας, ἐκ τῆς “ πονηθείσης αὐτῷ πραγματείας, εἰς τὸν ἅγιον Ἰωάννιν “ τὸν Εὐαγγελιστὴν, ἐξ ὧν ἐκ αἰτίαν τὸν Υἱὸν ποιῆντας τῆς “ τῆ ἁγίε Πνεύματος ἐκπορεύσεως, σφᾶς αὐτὲς ἀπέδει- “ ξαν· μίαν γὰρ ἴσασι τῆ Υἱῆ καὶ τῆ Πνεύματος τὸν Πα- “ τέρα αἰτίαν, τῆ μὲν κατὰ τιὼ γέννησιν, τῆ δὲ κατὰ “ τιὼ ἐκπόρευσιν· ἀλλ' ἵνα, τὸ δι' αὐτῆ προϊέναι δηλώσω- “ σι, καὶ ταύτῃ τὸ σωαφὲς τῆς ἐσίας, καὶ ἀπαράλλα- “ κτον παραστήσωσι· καὶ μάλα εἰκότως· πῶς γὰρ ἔμελλον “ ἑαυτῷ περιπίπτειν, ὁ γράφων ἐν τοῖς Θησαυροῖς „ ὅτι “ νῆς ὑπάρχων τῆ Χριστῆ τὸ Πνεῦμα τὸ ἅγιον, πάντα τὰ “ ἐν αὐτῷ διαλέγεται τοῖς μαθηταῖς; καθάπερ ἓν ἐφ' “ ἡμῶν ὁ νῆς, τῆ ἀνθρώπε ἐστὶ καὶ κατ' ἐσίαν καὶ κατ' “ ἐνέργειαν· καὶ κατ' ἐσίαν μὲν αὐτῆ ἐστὶν ὁ νῆς, ἀλλ' ἐκ ἐξ αὐτῆ, κατ' ἐνέργειαν δὲ καὶ αὐτῆ ἐστὶ καὶ ἐξ αὐτῆ· ἕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τῆ Χριστῆ ἐστὶν ὡς Θεῆ, καὶ κατ' ἐσίαν καὶ κατ' ἐνέργειαν· ἀλλὰ κατὰ μὲν τιὼ ἐσίαν καὶ τιὼ ὑπόστασιν αὐτῆ ἐστὶν, ἀλλ' ἐκ ἐξ αὐτῆ· κατὰ δὲ τιὼ ἐνέργειαν, καὶ αὐτῆ ἐστὶ, καὶ ἐξ αὐτῆ.

Αὐτὸ τῆτο βέλεται κατὰ πάντα, καὶ τὸ τῆ θαυματεργῆ Γρηγορίε, καὶ τὸ τῆ Νύσσης, καὶ τὸ τῆ σοφῆ Χρυσοστόμε· „ τῆ μὲν λέγοντος, ἀγεννήτε μὲν ὄντος “ τῆ Πατρὸς, γεννηθέντος δὲ τῆ Υἱῆ ἐκ τῆ Πατρὸς, τῆ- “ τε Πνεύματος ἐκ τῆς ἐσίας τῆ Πατρὸς δι' Υἱῆ ἀιδίως ἐκ- “ πεμφθέντος· τῆ δὲ γράφοντος, ὁ μονογενὴς Υἱὸς ἐκ τῆ “ Πατρὸς παρὰ τῆς ἁγίας Γραφῆς ὀνομάζεται, καὶ μέ- “ χρι τέτε ὁ λόγος ἴσησιν αὐτῆ τὸ ἰδίωμα· „ τὸ δὲ ἅγιον “ Πνεῦμα, καὶ ἐκ τῆ Πατρὸς λέγεται, καὶ τῆ Υἱῆ εἶναι “ προσμαρτυρεῖται· τῆτο δὲ φάσκοντος, ἦλθεν ὁ Χριστὸς “ πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ ἐξ αὐτῆ Πνεῦμα, καὶ ἀνέ- “ λαβε τὸ ἡμέτερον σῶμα.

τὸν Πατέρα, πῶς ὁ κτίσμα τοῦτο λέγων, ἐ τὸ αὐτὸ καὶ περὶ τοῦ Υἱοῦ ἐξ ἀνάγκης φρονήσει; τοῦτο καθὼς κεῖται μόνον δεξόμεθα, ἢ καὶ κατὰ τὸν πρέποντα τῇ χρήσει ταύτῃ λόγον; εἰ μὲν γὰρ κατὰ μόνιν τινὰ φωνὴν, ὡς ἀκέραια, ἔσαι τὸ Πνεῦμα Υἱὸς Υἱοῦ· εἰ δὲ κατὰ τινὰ πρέπουσαν ἔννοιαν, ἐδὲν ἄτοπον ἕψεται. Τί ἔν ἡ χρῆσις αὕτη σωάγει; σκοπήσωμεν. Ἐπεὶ καὶ τῇ Φύσει καὶ τῇ τάξει ἔλεγον οἱ πνευματομάχοι ἔλαττον τὸ Πνεῦμα τοῦ Υἱοῦ, ἐκ διαμέτρου τούτοις ὁ ἅγιος ἀνθισάμενος, καὶ τῇ Φύσει λοιπὸν καὶ τῇ τάξει ἐκ ἔλαττον αὐτὸ μαρτυρεῖ· τῇ μὲν Φύσει ἐκ ἔλαττον, ὅτι ἔτως αὐτὸ ὁμοούσιον ἐστὶ τῷ Υἱῷ, ὥσπερ ὁ Υἱὸς ὁμοούσιος τῷ Πατρί· τῇ δὲ τάξει ἐκ ἔλαττον, ὅτιπερ ἔτω κατὰ τινὰ τάξιν τὸ Πνεῦμα ἴσον ἐστὶ τῷ Υἱῷ, καθάπερ αὐτὸς ὁ Υἱὸς, τῇ τάξει ἴσος ἐστὶ τῷ Πατρί. Ἀλλ' ὁ αὐτὸς αὖθις ἐν τῷ κατὰ Ἀρειανῶν Τρίτῳ φησὶν „ ἐ τὸ Πνεῦμα σωάπλει τὸν λόγον τῷ Πατρὶ, ἀλλὰ μᾶλλον τὸ Πνεῦμα παρὰ τοῦ λόγου τοῦτο λαμβάνει. Πρὸς τοῦτο ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι σύμφωνα τούτῳ καὶ ὁ μέγας Βασίλειος, ἔντε τοῖς πρὸς Εὐνόμιον, καὶ ἐν τῇ πρὸς Κανονικὰς ἐπιστολῇ δίεισι, νῦν μὲν λέγων, „ ὡς ὁ Υἱὸς πρὸς τὸν Πατέρα ἔχει, ἔτω καὶ τὸ Πνεῦμα πρὸς τὸν Υἱόν· νῦν δὲ, ἐν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ αὐτὸ μοναδικῶς ἐξαγγελόμενον, καὶ δι' ἑνὸς Υἱοῦ τῷ ἑνὶ Πατρὶ σωαπλόμενον, καὶ δι' ἑαυτοῦ συμπληροῦν τινὰ πολυύμνητον καὶ μακαρίαν Τριάδα· νῦν δὲ, ἀλλ' ἐδὲ τοῦ μονογενοῦς πρότερον τὸ Πνεῦμα τὸ ἅγιον· ἐδὲν γὰρ μέσον Υἱοῦ καὶ Πατρός.

Πλὴν ἐπεὶ πρὸς ἀλλήλους ὑπὲρ τούτων διαφερόμεθα, ἐδὲν δὲ τῶν διαφερομένων μερῶν, τὸ ἀντίθετον αὐτῷ μέρος κριτὴν καταδέχεται τοῦ πρὸς ὃ διαφέρονται πράγματος, καλέσωμεν κριτὴν αἱρετὸν εἰ δοκεῖ, καὶ ἔτι ἂν αὐτὸς ἀποφαίνηται ἐρξωμεν ἅπαντες, μὴ κεντῶμεν ἀλλήλους εἰκῇ. Ἀλλὰ τὶς ἂν εἴη δίκαιος τῶν χρήσεων τούτων αἱρεθεὶς κριτής; αὐτὸς ἂν πρὸ παντὸς κρίναι ταύτας ἐξαίρετος εἴη, ὁ τὰς μὲν ἀναγνοὺς, τὰς δὲ συγγραψάμενος

Σαφηνείας δὲ χάριν, τὸ τί λέγω, πλατύτερον δίειμι· ὅτι θελόντων ἡμῶν προφέρειν διὰ γλώττης περὶ Υἱότε καὶ Πνεύματος, ὡς ἄρα ἐκ τοῦ Πατρὸς ἄμφω ταῦτα, καὶ ἅμα προῆλθον, εἰ πρὸ τοῦ Υἱοῦ τὸ Πνεῦμα συνημμένον θείημεν τῷ Πατρὶ, δόξαμεν ἂν Υἱὸς αὐτίκα τὸ Πνεῦμα τὸ ἅγιον· τὸ γὰρ Πατὴρ ὄνομα σωρεισάγει τῇ διανοίᾳ τὸν Υἱόν· προϊόντες δὲ πάλιν καὶ μετὰ τὸ Πνεῦμα προσεχῶς τιθέντες τὸν Υἱὸν, Πατέρα τοῦ Υἱοῦ τὸ Πνεῦμα ποιεῖμεν πάντως νοεῖσθαι· ὁ γὰρ Υἱὸς Πατρὸς Υἱὸς, καὶ σωάγει τῇ διανοίᾳ τὸν Πατέρα, ὅπως δ' ἂν λέγηται, καὶ μάλιστα τὸν πρὸ αὐτοῦ ἀδιαστάτως λεγόμενον. Διάτοι ταῦτα ὁ Υἱὸς τῷ Πατρὶ θεολογούμενος προσεχῶς, καὶ τὸ μονογενὲς ἑαυτῷ φυλάττει, καὶ τὸ ἐκπορεύτως ἐκ τοῦ Πατρὸς εἶναι ἐκ ἀπείργει τὸ Πνεῦμα τὸ ἅγιον, ὃ καὶ ὁ Νύσσης Γρηγόριος εἴρηκεν ἐν τῷ πρὸς Ἀβλάβιον „ καί γε τὸ Πνεῦμα τιθέμενον μετὰ τὸν Υἱὸν, καὶ τὸ γεννᾶν τὸν Υἱὸν ἅμα κωλύει νομίζεσθαι, καὶ ἑαυτὸ μὴ γεννητὸν εἶναι πιστεύεσθαι δίδωσι. Καὶ ἄλλως δὲ τοῦτο καὶ νοεῖν καὶ πιστεύειν πανάληθες, ὅτι πρῶτον τὸ γένος ἡμῶν Θεὸν ἐπέγνω τὸν Πατέρα, καὶ Πατέρα τὸν Θεόν· καὶ μετ' αὐτὸν τῷ δὲ τῷ κόσμῳ ὁ Υἱὸς πεφανέρωται, διὰ σαρκὸς ἡμῖν ὀφθείς τε καὶ σωαναστραφείς· καὶ μεθ' ὃν τοῦ Υἱοῦ παρουσίαν ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον ἐπεδήμησε, παρὰ μὲν τοῦ Υἱοῦ πεμπόμενον, ὡς ἐκ ἀντιθεον, ἀλλ' ἀντίχριστον, χρονικῶς, καὶ πρός τινας, καὶ δι' αἰτίαν· παρὰ δὲ τοῦ Πατρὸς ἐκπορευόμενον ἀδιαίτιαν, ἀδὲ χρονικῶς, ἀδὲ πρός τινας, ἁπλῶς δὲ πάντη καὶ ἀπολύτως, ἅτε ὁμόθεον, καὶ ὁμόδοξον, καὶ τῆς αὐτῆς τῷ Υἱῷ ἐξημμένον αἰτίας· παρ' ἑαυτοῦ δὲ ἐρχόμενον, ὡς κυρίου τε καὶ ἀντεξούσιον. Ἔστι δέ τις καὶ τρίτη αἰτία, δι' ἣν μετὰ τὸν Υἱὸν τὸ Πνεῦμα σωτέτακται, ὅτι μετὰ τὸ κατανθρωπῆσαι τινῶν κατὰ τοῦ Υἱοῦ μανίαν, πολυειδῶς ἀναδειχθείσης, καὶ ἐπιχθείσης ἀσφαλέσατα τῆς τότε πρὸς τὸν Πατέρα ὁμοτιμίας καὶ συμφυΐας, ὁ κατὰ τοῦ θείου Πνεύματος προφανῶς ἀνερρίπισθη πόλεμος· ταύτῃ τοι καὶ τοῖς θεολόγοις ὁ λόγος ἅπας, ἐ

περὶ

ἀλλὰ κατὰ τὸν τῆς αἰτίας λόγον τῆς ἑαυτῷ ἐκ τῷ Πατρὸς ὑποστάσεως, ὃς ἐστὶ τὸ γεννητῶς ὑπάρχειν αὐτὸν ἐκ τῷ Πατρός· καθάπερ ἀμέλει καὶ τὸ Πνεῦμα τὸ ἅγιον προεπινοηθείη ἂν τῆς τῷ Υἱῷ ὑποστάσεως, τῷ λόγῳ τῆς αἰτίας τῆς ἑαυτῷ, ὃς ἐστὶ τὸ ἐκπορευτῶς εἶναι καὶ τοῦτο ἐκ τῷ Πατρὸς, ἐχὶ τῷ λόγῳ τῆς αἰτίας, ἧς ἔχει πρὸς τὸν Υἱόν. Πατέρα γάρ τις ἀκέων, Υἱῷ αὐτὸν οὐθὺς ἐννοεῖ Πατέρα· ἰώκα δ' ἂν ὄντα καὶ προβολέα τοῦτον ἀκέσῃ, τότε καὶ τῷ ἁγίῳ Πνεύματος εἰς ἔννοιαν ἔρχεται· καὶ προβολέα τις τοῦτον ἀκέων, τῷ ἁγίῳ Πνεύματος οὐθὺς αὐτὸν ἐννοεῖ προβολέα· ἰώκα δ' ἂν ὄντα καὶ Πατέρα τοῦτον ἀκέσῃ, τότε καὶ τῷ Υἱῷ εἰς ἔννοιαν ἔρχεται· καὶ τούτῳ τῷ λόγῳ ἡ αἰτία τῷ Υἱῷ προεπινοεῖται τῷ Πνεύματος, καὶ ἡ αἰτία τῷ Πνεύματος, προεπινοεῖται τῷ Υἱῷ· διὸ κ' εἰς πίστωσιν ταυτησὶ τῆς ἐννοίας ῥητῶς ὁ ἅγιος ἔθηκεν „ὁ δὲ αὐτὸς ἡμῖν καὶ περὶ τῷ „ἁγίῳ Πνεύματος λόγος, ἐν μόνῃ τῇ τάξει τινὶ διαφορὰν „ἔχων· ἐκεῖνο τάξεως λέγων εἶναι διαφορὰν Υἱῷτε καὶ Πνεύματος, τὸ, τὸν μὲν Υἱὸν πρὸς μόνον αἰεὶ τὸν Πατέρα, καθὸ Πατέρα, τὸ δὲ Πνεῦμα πρὸς τὸν προβολέα μόνον καθὸ προβολέα ἀνάγεσθαι· ἐ μὴν κ' τὸ Πνεῦμα σύνδε πρὸς τὸν Πατέρα, ἢ Πατέρα, κ' ὁ Υἱὸς ποτὲ πρὸς τὸν προβολέα, ἢ προβολέα, ἵνα μὴ ἀταξία ἢ περὶ τινὰ Τριάδα, τινὶ μόνῳ καὶ ἀρχῷ καὶ πηγῷ πάσης τάξεως. Σκεπτέον μέντοι καὶ τοῦτο προκείμενον φανερῶς, ὡς ἐπ' ἁπλῶς ἐπινοίᾳ, ἀλλ' ἐπινοίᾳ μόνῃ, ἔφη, προθεωρεῖσθαι τὸν Υἱὸν τῷ Πνεύματος τῷ ἁγίῳ· εἰ δὲ ἐδόξαζε τὸ Πνεῦμα ἐκ τῷ Υἱῷ προσωπικῶς ἐκπορεύεσθαι, καὶ τὸν Υἱὸν αἴτιον εἶναι τῷ Πνεύματος, ἐκ ἂν προσέθηκεν ἐπινοίᾳ μόνῃ, ἀλλ' ὑποστάσει μᾶλλον τοῦτον προθεωρεῖσθαι τῷ Πνεύματος. Εἶτα τὸ Πνεῦμα τὸ ἅγιον ἔχεσθαι φησὶ τῷ Υἱῷ, τουτέστιν ἅμα σὺν τῷ Υἱῷ ἐκ τῷ Πατρὸς ὑπάρχειν, ἀλλ' ἐκ ἐξ αὐτῷ ἐκπορεύεσθαι.

Πρὸς δὲ τοῖς εἰρημένοις ἰσέον κἀκεῖνο, ὅτι καὶ ἐπὶ πάντων, καὶ πάντοτε, πρὸς παράστασιν ὁμοουσιότητος, προχει-

φησὶ γὰρ ὁ μὲν Κύριος περὶ τῦ Θεῦ, ἔτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Καὶ πάλιν, ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτῦ τὸν μονογενῆ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον κτ. Καὶ αὖθις, εἰ ὁ Θεὸς Πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τῦ Θεῦ ἐξῆλθον, καὶ ἥκω. Ἀλλὰ δὴ καὶ περὶ τῦ πέμποντος ὁ αὐτὸς, νῶν μὲν, ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου· νῶν δὲ, ὁ πέμψας με ἀληθής ἐστι· κἀγὼ ἃ ἤκουσα παρ' αὐτῦ, ταῦτα λαλῶ εἰς τὸν κόσμον· νῶν δὲ, ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν. Περὶ δὲ τῦ προβολέως, οἱ τῶν οἰκουμενικῶν ἑπτὰ συνόδων Πατέρες, καὶ ῥήμασι καὶ γράμμασι προδηλότατα πιστεύειν πᾶσι παραδεδώκασι, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τῦ Πατρὸς ἐκπορευόμενον.

Περιεκτικωτέρως δὲ λόγῳ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι καὶ τὸ Θεὸς, καὶ τὸ πέμπων, καὶ τὸ αἴτιον, καὶ τὸ αἰτιατὸν, καὶ πᾶν ἁπλῶς ὄνομα δύσιν, ἢ τρισὶ προσώποις ἀπροσδιορίστως κατηγορούμενον, ἁ δηλοῖ πρόσωπον· μετὰ προσδιορισμῦ δὲ λεγόμενον μόνον, ἐκεῖνο ἀριδήλως τὸ προσδιοριζόμενον πρόσωπον δείκνυσιν. Ὁ γὰν προβολεύς, καὶ ὁ προβάλλων, καὶ τὸ ἐκπορευόμενον, καὶ τὸ πρόβλημα, ὅπα δ' ἂν κέηται τῆς Γραφῆς, μετὰ προσδιορισμῦ θεολογούμενα εὕρηται· ὡς τὸ, ὁ μὲν γεννήτωρ καὶ προβολεύς· ὡς τὸ, ἴδιον δὲ τῦ Πατρὸς τὸ προβάλλειν· ὡς τὸ, ὃ παρὰ τῦ Πατρὸς ἐκπορεύεται· καὶ ὅσα τούτοις ταυτά· τὰ προσδιωρισμένα δὲ τοῖς ἀπροσδιορίστοις συντάττειν πάντα μιγνῦτος ἐστὶ χρήματα. Εἶτα τούτων ἔτως ἐχόντων, τολμᾶτις ὁρίζεσθαι ὅτι ὁ προβολεὺς ἁ δηλοῖ πρόσωπον, καὶ τὸ προβάλλειν ἐκ ἔστι προσωπικόν· ὁμολογοῦσι δὲ πάντες τὸν Πατέρα προβάλλοντα· λοιπὸν ἐκ ἔστιν ὃ πρόσωπον ὁ Πατὴρ, ἀλλὰ πρόσωπα δύο, Πατὴρ ὁ αὐτὸς καὶ Υἱός. Πάλιν εἰ τὸ προβάλλειν ἐκ ἔστι προσωπικὸν, ἢ φυσικὸν πάντως ἔσαι, ἢ ἐνεργητικόν.

ἀλλ'

διδάσκουσαν τὸν ἡμέτερον γεωργὸν, ποίας μὲν ἐκριζῶσαι κακίας χρεὼν, ποίας δὲ ἀρετὰς ἐμφυτεῦσαι· ἤτοι πίστιν μὲν ἐν τῇ ἀπιστίᾳ, ἐλπίδα ἐν τῇ ἀνελπιστίᾳ, ἀγάπην ἐν τῷ μίσει, καὶ γνῶσιν ἐν τῇ ἀγνωσίᾳ, σπουδὴν ἐν τῇ ἀμελείᾳ, καὶ δόξαν καὶ ἔπαινον ἐν τῇ ἀδοξίᾳ, ἀθανασίαν ἀ τῇ θνητότητι, καὶ θεότητα ἐν τῇ ἀνθρωπότητι.

Εἰ πηλὸς ἐστὶν ἡ ἡμετέρα Φύσις, πλαστουργὸς δὲ ἡμῶν ἡ προαίρεσις, λοιπὸν ἀ ἡμῖν ἐστὶ τὸ ἐκ τοῦ αὐτοῦ πηλοῦ καταρτίσαι σκεῦος τιμῆς ἢ ἀτιμίας, φυλακῆς ἢ σωτηρίβῆς ἄξιον. Ὥστε τῆς ἐσίας ἡ προαίρεσις κυριωτέρα, καὶ τοῦτο μᾶλλον ἄνθρωπος, ἢ ἐκεῖνο· ἐδὲ γὰρ ἡ ἐσία ἐμβάλλει εἰς γέενναν, ἐδὲ εἰς βασιλείαν αὐτὴ εἰσάγει, ἀλλ' ἡ προαίρεσις. Οὐχ ὑβρίζει ἡ Φύσις ὃν μὴ ὑβρίζει ἡ προαίρεσις, ἐδ' ἀπόλυσιν ἡ Φύσις ὃν μὴ ἀπόλυσιν ἡ προαίρεσις· καὶ τὸ τάτε ἀνάπαλιν, ἐ τιμᾷ ἡ Φύσις ὃν καταισχύει ἡ προαίρεσις· ἐ δύναται σώζειν ἡ Φύσις, ὃν ἀπόλυσιν ἡ προαίρεσις· τὰ τῆς Φύσεως πλεονεκτήματα, τοῦ δημιεργοῦ τιμὼ Φιλοτιμίαν μᾶλλον, ἢ τοῦ κεκτημένε ταῦτα τιμὼ ἀρετιμὼ εἰκονίζει· ἃ δὲ κατώρθωσεν ἡ προαίρεσις, καὶ τὸν δημιεργὸν δοξάζει, καὶ τὸ δημιέργημα τῆς Θεοῦ τοῦ δημιεργοῦ δημιεργίας ἄξιον ἐπιδείκνυσι. Μέγα δύναται ἡ προαίρεσις! δύναται γὰρ προαίρεσις θερμὴ ἔσα, ἀ μιᾷ ὥρᾳ προσνεγκεῖν τῷ Θεῷ, ὅπερ ἐ προσφέρει ἄλλη προαίρεσις νωθρὰ ἔσα εἰς πεντήκοντα ἔτη· καὶ διὰ τοῦτο κατακρινόμεθα, ὅτι ὁ δυνάμενος θέλειν, δύναται καὶ μὴ θέλειν· ἐν τῷ θέλειν καὶ τῷ μὴ θέλειν, κεῖται τὸ πᾶν τοῦ σωθῆναι τὸν θέλοντα· θέλειν δὲ λέγω ἔργῳ· θέλημα ἐστὶ τὸ συνεργοῦν καὶ κωλύον εἰς τὸ σωθῆναι· ἐβελήθης τι ἀγαθόν; ποίησον τοῦτο· ἐ δύασαι; εἰ μὴ προσποιῇ, πολλὰ ἕξεις ἀντίδοσιν, μόνον θέλε τὸ καλὸν δι' ἐδὲν ἄλλο πράττειν, ἢ δι' αὐτὸ τὸ καλόν.

Ὅτι ὁ Θεὸς τὰς πράξεις ἑκάστε κατὰ τὰς προθέσεις λογίζεται· δῶ γάρ σοι Φησὶ Κύριος καλὰ τῇ καρδίαν σε· καὶ ὥσπερ τὸ γενέσθαι κακὸν, ἐν τῷ προελέσθαι

ταῦτα δὲ ἀλλήλοις ἀντίκειται. Συγκατάθεσις δὲ ἐστὶν ἡ τῷ λογισμῷ πρὸς τὸ πάθος ἔνδοσις καὶ κατάνυξις. Αἰχμαλωσία δὲ ἐστὶν, ἀκούσιος τῆς καρδίας ἀπαγωγή. Πάθος ἐστὶ τὸ χρόνῳ μακρῷ τῇ ψυχῇ ἐμφωλεῦον· ἤγουν ἡ σωρηχὴς καὶ χρονία μελέτη τῶν παθῶν καὶ φαντασία. Ἐνέργεια δὲ παθῶν αὐτὴ ἡ πρᾶξις ἡ ἄτοπος. Ἀναιρεῖται δὲ ὑπὸ μὲν τῆς ἐγκρατείας, ἡ γαστριμαργία· ὑπὸ δὲ τῶν θείων πόθων, καὶ τῆς τῶν μελλόντων ἐφέσεως, ἡ πορνεία· ὑπὸ δὲ τῆς συμπαθείας τῆς πρὸς τοὺς πάντας, ἡ φιλαργυρία· ὑπὸ δὲ τῆς ἀγαθότητος, καὶ τῆς πρὸς πάντας ἀγάπης, ἡ ὀργή· ὑπὸ δὲ τῆς πνευματικῆς χαρᾶς, ἡ κοσμικὴ λύπη· ὑπὸ δὲ τῆς ὑπομονῆς καὶ καρτερίας, ἡ ἀκηδία· ὑπὸ δὲ τῆς κρυπτῆς τῶν ἀρετῶν ἐργασίας, καὶ τῆς σωρηχοῦς προσοχῆς, ἡ κενοδοξία· ὑπὸ δὲ τοῦ μὴ κρίνειν τινὰ, ἢ ἐξουθενεῖν, καὶ ἡγεῖσθαι ἑαυτὸν πάντων ἥττονα, ἡ ἐπέρατος ὑπερηφανία. Τούτων ἓν τῶν εἰρημένων παθῶν ὁ ἄνθρωπος ἐλευθερωθεὶς, ἀπαλλεῦται ζωῆς μακαρίαν ζωὴν, τὸν ἀῤῥαβῶνα λαμβάνων τοῦ Πνεύματος.

Ὅτι δὲ ἀπὸ λογισμῶν ἐπιόντων, οἱ μὲν ἀπόλλυνται τῶν ἀνθρώπων, οἱ δὲ σώζονται, καὶ αὐτοὶ συνομολογεῖτε, καὶ αὐτὰ συμμαρτυρεῖ μοι τὰ πράγματα· ἐγὼ ἤκουσα δὲ, οἱ μάλιστα τούτων πεῖραν δεξάμενοι ἀσκηταί· καὶ τοῦτο δῆλον κἀντεῦθεν. Λέγεται γὰρ ἐν τοῖς τούτων συγγράμμασιν, ὅτι ἀδελφὸς παρέβαλε τῷ ἀββᾶ Νείλῳ καθημένῳ ἐν τῇ ἁγίᾳ κορυφῇ τοῦ Σινᾶ, καὶ λέγει αὐτῷ „ τί „ ποιήσω ἀββᾶ, ὅτι οἱ λογισμοὶ ὥσπερ ἀπὸ πηγῆς βρύουσιν „ εἰς τὴν καρδίαν μου; ἂν νηστεύω, μαραίνει με ἡ πεῖνα· ἂν „ ἀγρυπνήσω, τήκει με ὁ ὕπνος· καὶ ὅτε πεῖναν σέγω, ὅτε „ δίψαν· καὶ βέλομαι ἐκφυγεῖν τοὺς λογισμοὺς τῶν δαιμόνων, καὶ χείρω μοι ἐπέρχονται· ὀργίζομαι ὡς βασιλεύς, „ εἰμὶ δὲ ὡς αἰχμάλωτος καὶ δοῦλος ἐπιθυμιῶν· κλαίω σωφρονῶν, καὶ γελῶ ἀφρονῶν· πολεμῶ πρὸς τοὺς λογισμοὺς, „ καὶ ἐκ ἰσχύω περιγενέσθαι αὐτῶν· καὶ οἱ μὲν λέγουσιν, ὅτι „ ἐβλάπτουσιν οἱ πονηροὶ λογισμοί· ἄλλοι λέγουσιν, ὅτι οἱ „ λογισμοὶ εἰσὶν οἱ ἀπολλύτες τοὺς μοναχούς· ἢ σὺ τούτοις „

ἡ ἐξαγγελία· τὸ ὕδωρ τὸ ῥαῖνον καὶ ἀρδεῦον τὴν ἔννοιαν, ἐστὶν ἡ ἀναγνωσις· ὁ δὲ λύχνος ἡ σωτήριος διδάσκουσα πάντα τὰ ὠφέλιμα, καὶ κωλύουσα πᾶν φαῦλον· ἡ δὲ τράπεζα, ἡ καρδία· τὰ δὲ βρώματα οἱ διαβατοὶ ψαλμοί· τὸ δὲ θυμίαμα ὁ φόβος τῦ Θεῦ· χρυσὸς δὲ καὶ ἄργυρος καὶ ἱματισμὸς αἱ ἀρεταί· ἱερεὺς ὁ δεχόμενος τὲς σὲς λογισμές· περίαυλον ἡ καθαρὰ προσευχή. Ὥσπερ γὰρ οἱ ἀγαθοὶ λογισμοὶ ὠφελῦσι τὴν ψυχὴν, ἕτως οἱ πονηροὶ λογισμοὶ ταύτην βλάπτουσι.

Ταῦτα πρὸς τὸν ἐρωτήσαντα ἐξ ἑτοίμε ἀποκρινάμενος, ὁ τῆς σοφίας οἶκος ἐκεῖνος, ἔδειξε τίτις ποιῶν τὲς πονηρὲς λογισμὲς ἀποσείεται· ᾧ πειθόμενος πᾶς ὁ σωθῆναι θέλων, πρὸς τῷ ἀπεδάζειν ὀρθόδοξος εἶναι, καὶ θεαρέστες πράξεις κεκτῆσθαι ἀπέδειξεν· καὶ εἰδὼς ὅτι ἡ πάντα λογισμὲς ἡ σὴ διάνοια τίκτουσα, τὲς μὲν πονηρὲς λογισμὲς βύθις ἔκτιλε, τὲς δ' ἀγαθὲς ἐπιμελῶς γεώργει. Διὰ τῦτο γὰρ ταῦτα καὶ πρὸς τῶν ἁγίων γέγραπται, καὶ παρ' ἡμῶν εἴρηται, ἵνα παντὶ τρόπῳ ἐκ τύτων κινέμενοι, καθαρίσωμεν ἑαυτὲς ἀπὸ κακῆς συνηθείας, καὶ πονηρῶν λογισμῶν. Ἀλλὰ σὺ Πάτερ παγκράτωρ καὶ σωσχθς τῆς ζωῆς με, καὶ σὺ μονογενὲς Υἱὲ τῦ Θεῦ καὶ λόγε, καὶ σὺ παράκλητον Πνεῦμα, ὁδήγησον ἡμᾶς, φώτισον ἡμᾶς, ἡγίζον ἡμᾶς ἐν τῇ ἀληθείᾳ σε. Ναὶ Θεὲ πάντων. Ἀμήν.

ἐκτιναξάμενα τὸ πλερὸν, μεθ' ὅσης ἐκ ἄντις εἴποι χαρᾶς, καὶ ἐπὶ πολὺ τῷ ἀέρος ἀρθεῖσα, ζεφυρίαις τε πνοαῖς ἐρεθισθεῖσα, κἀκεῖσε τὸ καλὸν ἐπὶ πολὺ πλερυσόμενα, ὡς ἐξ ἀπόπλε τὰ ἑαυτῶν λαρυγγίσματα τοῖς παριοῦσι τὰς ὁδὸς ἐπιδείκνυται· ἄρτι τὸν νᾶν καὶ αὐτὸς πρὸς Θεῷ καθηράμενος, καὶ παντὸς πλερῷ κεφότερον καὶ ὀξύτερον ἔχων, καὶ δι' αὐτῷ πρὸς Θεὸν τὸν πάντων ἀνώτερον ἐπαρθεὶς, κἀκεῖθεν ἀρξάμενος, (ἐπεὶ Θεὸς ἐσὶν ὁ πρώτιστος νᾶς) τῷ νῷ ὑμῖν τοῖς ἔχεσι νᾶν ἐπιδείκνυμαι· καί μοι σκοπεῖτε τὸν νᾶν.

Ὁ τῶν ὅλων Θεὸς, ἡ ὑπέρθεος καὶ προσκυνητὴ καὶ σεβασμία Τριὰς, αὐτὸς ἡμῖν πρῶτος τῷ κατ' αὐτὸν μυσηρίᾳ, φημὶ δὲ τῇ Τριὰς εἶναι, διδάσκαλος γέγονε, καὶ διὰ τῶν κτισμάτων, καὶ διὰ λόγων, καὶ διὰ ποικίλων ἐμφάσεων, καὶ δι' ἀγγέλων, καὶ δι' ἀνθρώπων ἀριδήλως τῦτο παρέσησε. Διὰ μὲν τῶν κτισμάτων ὧδί. Ἵνα γὰρ τρισυπόσατον γνωρίσῃ ἡμῖν ἑαυτὸν, τὰ βέλτισα πάντων τῶν νοεμένων, καὶ τὰ κρείτονα πάλιν τῶν ὁρωμένων, τὰ αὐτὰ καὶ σὺ εἶναι, καὶ εἰς τρία διαιρεῖσθαι πεποίηκεν. Εὐθὺς γὰρ πάντα τὸν δὲ τὸν κόσμον, κἂν ὅσα συνεχῆ τε καὶ ἀδιάσατον ἀπετέλει τὸ καταρχὰς, ἀλλ' εἰς τρία μέρη τῦτον διεῖλε δημιργῶν, ἤτοι εἰς ἀράνια, ἐπίγεια, καὶ ὑποχθόνια. Τὸ ἥδισον πάντων τῶν ὁρωμένων τὸν ἥλιον, καὶ τὸ τιμιώτατον τῶν κτισμάτων τὸν ἄνθρωπον, ὡσαύτως ἐδημιέργησε· τῦτο μὲν κατὰ τὸ νοέμενον, νᾶν, καὶ λόγον, καὶ Πνεῦμα, ἐκεῖνο δὲ κατὰ τὸ ὁρώμενον δίσκον, ἀκτῖνα, καὶ Φῶς παραχών. Σώματά τε παντοῖα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, μῆκος, πλάτος, καὶ βάθος, τρεῖς διασάσεις ἐπίσης πᾶσι παρέχετο. Τόν γε χρόνον εἰς διαρκῆ τινα τρία ἐμέρισε· καὶ τὰ τῆς ἀνθρωπίνης ψυχῆς μέρη τρία ἀπέφλινε· τλύτε πάλαι σκλιλὸ, καὶ τλὺ ἡμῶν ἐκκλησίαν, εἰς τρία διαιρεῖσθαι διεκελεύσατο. Φαίλν δ' ἂν ἔτω καὶ περὶ τῶν Ἀγγέλων αὐτὸς, ὅτι τὰς διακοσμήσεις αὐτῶν τρεῖς ποιησάμενος ἄνωθεν, ἑκάσλω αὖθις αὐτῶν ἐμέρισεν εἰς τριάδα· ἤτοι

ἐδὲ γινώσκει αὐτό· καὶ πάλιν, ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν· καὶ αὖθις, ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· πρὸς δὲ, ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει τι ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐμαρτύρησε καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῷ Πατρὶ, κράζον εἰς τὰς καρδίας τῶν πιστῶν, Ἀββᾶ ὁ Πατήρ· ἐμαρτύρησε καὶ τῷ Υἱῷ, ὅτι πρὸς αὐτοῦ ἀπέσταλται, καὶ τοῦ αὐτοῦ ἐλήφθη, ἢ ἀνήγγειλεν ἡμῖν. Καὶ ταῦτα μὲν ἰδίως παρ' ἑκάστου προσώπου μεμαρτύρηται περὶ τῶν λοιπῶν.

Κοινῶς δὲ πάλιν, ὁ μὲν Πατὴρ περὶ τοῦ τρισυπόστατον εἶναι τὸ θεῖον φησὶ „ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· καὶ δεῦτε καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώττας· καὶ ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεός σου, εἷς ἐστιν· ὁ δὲ Υἱὸς, Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, λέγει, οὗ ἕνεκεν ἔχρισέ με· καὶ ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός· καὶ πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τὸ μέντοι Πνεῦμα τὸ ἅγιον διὰ Παύλου φησὶ διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· καὶ ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν· καὶ πρόσγε τούτοις, ὁ δὲ Κύριος, δηλονότι τὸ Πνεῦμα, κατευθύναι τὰς καρδίας ὑμῶν εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, ἤτοι τοῦ Πατρὸς, καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ, δηλαδὴ τοῦ Υἱοῦ.

ὥσπερ κἀκεῖνος ἀπὸ τῦ Πατρὸς Θεὸς, καὶ τὸ Πνεῦμα Κύριος ἐκ τῦ Υἱῦ. Πνεῦμα καὶ ὁ Υἱὸς ἐκ τῦ Πνεύματος· καθ' ὃ σημαινόμενον ὁ Ἱερεμίας λέγει περὶ αὐτῦ „ Πνεῦμα πρὸ προσώπε ἡμῶν Χριστὸς ὁ Κύριος. Πνεῦμα καὶ αὐτὸς ὁ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον δηλαδὴ, καθ' ὃ σημαινόμενον ἄδομεν αὐτοὶ καθ' ἑκάστυ „ βασιλεῦ ἐπάνιε παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας κξ.

Πρὸς τέτοις αὐτὴ ἡ ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν, ὅλη Πνεῦμα, καὶ ὅλη Κύριος, καὶ ὅλη Θεὸς, καὶ ἔστι καὶ νοεῖται καὶ λέγεται· ἓ Πνεῦμα, καὶ Πνεῦμα, καὶ Πνεῦμα, ἵνα ᾖ τρία Πνεύματα· ἓδὲ Κύριος, καὶ Κύριος, καὶ Κύριος, ὡς ἂν τρεῖς ἐκεῖ Κύριοι νομιθεῖεν· ἓδὲ Θεὸς, καὶ Θεὸς, καὶ Θεὸς, ἵνα τριθέια ἡμῖν παρεισάγηται· ἀλλ' εἷς Θεὸς ὅλη κατὰ σιώπαν, καὶ εἷς Κύριος ὅλη καθ' ἕνωσιν, καὶ εὐ Πνεῦμα ὅλη καθ' ἕνωσιν ἀδιαίρετον· Πνεῦμα ἡ ἁγία Τριὰς ὅλη, καὶ ὡς ὑπὲρ πᾶν Πνεῦμα Πνεῦμα, ἅτε πάσης ἀϋλίας ὑπερκειμένη, καὶ ὡς μηδενὸς τῶν ὅσα μετέχει σῶμα, ἢ σῶμα, μετέχουσα. Κύριος ὅλη ἡ ἁγία Τριὰς, καθ' ὃ σημαινόμενον λέγομεν, εἷς Κύριος, μία πίστις, εὐ βάπτισμα. Θεὸς ὅλη ἡ ἁγία Τριὰς, καθ' ὃ σημαινόμενον. Φησὶν ὁ θεολόγος Γρηγόριος „ Θεὸν δὲ ὅταν εἴπω λέγω Πατέρα, Υἱὸν, καὶ Πνεῦμα ἅγιον· ἔτε ἐκτὸς τέτων τῆς θεότητος χωρίνης, ἵνα μὴ δῆμον θεῶν εἰσαγάγωμεν, ἔτε ἐντὸς τέτων ὁριζομένης, ἵνα μὴ πενίαν θεότητος κατακριθῶμεν, ἢ διὰ τὴν ἀφθονίαν ἐλλιπίζοντες, ἢ διὰ τὴν μοναρχίαν Ἰουδαΐζοντες· τὸ γὰρ κακὸν εὐ ἀμφοτέροις ὅμοιον, κἂν εὐ τοῖς ἐναντίοις ὑρίσκηται.

Καὶ ὧδε μὲν διὰ λόγων ἡμῖν ἐγνώρισεν ἑαυτὸν τρισυπόστατον εἶναι ὁ μόνος τωόντι Θεός· διὰ δὲ ποικίλων ἐμφανιῶν, ὡς ὅταν ὤφθη ὅλη ἡ αὐτὴ Τριὰς ἡ ἁγία εὐ εἴδει ἀγγέλων τῷ πατριάρχῃ Ἀβραὰμ, εὐ τῇ δρυῒ τῇ Μαμβρῇ· πάλιν, ἰδίκα ἐφάνη ἰδίως ἕκασον τῶν ταύτης προσώπων, τῷ μὲν Δανιὴλ ὁ Πατὴρ, ὡς παλαιὸς τῶν ἡμερῶν· τῷ δὲ Ἡσαΐᾳ, καὶ τῷ Ἰεζεκιὴλ, καὶ αὐτῷ τέτῳ

τῷ

μα τέτῳ πλετεῖ· καὶ ὁ τὸ Πνεῦμα εἰπὼν, αὐτίκα καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν τῇ διανοίᾳ συμπεριέλαβε· καὶ καθάπερ εἰ πολλὰ κάτοπτρα τεθείη ὑπὸ τὸν ἥλιον, πάντα μὲν λάμπει, καὶ ἀκτῖνας ἀφίησι, καὶ δόξει πολλὰς ἡλίας ὁρᾶν, εἷς δὲ ἀληθῶς ὁ ἐν πᾶσιν ἀστράπλων ἥλιος, ἕτω καὶ ὁ μόνος ἅγιος εἰς τὰς πιστὰς χεόμενος, ἐν πολλαῖς μὲν φαίνεται ψυχαῖς, καὶ πολλὰς δείκνυσιν ἁγίας, ἔστι δὲ εἷς καὶ μόνος ἅγιος, ἐδὲν ἧττον, εἰς δόξαν Θεῦ Πατρός· ὅτι τὸν Θεὸν ἐδεὶς ἐδόξασε τινὶ αὐτῷ πρέπεσαν δόξαν, εἰ μὴ ἕτος.

Πατρὸς ἓν καὶ Υἱῦ καὶ ἁγίε Πνεύματος ὄντος ἡμῖν τῦ Θεῦ, τέτων ὁ μὲν Πατὴρ, ὥσπερ τινὲς λέγεσι, τὸν πρὸ τῆς ἐνσάρκε οἰκονομίας χρόνον τοῖς ἀνθρώποις ἐλάλησε, καθὼς φησὶν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίες „ πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις· ὁ δὲ Υἱὸς, ἐν τῇ ἐνσάρκῳ οἰκονομίᾳ μόνον· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, τὸν ἀπὸ τῆς ἁγίας πεντηκοστῆς ἄχρι τῆς σωτελείας ἅπαντα χρόνον λαλεῖ πρὸς ἡμᾶς. Ἐγὼ δὲ καὶ τέτοις μὲν σωτίθεμαι, προσίθημι δ' αὖ κἀκεῖνο, καὶ πάνυ ὂν ἀληθὲς, ὅτι καθὼς ὁ Πατὴρ ἐλάλησεν ἐν τῇ Παλαιᾷ, ἕτω δήπε καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· καὶ καθάπερ αὐτὸς ὁ Υἱὸς ἐν τῇ Καινῇ διαθήκῃ τοῖς ἀνθρώποις ἐλάλησεν ἡ Θεὸς, ἕτω καὶ ὁ Πατὴρ αὐτῦ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ὅτι δ' ἀληθές, κἀκεῖθεν δῆλον. Ἐλάλησεν ὁ Πατὴρ δι' ἑαυτῦ ἐν τῇ Καινῇ διαθήκῃ πρὸς ἡμᾶς, ἕτω λέγων ἀμέσως, „ ἕτός ἐσιν ὁ Υἱός με ὁ ἀγαπητὸς κ.ξ. ἐλάλησε καὶ ὁ Υἱὸς ἐν τῇ Παλαιᾷ, καθὼς ᾄδεται πρὸς ἡμῶν „ τῷ Μωσῇ ἐν τῇ βάτῳ, ὡς ὤφθης πυρὸς ἐν εἴδει, ἄγγελος ἐκλήθης Πατρὸς ὁ Λόγος· ἐλάλησε καὶ τὸ Πνεῦμα ἐν τοῖς προφήταις, καθὼς ὁμολογῦμεν πιστεύειν, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Ἄλλως τε τῦτο καὶ νοεῖν καὶ πιστεύειν πανάληθες, ὅτι τῦ ἑνὸς ἡμῖν προσώπε λαλῆντος, ἀχωρίτως τέτῳ σιωόντα καὶ τὰ λοιπὰ, πάντως καὶ ταῦτα καὶ λελά-

δὲ ἀληθὴς νόησις τοῦτον εὑρίσκει· καὶ αὕτη αὖθις ἡ καθαρὰ νόησις τοῦτον ὃν εὑρίσκει ἔτι μᾶλλον ζητεῖ, καὶ ἐ παύεται ταυτησὶ τῆς ζητήσεως.

Ἰσέον δ' αὖ κἀκεῖνο, ὅτι πολλὰ περὶ Θεοῦ νοοῦμεν, φράσαι δὲ καὶ ταῦτα ὡς ἔχει φύσεως ἐ δυνάμεθα· καὶ πολλὰ περὶ Θεοῦ φθεγγόμεθα μὲν, νοῆσαι δὲ ταῦτα καθὸ πέφυκεν ἐ δυνάμεθα. Οἷον ὅτι μὲν παντα χοῦ ἐστιν ὁ Θεὸς, καὶ ὅτι ἀσώματος, καὶ ὅτι ἄναρχος, καὶ ὅτι Υἱὸν ἐγέννησε, καὶ Πνεῦμα ἅγιον ἐξ αὐτοῦ προσωπικῶς πρόεισι, καὶ ὅσα τοιαῦτα, φθεγγόμεθα μὲν, νοῆσαι δὲ ταῦτα ὡς ἐσὶ φύσεως ἐκ ἰσχύομεν. Πάλιν ἔσι τινὰ τῶν περὶ Θεοῦ, ἃ νοῆσαι μὲν ταῦτα δυνάμεθα, φράσαι δὲ ταῦτα ἐκ ἰσχύομεν· οἷον σὺ λόγῳ, ὅσα λέγεται ἄῤῥητα καὶ ἄφατα, ἃ νοεῖ μὲν ὁ νοῦς, αὐτὸς καθ' αὑτὸν ἀμηγέπη, παραδῶναι δὲ λόγῳ ταῦτα καθὸ φύσεως ἔχει, τῶν ἀμηχάνων ἐσίν· οὐδὲ γὰρ ὡς οἱ ἄνθρωποι, ἢ ἐσὶν, ἢ γεννᾷ, ἢ προβάλλει Θεὸς, ἀλλ' ὑπὲρ πᾶσαν κατάληψιν. Ὅτι οἱ μὲν ἄνθρωποι ἐκ δημιεργικῆς ἀρχῆς χρονικῶς κατὰ διαδοχὴν ἀλλήλων γεννῶνται· καὶ πᾶς ὁ γενώμενος, ἐκ γεννηθέντος Πατρὸς γεννώμενος πάντως, εἰκότως καὶ αὐτὸς ἕτερος γίνεται Πατὴρ, ἔχων ἐκ Πατρὸς σὺν ἑαυτῷ τοῦτο, ἐξ οὗ καὶ αὐτὸς γέγονε· διὸ οὐδείς ἐσιν ἐν τοῖς τοιούτοις κυρίως Πατὴρ, οὐδὲ κυρίως Υἱὸς, οὐδὲ κυρίως, ἢ αὐτός ἐσιν ἕκαστος πᾶν ὃ ἐσὶν, ἢ τὸ ἐξ αὐτοῦ προϊόν· ὁ γὰρ αὐτὸς καὶ εἷς ἄνθρωπος καὶ Πατὴρ ἐσὶ, καὶ Υἱός· ἐπὶ πολλῶν λέγω· καὶ τινὸς τῶν ἐξ αὐτοῦ διὰ μέσου τινὸς, ἄλλως αἴτιος· ἀλλὰ Πατὴρ μὲν τοῦ ἐξ αὐτοῦ γεννηθέντος, Υἱὸς δὲ τοῦ γεννήσαντος αὐτὸν καθάπαξ, τοῦ δὲ διὰ μέσου τινὸς ἐξ αὐτοῦ προϊόντος, ἄλλοτι λεγόμενος ὄνομα. Ἐπὶ δὲ τῶν τῆς Θεότητος ὑποστάσεων ἐκ ἔστιν ὅτως· ἐπεὶ οὐδὲ ὡς ἄνθρωπος ὁ Θεὸς ἐσὶν, ὅπερ ἔφθημεν εἰπὼν, ἀλλ' ὑπὲρ ἄνθρωπον, πάντα ἐσὶ τὰ ἐκεῖ· διὸ ὅτε ὁ Πατὴρ γεννᾷ Υἱὸν, γενησόμενόν ποτε Πατέρα· οὐδὲ γὰρ ὁ Πατήρ ἐσὶν ἐκ Πατρὸς, ἵνα τῷ ἐξ αὐτοῦ γεννωμένῳ χαρίσηται, ὅτε Πατὴρ, ὃ πρὸς Πατρὸς καὶ αὐτὸς

γένετο. Αὐτὸ δὲ τοῦτο καὶ περὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος λέγειν ἔχομεν. Εἰ γὰρ καλὸν τούτοις, τὸ ὕστερον ἐκ τοῦ Θεοῦ εἶναι, ἐκ ἀεὶ δὲ τοῦτο λῷον, ἐκ ἀεὶ ἄρα τὸ καλὸν λῷον ἂν αὐτοῖς· ὅπερ βλάσφημον.

Ἀμέλει καὶ πάνυ ἀναγκαιότατα καὶ θεοπρεπέστατα, τὸ ἀχρόνως ἐν τῇ θείᾳ Τριάδι γεννώμενον πρόσωπον, καὶ χρονικῶς γεννηθῆναι προώρισεν· εἰ γὰρ ὁ Πατὴρ ἐσαρκοῦτο, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, πόλλ' ἂν συμήγετο ἄτοπα, ἢ Πατρὸς ὄντος τοῦ αὐτοῦ καὶ Υἱοῦ, ἢ Υἱοῦ ὄντος τοῦ αὐτοῦ καὶ Προβλήματος· καὶ δύο Υἱῶν ἐν τῇ Τριάδι θεωρεμένων, καὶ τῶν ἰδίων τότε Πατρὸς καὶ τοῦ Πνεύματος αὐτίκα συγχεομένων· φημὶ δὲ τῆς ἀγεννησίας, καὶ τοῦ ἀναιτίου, καὶ τῆς πατρότητος, καὶ τῆς προβλητικῆς τοῦ Πατρὸς ἰδιότητος, καὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως· νῦν δὲ ἕκαστον τῶν προσώπων σώζει τὸ ἑαυτοῦ ἰδίωμα ἀπαράτρεπτον, ὥσπερ καὶ πρὸ τοῦ γενέσθαι τοῦ λόγου τοῦ ἀνθρώπησιν· ὁ Πατὴρ, Πατὴρ μόνον καὶ προβολεύς· ὁ Υἱὸς, Υἱὸς μόνον καὶ λόγος· τὸ Πνεῦμα, Πνεῦμα μόνον καὶ πρόβλημα· μηδαμῶς παραλλαγῆς ἐπίνοιαν, ἢ τροπῆς ἀποσκίασμα τῶν τριῶν τι δεξάμενον. Ὥστε εἰ δοίημεν τὸ Πνεῦμα τὸ ἅγιον, μὴ μόνον ἐκ τοῦ Πατρὸς, ἀλλ' ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προσωπικῶς ἐκπορεύεσθαι, ἀνάγκη καὶ τὸν Πατέρα κυρίως μὲν εἶναι Πατέρα, ἀ κυρίως δὲ Προβολέα· καὶ τὸν Υἱὸν, κυρίως μὲν εἶναι Υἱὸν, Προβολέα δὲ ἀ κυρίως· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, ἔστε τότε κυρίως πρόβλημα, ἔστε ἐκείνο, ἔστε ὡσαύτως ἐξ ἀμφοῖν· ἀλλ' ἐκ μὲν τοῦ, ἀμέσως· ἐκ δὲ τοῦ, ἐξ ἀμέσως.

Ὁ δέμοι πρὸς ταῦτα χθές τις τῶν ἐξ Ἰταλίας ὑπέβαλεν, ἤδη ἐρῶ· ἄγεμοι φράσον φησὶ τοῦ τοῦ Υἱοῦ καὶ Πνεύματος χέσιν· δεῖ γὰρ εἶναί τινα πάντως ἐν τούτοις τοῖς προσώποις, δι' οὗ καὶ ὁμόσια ταῦτα, καὶ διακεκριμένα φανεῖται· τὸ γὰρ γεννᾶντε καὶ ἐκπορεύειν, καὶ γεννᾶσθαι καὶ ἐκπορεύεσθαι, καὶ σιωπᾶν θεοπρεπῶς, καὶ διακρίνει τὰ θεῖα πρόσωπα. Ἐπεὶ γὰν ἀναιρεῖς τοῦ

φέρομεν, τὸν ἴσον τρόπον καὶ τὸ Πνεῦμα πρὸς τὸν ἑαυτῦ Προβολέα, κατὰ τλιὸ τῶν πρός τι ἀναφορὰν ἀναφέρομεν· καὶ τλιῶ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν σέργοντες ἅμα ἐν τῇ θείᾳ Τριάδι, καὶ τλιῶ κατὰ τὰ πρός τι διαφορὰν ἐκ ἀρνέμεθα. Ἐπεὶ καὶ τὸ, μόνος αἴτιος ὁ Πατὴρ, ἐπὶ ταύτης λεγόμενον, ἃ δίδωσι νοεῖν εἰς ἡμᾶς, καὶ ἄλλο πρόσωπον παρ' αὐτὸν αἴτιον εἶναι Θεότητος· ἐδὲ γὰρ ἂν λῷ μόνος αἴτιος ἐν τῇ Τριάδι ὁ Πατὴρ, εἰ καὶ ὁ Υἱὸς τῦ Πνεύματος αἴτιος λῷ· καὶ τὸ τὰς ἁγίας πάντας μηδεμίαν χέσιν ἑτέραν ἔσαν δεικνύειν τῦ Υἱῦ καὶ τῦ Πνεύματος, ἢπερ μόνον τὸν Πατέρα συνδεσμον ὄντα τῶν ἐξ αὐτῦ, σαφῶς ἐσὶ δοξαζόντων μήτε τὸν Υἱὸν ἐκ τῦ Πνεύματος εἶναι, μήτε τὸ Πνεῦμα ἐκ τῦ Υἱῦ προσωπικῶς ἐκπορεύεσθαι.

Ἀλλὰ τίνες εἰσὶν οἱ λέγοντες ἅγιοι, μόνος Υἱῦ καὶ Πνεύματος ὁ Πατὴρ αἴτιος; Ἐξαριθμήσομαι αὐτὲς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· πλιὼ ἀντὶ πάντων ἔτοι πρὸς πίστωσιν ἱκανοί. Ὁ θεῖος Ἰάκωβος ὁ τῦ Κυρίε ἀδελφός· ὁ ἐξ Ἀρείε Πάγε Διονύσιος, ὁ τὰ θεῖα πολύς· Σύλβεστρος ὁ Ῥώμης, καὶ Ἀθανάσιος ὁ πολύτλας· Δάμασος ὁ ἀοίδιμος· Βασίλειος ὁ ἐρανοφάντωρ· Ἱερώνυμος ὁ μέγας· ὁ θεολόγος Γρηγόριος· ὁ φιλόσοφος Ἰωάννης· ὁ Νύσης Γρηγόριος· Κύριλλος ὁ τῆς Ἀλεξάνδρε· καὶ Ἰωάννης ὁ Δαμασκόθεν· „ὧν ὁ μὲν, πᾶσα φησὶ δόσις „ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθεν ἐσὶ καταβαί- „νον ἐκ τῦ Πατρὸς τῶν φώτων· ὁ δὲ, ἐκ τῦ αὐλε καὶ „ἀμερῦς ἀγαθῦ, τὰ ἐγκάρδια τῆς ἀγαθότητος ἐξέφυ „φῶτα, καὶ τῆς σιὼ αὐτῷ, καὶ ἐν αὐτοῖς, καὶ ἐν ἀλλή- „λοις σωαϊδίε τῇ βλαστήσει διαμονῆς, ἀπομεμένηκεν ἀνεκ- „φοίτητα· ὁ δὲ, εἷς ὑπάρχεις Θεὸς ἀληθινὸς Πατὴρ, „ἀληθινὸν Υἱὸν ἔχων ἐκ σῦ γεννηθέντα· ἀληθινὸν Πνεῦ- „μα ἅγιον ἐκ σῦ ἐκπορευόμενον· ὁ δὲ, μόνος ἀγέννητος, „καὶ μόνος πηγὴ θεότητος ὁ Πατήρ· ὁ δὲ, εἴτις μὴ εἴποι „τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῦ Πατρὸς εἶναι ἀληθῶς καὶ κυ- „ρίως, ὡς καὶ τὸν Υἱὸν τῦ Θεῦ ἐκ τῆς θείας ἐσίας, καὶ „

ἐκ ἔστι τὸ σιώλον· καὶ τὸ πίστει ἐφάπαξ παραδεχθὲν, ἔτι βαθυτέραις ἐκβασανίζειν ἐρεύναις, ἐκ ἔχει λόγον ἐδ' ὁτιοῦν· ὅτι τὸ ἁπλοῦν τῆς πίστεως ἰσχυρότερον ἐστὶ τῶν λογικῶν ἀποδείξεων, καὶ αἱ ἄτεχνοι πίστεις, ἰσχυρότεραι εἰσὶ τῶν ἐντέχνων ἀπείρῳ μέσῳ· καὶ ὁ τῆς πίστεως βυθὸς ἐρευνώμενος μὲν κυμαίνεται, ἁπλῇ δὲ διαθέσει θεωρέμενος γαλλιᾷ. Τὸ περὶ τούτου τοίνυν ἔχοντες βέβαιον, κομιδῇ καὶ ἀδιάστατον, ἐκεῖνο λείπεται μόνον καὶ πάσῃ δυνάμει ζητεῖν, καὶ παντὶ τρόπῳ εὑρεῖν· ποῖον δὴ τοῦτο; τοῦτο· τὸ τί ἆρα πράξαντες σωτηρίας τυγχάνομεν· ὅτι πίστις ἄεργος, καὶ ἔργον ἄπιστον, ἀπόβλητα ἐπίστης παρὰ Θεῷ.

γὰρ ἡμῖν διακρίναι τὰ πρόσωπα, καὶ τίνι Πατρὸς καὶ Υἱῦ καὶ ἁγίου Πνεύματος δεικνύειν ὑπόσασιν. Καὶ πάλιν ἐν τῷ αὐτῷ „ τὸ ἀγέννητον καὶ γεννητὸν καὶ ἐκπορευτὸν, ἐκ οὐσίας ὀνόματα, ἀλλὰ τρόπος ὑπάρξεως τοῖς ὀνόμασι τούτοις χαρακτηρίζεται, ὡς εἶναι τίνι διαφορὰν τῷ Πατρὶ πρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὸν τῆς ὑπάρξεως τρόπον· ἢ γὰρ ὁ μὲν ἔχει τὸ εἶναι ἀγεννήτως, ὁ δὲ γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, τὰ τῆς διαφορᾶς ἐπιθεωρεῖσθαι πέφυκε. Καὶ ὁ μεταγενέστερος τῶν πολλῶν θεολόγος Ἰωάννης ὁ Σύρος, ἐν τῷ ἡ. τῶν αὐτῦ δογμάτων ἔτω διείσι „ διὰ τὸν Πατέρα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα πάντα ἃ ἔχει· τετέσι διὰ τὸ τὸν Πατέρα ἔχειν αὐτὰ, πλὴν τῆς ἀγεννησίας, καὶ τῆς γεννήσεως, καὶ τῆς ἐκπορεύσεως· ἐν ταύταις γὰρ μόναις ταῖς ὑποσατικαῖς ἰδιότησι, διαφέρουσιν ἀλλήλων αἱ ἅγιαι τρεῖς ὑποσάσεις. Καὶ πάλιν „ πάντα ὅσα ἔχει ὁ Πατὴρ αὐτῦ ἐστι τῦ Πνεύματος, πλὴν τῆς ἀγεννησίας, ἥτις ἐ σημαίνει ἐσίας διαφορὰν, ἐδὲ ἀξίωμα, ἀλλὰ τρόπον ὑπάρξεως. Ὁρᾶτε πῶς ἅπαντες ἴδιον τῦ Πατρὸς τὸ ἀγέννητον, καὶ τρόπον ὑπάρξεως, ὡς ἐκ συμφώνε τῦτο τιθέασιν; ἐν ταύτῃ γὰρ μόνῃ τῇ ὑποσατικῇ ἰδιότητι διαφέρειν αὐτὸν Υἱῦ καὶ Πνεύματος λέγουσιν, ὡς ἄρα τῇ τῦ ἀγεννήτε φωνῇ, Πατρὸς αὐτῦ καὶ Προβολέως αὐτίκα συνεπινοεμένε, ὡς εἴρηται.

Ἰσέον μέντοι κἀκεῖνο, ὅτι τὸ ἀγέννητον λεγόμενον ἐπὶ τῦ Πατρὸς, εἰ καὶ τῇ φωνῇ σεμνικὸν δοκεῖ, ἀλλὰ τῷ γε πράγματι ὑπαρκτικὸν ἐστὶν ἀληθέστατα, καὶ μᾶλλον ἢ τὸ γεννητὸν, καὶ ἐκπορευτόν· καὶ λέγω δεῦρο τὸ πῶς. Ὥσπερ γὰρ τὸ θνητὸν καὶ τὸ ἀθάνατον ἀνάπαλιν ἔχουσι τῷ πράγματι, κατὰ τὸ εἶναι σεμνικὰ, ἢ ὑπαρκτικά· τὸ μὲν γὰρ τῇ φωνῇ σεμνικὸν, δηλοῖ τίνι εἰς ἀεὶ ὕπαρξιν, τὸ δὲ τῇ φωνῇ ὑπαρκτικὸν, ἐκκοπὴν καὶ ἀδυναμίαν δηλοῖ τῆς τοιαύτης ὑπάρξεως· ἔτω καὶ τὸ ἀγέννητον, καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν, ἐπὶ τῶν θείων προσώπων λεγόμενα, τὸ μὲν ἀγέννητον δηλοῖ τῷ

Πατρὶ

προσώπων εἰσάγων ἐπὶ τῆς θείας Τριάδος, ὅστις ἂν ᾖ· ἐμοὶ ὁ πιστεύων οὐ ταύτῃ, τὸν μόνον ὄντα Πατέρα, τὸν αὐτὸν εἶναι μόνον καὶ προβολέα, καὶ τούτῳ σωιάπτων τὰ ἐξ αὐτοῦ προϊόντα κατὰ διάφορον πρόοδον, τὸ γέννημα δηλαδὴ καὶ τὸ πρόβλημα.

Τούτων δ' ὄντως ἐχόντων, ἀσεβῶς ἡμεῖς ἄρα τῷ Πατρὶ μόνῳ προσάπτομεν τὴν προβλητικὴν ἰδιότητα, ἐμοί τοι καὶ τῷ Υἱῷ· ὅτι τρόπον οὐκ εἰρήκαμεν διηρημένων τῶν ἐν τῇ θείᾳ Τριάδι προσωπικῶν, εἰ ὅλως οὐκ ἔστι τούτων συσατικὰ προσήκει καλεῖν, τὰ χαρακτηρίζοντα τὸν τῆς ὑπάρξεως τρόπον ἔτω καλεῖν δίκαιον, ὥσπερ δὴ τὸ ἀγέννητον ἐπὶ τοῦ Πατρὸς, καὶ τὸ γεννᾶσθαι καὶ ἐκπορεύεσθαι, τὸ μὲν ἐπὶ τοῦ Υἱοῦ, τὸ δὲ ἐπὶ τοῦ ἁγίου Πνεύματος· οὐχὶ τὸ γεννᾶν, ἢ τὸ προβάλλειν, ἴδια μὲν ὄντα, χέσιν δὲ ὑποφαίνοντα τοῦ Πατρὸς πρὸς τὰ ἐξ αὐτοῦ, τὸ γέννημα δηλαδὴ καὶ τὸ πρόβλημα· ἐκ ἄρα πολυθεΐαν εἰσάγει ὁ μόνον τὸν Πατέρα προβολέα δοξάζων, ἐδὲ ταῖς λοιπαῖς ἰδιότησιν ἐπεισακτον ἀλλὰ προσάπτει ποσῶς ἰδιότητα, ὅπερ δυσεβὲς καὶ πολύθεον. Καὶ ταῦτα μὲν ἔτω.

Χρὴ δὲ λοιπὸν σωιέντας ἡμᾶς τὸ τῆς θείας Τριάδος μυστήριον, ὀρθογώμονας εἶναι πρῶτον μὲν πρὸς αὐτὴν τὴν Τριάδα, ἔπειτα καὶ πρὸς αὐτὸ τὸ ὁμόφυλον, καὶ μὴ αἰτιᾶσθαι ἀλόγως τὰ πράγματα, ἀλλ' εὖ εἰδέναι ὅτι τῶν πραγμάτων τὰ μὲν ἐστὶ κυρίως καλὰ, τὰ δὲ κυρίως κακὰ, τὰ δὲ μέσως, κτ. Ὡς οὖν τῷ ἠθικῷ τοῦ Θ'. Λόγου Σελ. 168. ἀπὸ Στίχου ιθ'. ἄχρι Στίχου κέ. τῆς ἑξῆς Σελ. 109.

καὶ τὴν ἄῤῥητον ἔλλαμψιν, ἧς ἐν μεθέξει οἱ ταύτης ἄξιοι γίνονται. Ἀλλὰ περὶ μὲν ἐλλάμψεως Πνεύματος ἁγίου, καὶ οἰκήσεως αὐτοῦ τῆς εἰς τοὺς πιστοὺς γινομένης, τοῦ τὸν λόγον ἡμῖν χορηγοῦντος, ἐν ἄλλοις ἐρέμεν πλατύτερον· νῦν δὲ τίνα δόξαν ἔχομεν περὶ τῆς ἐν τῇ θείᾳ Τριάδι τάξεως θεωρεμένης προτραπόντες εἰπεῖν, περὶ ταύτης λοιπὸν ἔτω φαμὲν, καὶ παρίσαμεν ὥσπερ ὑπ' ὄψιν τῶν λεγομένων τὴν διώαμιν. Διὸ προσέχετέ μοι ἁπλῶς, καὶ μὴ περιέργως τοῦ δακτύλου τρισὶ δοκοῦντος δεικνύειν τὸν ἀχημάτιστον ἐπιλάβησθε· τὸ γὰρ τοῦ λόγου δυσνόητον εὐληπτον ἔτω τοῖς πρὸς ἡμᾶς ἐνορῶσι ποιέμεθα, ἐχὶ τὸν ἀπερίληπτον καὶ ἀπρόσιτον τολμηρῶς περιγράφειν πειρώμεθα. Ἀλλ' ἄνοιξον τοὺς ὀφθαλμούς τῆς ψυχῆς μου Θεὲ, καὶ σωθήσομαι. Σῶσόν με Κύριε, καὶ σωθήσομαι.

Ἡ τοίνυν τῆς πρὸς ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητος πρόοδος ἄνθρωποι, ἀπεναντίως καὶ ἔστι καὶ λέγεται, τῆς ἀφ' ἡμῶν πρὸς αὐτὸν θεογνωσίας ὁδός· ἐκείνη μὲν γὰρ ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ ἐπὶ τὸ Πνεῦμα διήκουσα, ἔτω διὰ τοῦ Πνεύματος ἡμῖν μεταδίδοται· αὕτη δὲ, ἀφ' ἡμῶν ἀρχομένη, (ἡμεῖς γὰρ ἐσμὲν οἱ Θεὸν γινώσκειν βουλόμενοι·) ἀπὸ τοῦ Πνεύματος διὰ τοῦ Υἱοῦ ἐπὶ τὸν Πατέρα χωρεῖ, κἀκεῖ ἵδρυται. Ὅθεν οἱ θεολόγοι, τὸν μὲν τρόπον τῆς πρὸς ἡμᾶς θεουργικῆς ἐκείνης προόδου δεικνύοντες, ὥσπερ ἄνωθεν κάτω ποιοῦνται τὸν τοῦ λόγου εἰρμόν· διόπερ ἀκούετε „πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθεν ἐστὶ καταβαῖνον πρὸς ἡμᾶς, ἐκ τοῦ Πατρὸς τῶν Φώτων· περὶ δὲ τῆς ὁδοῦ τῆς θεογνωσίας διαλαμβάνοντες, κάτωθεν ὥσπερ αὐτὴν ἀρχομένην, καὶ ἄνωπερ τελουτῶσαν τιθέασιν, ὡς προϊὼν ὁ λόγος ἐρεῖ. Ἀλλὰ τὰ παρὰ τῶν ἁγίων ταῦτα, ἅπερ, ἢ διὰ τὴν πρὸς ἡμᾶς ἐκεῖθεν τῆς ἀγαθότητος ἔκχυσιν, ἢ διὰ τὴν ἡμῶν πρὸς τὸν Πατέρα διὰ τοῦ Πνεύματος καὶ τοῦ Λόγου οἰκείωσιν γέγραπται, πάντα τινὲς, διὰ τὴν σάσιν καὶ τάξιν τῶν θείων προσώπων, τοπικῶς, ἢ τροπικῶς εἰρῆσθαι νομίζουσι· τοῦτο

καὶ ἀνώτερος, καὶ, ἅτε ὑπερεράνιος, πολὺ ἁτατος ἀφ' ἡμῶν· ὁ δὲ Υἱὸς δεύτερος μὲν τοῦ Πατρὸς, καὶ κατώτερος, πρῶτος δὲ τοῦ Πνεύματος καὶ ἀνώτερος, καὶ μᾶλλον τὰ πρὸς ἡμᾶς ἐγγύτερος τοῦ Πατρὸς, ὡς ἐράνιος· τὸ δὲ Πνεῦμα τὸ ἅγιον, δεύτερον μὲν τοῦ Υἱοῦ, τρίτον δὲ τοῦ Πατρὸς, καὶ αὖ πρόσγειότερον μὲν τοῦ Υἱοῦ καὶ κατώτερον, κατώτατον δὲ τοῦ Πατρὸς, καὶ ἡμῖν ἐγγύτατον, ἅτε τοῦ ἀνωτάτω ἐπὶ τὸ κάτω ἀφεσηκός· καὶ μόνος μὲν ὁ Πατὴρ τοῦ Υἱοῦ μόνου ἄμεσός τε καὶ προσεχὴς αἴτιος, ἔμμεσος δὲ τοῦ Πνεύματος καὶ ἀπώτερος, καὶ ἄκρον ἀνώτερον μόνον, ἀμιγὲς καὶ μέσον τινός· ὁ δὲ Υἱὸς μόνος, μέσον Πατρός τε καὶ Πνεύματος, καὶ κύτερα λόγον ἐπέχων πρὸς τὰ ἑαυτοῦ ἑκατέρωθεν, καὶ ἄμεσός τε καὶ προσεχὴς, ἄκρος δὲ ἢ ἔμμεσος ἑδενός· τὸ μέντοι Πνεῦμα τὸ ἅγιον μόνον ἔμμεσον μὲν τοῦ Πατρὸς ἄκρον, ἄμεσον δὲ τοῦ Υἱοῦ, μέσον δὲ ἑδενός· πάντα δὲ ἄνωθεν κάτω, καὶ καθεξῆς τὰ θεῖα πρόσωπα σχηδὸν, δίκιω αὐλύτεως ἐπιμήκης, ἢ γενεαλογίας, ἢ σειρᾶς τρόπον, ἀλλήλων ἐξηρτημένα· ἑδενὶ ὰ τούτοις ἐκ δεξιῶν, ἑδενὶ ἐξ ἀριστερῶν, ἅτε μιᾷ ἕνωσις Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ, ἑδ' ἀγεννήτε καὶ γεννητὸ μέσον τὸ Πνεῦμα τὸ ἅγιον, ἑδ' ὅλα ἐν ὅλοις ἐσί· καὶ τὸ ἴσα δὲ πρὸς ἄλληλα ἕνεκα τοῖς ἅπασιν ἅπεσι· (*) καὶ ἑδὲ τὸ ἐν τοῖς λογισμοῖς ἀκόλουθον διασώζεσιν, οἱ διὰ πάντων δίκειν τῷ Υἱῷ μὴ διδόντες, μηδὲ τῷ Πνεύματι· ἑδὲ μέμνηνται τοῦ Προφήτε λέγοντος „ πῆ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σε, καὶ ἀπὸ τοῦ προσώπε σε πῆ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν ἔρανον, σὺ ἐκεῖ εἶ· καὶ ἐὰν καταβῶ εἰς τὸν ἅδλιν, πάρει. Τί δὲ, τινὶ πρὸς τὰς Γραφὰς μάχιν καὶ ἐναντίωσιν αὐτῶν παραμυθήσεται; τὸ, κάθε ἐκ δεξιῶν με; καὶ τὸ, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν τοις ὑψηλοῖς, λεγόμενον περὶ τοῦ Υἱοῦ; καὶ τὸ, Κύριος ἐκ δεξιῶν σε συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς, περὶ τοῦ Πνεύματος εἰρημένον; τὸ γὰρ δεξιὸν ἑ τινὶ κάτω χώραν ἐν ταὐτὰ δηλοῖ, ὡς ὁ τότων βέλεται λόγος, ἀλλὰ τινὶ

(*) Ὅρα Πίν. Α'. Σχ. Β'.

βασιλικὸν ἀξίωμα, ἐκ τῦ Πατρὸς, διὰ τῦ μονογενῦς, ἐπὶ τὸ Πνεῦμα δήκει· ἔτω καὶ αἱ ὑποσάσεις ὁμολογῆνται, καὶ τὸ ἀσεβὲς δόγμα τῆς μοναρχίας ἐ διαπίπλει. Καὶ αὖθις, ἐν τῷ ἕκτω καὶ εἰκοστῷ τῶν αὐτῶν „ ἀδιώατον ἰδεῖν τινὰ εἰκόνα τῦ Θεῦ τῦ ἀοράτε, μὴ ἐν τῷ Φωτισμῷ τῦ Πνεύματος, καὶ τὸν ἐνατενίζοντα τῇ εἰκόνι ἀμήχανον τῆς εἰκόνος ἀποχωρῆσαι τὸ Φῶς· τὸ γὰρ τῦ ὁρᾶν αἴτιον, ἐξ ἀνάγκης συγκαθοράται τοῖς ὁρατοῖς· ὥσε οἰκείως καὶ ἀκολέθως, διὰ μὲν τῦ Φωτισμῦ τῦ Πνεύματος, τὸ ἀπαύγασμα τῆς δόξης τῦ Θεῦ καθορῶμεν, διὰ δὲ τῦ χαρακτῆρος, ἐπὶ τὸν ἔ ἐσὶν ὁ χαρακτὴρ καὶ ἡ ἰσότης σφραγὶς, ἀναγόμεθα. Πρὸς δὲ καὶ ἐν τῷ δ'. τῶν Ἀντιῤῥητικῶν, διά τε τῦ Ἀποσόλε καὶ δι' ἑαυτῦ, διτλῶς αὐτὸ βεβαιοῖ λέγων „ διαιρέσεις χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· ταῦτα δὲ πάντα φησὶν ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιρῶν ἰδίᾳ ἑκάσῳ καθὼς βέλεται. Οὐ μὴν ἐπειδὴ τὸ πρῶτον ἐνταῦθα ὁ Ἀπόσολος τῦ Πνεύματος ἐπεμνήθη, καὶ δεύτερον τῦ Υἱῦ, καὶ τρίτον τῦ Θεῦ καὶ Πατρὸς, ἤδη χρὴ καθόλε νομίζειν ἀντεσράφθαι τινὰ τάξιν· ἀπὸ γὰρ τῆς ἡμετέρας χρείας τινὰ ἀρχὴν ἔλαβεν· ἐπειδὴ ὑποδεχόμενοι τὰ δῶρα, πρῶτον ἐντυγχάνομεν τῷ διανέμοντι, εἶτα ἐνοῦμεν τὸν ἀποσείλαντα, εἶτα ἀνάγομεν τινὰ ἐνθύμησιν ἐπὶ τινὰ πηγὴν καὶ αἰτίαν τῶν ἀγαθῶν.

Οὕτω τοίνυν τῦ Θεοφάντορος ἀποφαινομένε, λοιπὸν μέσον Πατρὸς καὶ Πνεύματος, τὸν Υἱὸν οἱ Θεολόγοι τιθέμενοι, τῶν ἀπὸ τῦ Πατρὸς εἰς ἡμᾶς ἀγαθῶν τινὰ χάριν, καὶ τινὰ πρὸς τὸν Πατέρα ἡμετέραν οἰκείωσιν δι' αὐτῦ πεδάζεσιν ἐνεργεῖσθαι παρασῆσαι, ἢ ἐχὶ τῦτον ἀποδεῖξαι τῦ Πνεύματος αἴτιον. Πρὸς δὲ, ὁμολογίας τε καὶ μνήσεως τάξιν, τῇ τῦ Χρισῦ ἐκκλησίᾳ παραδιδόντες, ἵνα μὴ ἀλλοκότῳ ἔθει βαπτίζωσί τινες, ἢ τινὰ τῆς πίσεως

Υἱός· ἢ, Πατὴρ Πνεῦμα Υἱός· ἔτος γὰρ ποτὲ μὲν δίδωσι νοεῖσθαι τὸ Πνεῦμα αἴτιον Πατρὸς καὶ Υἱοῦ, ποτὲ δὲ τὸν Υἱὸν τοῦ Πνεύματος Υἱόν.

Ὅτι δὲ ἡ τοιαύτη συνταξις τῶν ὀνομάτων ἀταξίαν τοῖς ἁγίοις δοκεῖ, καὶ ταύτην φεύγοντες, τὴν ἐναντίαν αὐτῆς ὑπαρίθμησιν, τάξιν ἐν τῇ Τριάδι θεοπαράδοτον οἰόνται, αὐτοὶ μάρτυρες· ὁ μὲν μέγας Βασίλειος ἐν τῇ πρὸς Κανονικὰς ἐπιστολῇ, νῦν μὲν λέγων, „τὸ Πνεῦμα τὸ ἅγιον Πατρὶ μὲν καὶ Υἱῷ συναριθμεῖται, διότι καὶ ὑπὲρ τὴν κλίσιν ἐστί· τέτακται δὲ τρίτον, ὡς ἐν τοῖς Εὐαγγελίοις δεδιδάγμεθα ἀπὸ τοῦ Κυρίου, εἰπόντος, πορευθέντες βαπτίζετε αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ὁ δὲ προτιθεὶς τὸ Πνεῦμα τοῦ Υἱοῦ, ἢ τὸν Υἱὸν πρεσβύτερον λέγων Πατρὸς, ἔτος ἀνθίσαται μὲν τῇ τοῦ Θεοῦ διαταγῇ, ἀλλότριος δὲ τῆς ὑγιαινούσης πίστεως, μὴ ὃν παρέλαβε τρόπον δοξολογίας φυλάττων, ἀλλ' ἑαυτῷ καινοφωνίαν εἰς αἵρεσιν ἀνθρώπων ἐπινοῶν· νῦν δὲ, ἐν τῇ αὐτῇ, ἡ περὶ τὴν τῆς ἁγίας Τριάδος τάξιν καινοτομία, αὐτῆς τῆς ὑπάρξεως ἀθέτησιν ἔχει, καὶ ὅλης τῆς πίστεως ἐστὶν ἄρνησις· καὶ τὸ Πνεῦμα ὁμοίως ἐστὶν ἀσεβὲς ἐπὶ τὴν κλίσιν καταγαγεῖν, καὶ ὑπερτιθέναι αὐτὸ, ἢ Υἱοῦ, ἢ Πατρὸς, ἢ κατὰ τὸν χρόνον, ἢ κατὰ τὴν τάξιν· νῦν δὲ, ἐν τῷ πρὸς Εὐσάθιον λόγῳ, φεύγειν δεῖ καὶ τὰς τὴν ἀκολουθίαν, ἣν παρέδωκεν ἡμῖν ὁ Κύριος ἀναμείβοντας, ὡς φανερῶς μαχομένας τῇ εὐσεβείᾳ, καὶ Υἱὸν μὲν προτάσσοντας τοῦ Πατρὸς, Υἱοῦ δὲ τὸ Πνεῦμα τὸ ἅγιον προτιθέντας. Ὁ δὲ ἅγιος Λυγδεῖνος ἐν τῷ περὶ Τριάδος αὐτοῦ βιβλίῳ „λέγομεν γὰρ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Πατρὸς, ἀλλ' ἐχὶ καὶ ἀναλλὰξ λέγομεν τὸν Πατέρα τοῦ Πνεύματος τοῦ ἁγίου, ἵνα μὴ Υἱὸς αὐτοῦ νοηθείη τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ αὖθις, λέγομεν τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Υἱοῦ, ἀλλ' ἐχὶ λέγομεν καὶ τὸν Υἱὸν τοῦ Πνεύματος, ἵνα μὴ Πατὴρ αὐτοῦ νοηθείη τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ ὁ Νύσσης Γρηγόριος ἐν τοῖς κατ' Εὐνομίου „τὸ Πνεῦμα τὸ ἅγιον μετὰ

ἔσας, καὶ πάνυ προσεῖναι τάξιν φαμέν· αὕτη δέ ἐστι, τὸ τηρεῖν τῶν θείων προσώπων ἕκαστον τὴν ἑαυτῆ ἰδιότητα ἀμιγῆ καὶ ἀκοινώνητον πρὸς τὰ ἕτερα. Φησὶ γὰρ ὁ θεολόγος Γρηγόριος, ἐν τῷ περὶ τῆ ἁγίᾳ Πνεύματος, „ἔδει γὰρ τὰς ἰδιότητας μεῖναι Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, ἵνα μὴ σύγχυσις ᾖ περὶ τὴν Θεότητα, τὴν καὶ τἆλλα εἰς τάξιν ἀγαγοῦσαν· ὁ δὲ μέγας Βασίλειος ἐν τῷ τρίτῳ τῶν πρὸς Εὐνόμιον „λέγουσιν οἱ αἱρετικοὶ κατὰ τάξιν καὶ ὑπαριθμησιν ἑσάναι τὴν Θεότητα, ἐρῶμεν ὅτι γέγραπται, ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ· καὶ πάλιν, πρῶτον φησὶ τὸ ψυχικὸν, εἶτα τὸ πνευματικόν· εἰ τοίνυν τῷ πρώτῳ ὑπαριθμεῖται τὸ δεύτερον, τὸ δὲ ὑπαριθμούμενον ἀτιμότερον ἐστὶ τοῦ πρὸς ὃ ἔχει τὴν ὑπαρίθμησιν, ἀτιμότερος καθ' ὑμᾶς τοῦ ψυχικοῦ ὁ πνευματικὸς, καὶ τοῦ χοϊκοῦ ἀνθρώπου ὁ ἐπουράνιος· καὶ πάλιν, ὁ αὐτὸς ἐν τῷ αὐτῷ, περὶ τοῦ ἐπαράτου Εὐνομίου διεισιν ἑτοίμως „ὁ Εὐνόμιος τρίτον μὲν τῷ ἀξιώματι καὶ τῇ τάξει δοξάζει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς δῆθεν πρὸς τῶν ἁγίων τοῦτο μεμαθηκώς· τίνες δὲ οἱ ἅγιοι; ἢ ἐν ποίοις λόγοις τὴν διδασκαλίαν πεποίηται; εἰπεῖν οὐκ ἔχει. Καὶ ὁ τῆς Ἀλεξάνδρου φωστὴρ Ἀθανάσιος „μία ἀρχὴ Θεότητος, καὶ οὐ δύο ἀρχαί· ὅθεν κυρίως καὶ μοναρχία ἐστὶν· ἐξ αὐτῆς δὲ τῆς ἀρχῆς ἔστι φύσει, Υἱὸς ὁ Λόγος, οὐχ ὡς ἀρχὴ ἑτέρα καθ' ἑαυτὸν ὑφεστώς, ἀλλ' ἐξ ὧν ταύτης γεγονὼς, ἵνα μὴ τῇ ἑτερότητι δυαρχία καὶ πολυαρχία γένηται· διόπερ ἡμῖν κατὰ τὸν Ἀπόστολον, εἷς Θεὸς ὁ Πατὴρ ἐξ οὗ τὰ πάντα· καὶ γὰρ ὁ Λόγος ἐξ αὐτοῦ γεννητῶς, καὶ τὸ Πνεῦμα ἐξ αὐτοῦ ἐκπορευτῶς. Καὶ ὁ τὰ θεῖα πολὺς Διονύσιος, ἐν τῷ περὶ Ἰωμανίης καὶ διακεκριμένης θεολογίας κεφαλαίῳ „ἡ θεολογία τὰ μὲν Ἰωμανίως παραδίδωσι, τὰ δὲ διακεκριμένως· καὶ ἔστε τὰ Ἰωμένα διαιρεῖν θεμιτὸν, ἔστε τὰ διακεκριμένα συγχεῖν· ἀλλ' ἑπόμενες αὐτῇ κατὰ δύναμιν, ἐπὶ τὰς θείας μαρμαρυγὰς ἀναιδεύειν· κἀκεῖθεν τὰς θείας ἐκφαντορίας παραλαβόντες, ὥσπερ τινα κανόνα κάλλιστον ἀληθείας,

καὶ ὁ Υἱὸς, οὐχ ἑτέρωθεν. Εἴτε οὖν κατὰ τάξιν καὶ ὑπαρίθμησιν, ὅπερ ἔφην, τὰ θεῖα ἵσταται πρόσωπα, εἴτε ἄνωθεν κάτω ταῦτα χωρεῖ σιχηδόν· εἴτε κάτωθεν ἄνω προβαίνει, εἴτε καθ' εἱρμὸν πλαγιόθεν, ἢ ὁθενοῦν· κἂν μέσος ὁ Πατὴρ θεωρῆται, τὰ δὲ ἐξ αὐτοῦ προϊόντα ἑκατέρωθεν πρόεισι, κἂν ἄκρος τὰ δ' ἐφεξῆς, κἂν διῃρημένως ταῦτα, κἂν ἰνωμένως ἐξ αὐτοῦ προϊέναι πιστεύηται, κἂν ἅμα καὶ ἄμφω, κἂν τὸ μὲν προτέρως τὸ δὲ ὑστέρως νοῆται, κἂν ὁντινοῦν τρόπον αἰτίας, ἢ στάσεως, ἢ τάξεως, ἢ μονῆς, ἢ κινήσεως, εἰς τὴν Τριάδα ἀναγομένης πειρᾶταί τις ἐπινοεῖν, ὁ Πατὴρ μόνος εὑρίσκεται καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος καθ' ὑπόστασιν αἴτιος· καὶ τοῦτο πάντοθεν πρόδηλον, ὅτι γεννήτωρ μόνου Υἱοῦ πρὸς τῶν ἁγίων Πατέρων, καὶ προβολεὺς θείου Πνεύματος ὁ Πατὴρ, πολλαχοῦ λεγόμενος εὕρηται, Πατὴρ δὲ προβολέως, ἢ αἴτιος, οὐδαμοῦ παράτινος εἴρηται· ὅτι καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πρὸς ἓν αἴτιον μόνον, οὐχὶ καὶ πρὸς αἰτιατὸν τὴν ἀναφορὰν ἔχειν παρὰ πάντων δοξάζεται· ὅτι καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος ἅμα, ἓν μόνον εἶναι καὶ οὐχὶ δύο τὰ αἴτια, πάσης τῆς ἐκκλησίας δόξα κοινή· ὅτι οὔτε πρὸς μόνον τὸν Υἱὸν, οὔτε πρὸς μόνον τὸ Πνεῦμα, ἀλλ' εἰς τὸν Πατέρα μόνον ἀνάγεσθαι τὰ ἑξῆς ἅπασιν ὡμολόγηται· ὅτι ἀδιστάκτως τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· ὅτι Πατρὶ καὶ Υἱῷ συνῃμμένον ἐπίσης πιστεύεται· ὅτι μόνον Πατρόθεν ἔχειν τὴν ὕπαρξιν αὐτὸ, οὐχὶ καὶ ἑτέρωθεν μεμαρτύρηται· ὅτι καὶ συνάφεια τοῦτο Πατρὸς καὶ Υἱοῦ εἶναι λέγεται· ὅτι καὶ μέσον ἀμφοῖν τοῖν προσώποιν εὑρίσκεται· καὶ ὅτι ἀδιαφόρως τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς προσωπικῶς ἐκπορεύεται.

Εἰ δὲ δοίημεν ὅλως τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἢ ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ καθ' ὑπόστασιν ἐκπορεύεσθαι, τὰ ἑπόμενα ἐκ τούτου ἄτοπα πρόδηλα· καί γε τοῖς τὰ ῥηθέντα ταῦτα θεολογοῦσι, καὶ πᾶσιν ἁγίοις τὸ δόγμα τοῦτο κατὰ στόμα προσυπαντᾷ· ἤγουν, ὅτι μὴ μόνον Υἱοῦ, ἀλλὰ καὶ προβολέως αἴτιος καὶ Πατὴρ, ὁ

Πα-

μία Θεότης, καὶ πρὸς αὐ τὰ ἐξ αὐτῆ τιὼ ἀναφορὰν ἔχει, καὶν τρία πιστεύηται· ἓ γὰρ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον Θεός· οὐδὲ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον· οὐδὲ βουλήσει τέμνεται, οὐδὲ δυνάμει μερίζεται, οὐδέ τι τῶν ὅσα τοῖς μερισοῖς ὑπάρχει, καὶνταῦθα λαβεῖν ἐστίν. Ὁ δὲ μέγας Βασίλειος ἐν τῷ πρὸς Ἀμφιλόχιον ἐπιστολικαιδεκάτῳ „τὸ γὰρ ὄνομα τῆ Πατρὸς καὶ τῆ Υἱῆ καὶ τῆ ἁγίε Πνεύματος ὁμοίως ἐκδέδοται· ὡς τοίνυν ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, ἕτω πρὸς τὸν Υἱὸν τὸ Πνεῦμα, κατὰ τιὼ αὐ τῷ βαπτίσματι παραδεδομένῳ τῆ λόγε σώταξιν· εἰ δὲ τὸ Πνεῦμα τῷ Υἱῷ σωτέτακται, ὁ δὲ Υἱὸς τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα τῷ Πατρὶ δηλονότι· τίνα ἓν χώρων ἔχει, τὸ μὲν σωαριθμεῖθαι, τὸ δὲ ὑπαριθμεῖθαι λέγειν, ἐν μιᾷ καὶ τῇ αὐτῇ συστοιχίᾳ κατατεταγμένων τῶν ὀνομάτων; ὅλως δὲ τὶ τῶν πάντων ἐξέστη τῆς ἑαυτῆ Φύσεως, ἀριθμέμενον; Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα παραδιδὰς ὁ Κύριος, ἃ μετὰ τῆ ἀριθμῆ σωεξέδωκεν· ἃ γὰρ εἶπεν ὅτι εἰς πρῶτον καὶ δεύτερον καὶ τρίτον· οὐδὲ εἰς αὐ καὶ δύο καὶ τρία· ἀλλὰ δι' ὀνομάτων ἁγίων τιὼ γνῶσιν τῆς πρὸς σωτηρίαν ἀγάσης πίστεως ἐχαρίσατο· ἢ γῆν σιωπῇ τιμάθω τὰ ἀπόῤῥητα, ἢ δύσεβῶς ἀριθμείθω τὰ ἅγια. Καὶ αὐ τῷ ὀκτωκαιδεκάτῳ τῶν αὐτῶν „οἱ δὲ τιὼ ὑπαριθμησιν αὐ τῷ πρῶτον καὶ δεύτερον καὶ τρίτον λέγειν τιθέμενοι, γνωριζέσθωσαν τὸ πολύθεον τῆς ἑλληνικῆς πλάνης, τῇ ἀχράντῳ θεολογίᾳ τῶν χριστιανῶν ἐπισύροντες· εἰς ἀδὸν γὰρ ἕτερον φέρει τῆς ὑπαριθμήσεως τὸ κακέργημα, ἢ ὥστε πρῶτον καὶ δεύτερον Θεὸν καὶ τρίτον ὁμολογεῖν· ἐκὲν τριθεΐαν ἡμῖν ἐπεισάγεσι, καὶ τὸ Πνεῦμα τήμερον τρίτον ὁμολογεῖν παραινέντες. Ὑπέρδυγέσοι ἐρανοφάντορ! ὡς πραγμάτων ἡμᾶς μυρίων, δι' ὀλίγων ῥημάτων ἀπήλλαξας! Εἰ δὲ τρίτον μὲν τὸ Πνεῦμα τῇ ὀνομασίᾳ μόνῃ σωαριθμέμενον, ὑπαριθμέμενον δὲ, ἢ μᾶλλον σαφέστερον εἰπεῖν, πιστεύόμενον τρίτον, πολυθεΐας γνώρισμα, ἐκ ἄρα καὶ ἐκ τῆ Υἱῆ τῶτο προσωπικῶς ἐκπορδύεται, διὰ τὸ τρίτον ἐν τῇ Τριάδι σωαριθμεῖθαι.

ὁ πεσὼν ἀπ' ἐδάφους ῥᾳδίως ἐγείρεται, ὁ δὲ πεσὼν ἀφ' ὑψηλοῦ κινδυνεύει εἰς θάνατον.

Ὁ δὲ λέγει „ταράσσεται ὁ ὑπερήφανος ὡς θύελλα, καὶ ὡς κόνις ἐξαφανίζεται· ὡς πομφόλυξ ὀγκοῦται, καὶ ὡς καπνὸς διαλύεται· τὸ ὑπέρογκον πνεῦμα, τὸ μεγαλορρῆμον θράσος, ὁ πηλὸς ὁ αὐθάδης, ἡ κόνις ἡ μεγαλόφρων, ἡ σποδὸς ἡ πεφυσημένη, ὁ σπινθὴρ ὁ εὐκατάσβεστος, ἡ εὐμάραντος χλόη, ὁ εὐρίπιστος λύχνος, ὁ τῇ φύσει θνητὸς, καὶ τῇ ἐπάρσει, ὡς νομίζει, αἰώνιος.

Ὁ δὲ οὕτωσί που προσυποτίθησι „μὴ μέγα φρόνει ἄνθρωπε, ὀξύρροπον πάντῃ καὶ εὐμετάπτωτον πάνυ τῶν ἀνθρώπων ἡ φύσις· τὶ τὸν τράχηλον ἀνατείνεις εἰπέμοι; τὶ δὲ βαδίζεις ἐπ' ἄκρων ὀνύχων; τὶ τὰς ὀφρῦς ἀνασπᾷς, καὶ τὸ στῆθος φυσᾷς; τρίχα οὐ δυνάσαι λευκὴν ποιῆσαι ἢ μέλαιναν, καὶ ὡς πάντων κρατῶν, οὕτως ἀεροβατεῖς; τάχα ἐβούλου σοι καὶ πτερὰ φυῆναι, ἵνα μὴ βαδίζῃς ἐπὶ τῆς γῆς; τί σε καλέσω, καὶ καθελῶ σου τὴν ἀπόνοιαν; εἴπωσε τέφραν καὶ κόνιν καὶ καπνὸν καὶ κονιορτόν; ἀλλ' οὐδέπω ἀκριβῶς τῆς εἰκόνος ἐπελαβόμην· ἐμοὶ δοκεῖς συππίῳ καταφλεχθέντι προσεοικέναι· καὶ γὰρ ἐκείνο δοκοῦν οἰδεῖν, μετὰ τὸν πιεσμὸν, καὶ διανεστηκέναι, μικρὰν χειρὸς ἁφὴν ἂν ὑπομείνῃ, κατηνέχθητε ἅπαν, καὶ τέφρας ἁπάσης εὐτελέστερον ἐφάνη· καὶ ὥσπερ αἱ πομφόλυγες εἰς ὕψος αἱρόμεναι εὐκόλως ῥήγνυνται, οὕτω καὶ οἱ τῇ κενοδοξίᾳ φυσώμενοι ῥᾳδίως ἀπόλλυνται· πομφόλυξ ἀρθεῖσα, ῥαγεῖσα θᾶττον ἀφανισθήσεται· καὶ μνήμη ὑπερηφάνου τάχιον ὄλλυται· ὑπερηφανίαν νοσεῖ ὁ ἀποχωρίσας ἑαυτὸν τοῦ Θεοῦ, καὶ ἰδίᾳ δυνάμει ἐπιγράφων τοὺς λόγους ἑαυτοῦ καὶ τὰ κατορθώματα· ὥσπερ δὲ ὁ ἐπιβὰς ἀράχνῃ διαπεσὼν κατηνέχθη ἄφνω, οὕτω πίπτεις θαρρῶν τῇ ἰδίᾳ δυνάμει· σκώληξ καὶ μύρμηξ πτεροφυήσαντες, καὶ εἰς ὕψος ἀρθέντες, πτηνοῖς αὐτίκα γίνονται βρῶμα· καὶ ἀλαζὼν καὶ αὐθάδης ἐπαρθέντες οἰήσει, δαίμοσι δείκνυνται παρανά-

„λωμα·

ἀλλ᾽ ὀξὺ ἀκούεις; ἀλλὰ οἱ Χῖοι ὀξύτερον· ἀλλ᾽ ὀσφραί- "
νῃ ὀξύ; ἀλλ᾽ ὁ Κύων οὐκ ἀφίησί σε αὐτὸν παρελθεῖν· "
ἀλλὰ ποριστικὸς εἶ; ἀλλὰ τοῦ Μύρμηκος ἀπολείπῃ πο- "
λύ· ἀλλὰ χρυσοφορεῖς; ἀλλ᾽ οὐχ ὡς οἱ Ἰνδικοὶ Μύρ- "
μηκες. Ὥστε ὁ πάντων ἀνθρώπων μέγα φρονῶν σὺ, "
καὶ τῶν ἀλόγων ἐν πολλοῖς εὐτελέστερος εἶ. Διάτοι- "
τοῦτο γνῶθι σαυτὸν, καὶ πρόσχες, ὅτι ἔστιν ἐν οἷς οὐδὲν "
ἡμῖν τὰ ἄλογα κοινωνεῖ· ποῖα δὴ ταῦτα; τὸν Θεὸν "
ἴσμεν, τὴν πρόνοιαν ἐπιγινώσκομεν τὴν αὐτοῦ, περὶ "
ἀθανασίας φιλοσοφοῦμεν, εὐσεβοῦμεν, σωφρονοῦμεν, "
ἐπιεικεῖς γινόμεθα, πραεῖς, ταπεινοὶ, χρημάτων "
ὑπερόπται. "

Ταῦτα μὲν οὖν εἰ καὶ παρεκβατικώτερον εἴρηται, ἀλλ᾽ ἱκανὰ πρὸς τὸ δεῖξαι, ὅθεν ἡμῖν τὴν ἀρχὴν τὸ δεινὸν ἐπεισέφρησεν. Ἵνα δ᾽ ἐπὶ τὸν τοῦ λόγου εἱρμὸν ἐπανέλθωμεν, εἴπερ ἡ ἐφεξῆς στάσις αὕτητε καὶ ὑπαρίθμησις οὐκ ἀπόβλητος τοῖς ἁγίοις ἐδόκει, ἀλλ᾽ ὡς θέσις ἐστέργετο τοῦ δόγματος, πάντως ἂν ὀρθοδόξως καὶ παρ᾽ ἡμῶν ἐπιστεύετο· ὅπου δὲ ὁ μὲν τούτων λέγει, ὡς μικρῷ πρόσθεν εἴρηται „λέγω Πατέρα πρῶτον, οὐ τῇ τάξει "
πρῶτον, ἀλλὰ τῇ ἐννοίᾳ· οὐ γὰρ ἔχει τάξιν ὁ Θεὸς, οὐχ "
ὡς ἄτακτος, ἀλλ᾽ ὡς ὑπὲρ τάξιν ὤν· ὁ δὲ, περὶ τῶν "
θείων προσώπων οὕτω φρονοῦμεν καὶ οὕτως ἔχομεν, ὡς "
ὅπως μὲν ἔχει ταῦτα φύσεως τε καὶ τάξεως, αὐτῇ μό- "
νῃ τῇ Τριάδι συγχωρεῖν εἰδέναι· καὶ πάλιν, οὐ γὰρ τὸ "
μὲν μᾶλλον, τὸ δὲ ἧττον Θεός· οὐδὲ τὸ μὲν πρότερον, τὸ "
δὲ ὕστερον· ὁ δὲ, νῦν μὲν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον "
Πνεῦμα παραδιδοὺς ὁ Κύριος, οὐ μετὰ τοῦ ἀριθμοῦ συνε- "
ξέδωκεν· οὐδὲ γὰρ εἶπεν, εἰς πρῶτον καὶ δεύτερον καὶ "
τρίτον, οὐδὲ εἰς ἓν καὶ δύο καὶ τρία· νῦν δὲ, οἱ δὲ τὴν "
ὑπαρίθμησιν ἐν τῷ πρῶτον καὶ δεύτερον καὶ τρίτον λέ- "
γειν τιθέμενοι, γνωριζέσθωσαν τὸ πολύθεον τῆς ἑλληνι- "
κῆς πλάνης, τῇ ἀχράντῳ θεολογίᾳ τῶν χριστιανῶν "
ἐπεισάγοντες· καὶ οἱ μὲν αἱρετικοὶ λέγοντες, κατὰ "
τάξιν καὶ ὑπαρίθμησιν ἑστάναι τὴν Θεότητα, τοῖς δὲ "

προμηθέμενος, τὰ μὲν ὄντα, καὶ ἅπερ ἡμῖν συνέφερε γνῶναι, σαφῶς ἀπεκάλυψε, τὰ δὲ μὴ ὄντα, καὶ ἅπερ ἐκ ἐδυνάμεθα φέρειν, ἀπεσιώπησε. Πρὸς ταῦτα καὶ πῦρ ἀναπλέθω μοι, καὶ ξίφος ἀκονάθω, καὶ βόθρος ὠρύχθω, καὶ θηρίον ἀγέθω, καὶ δήμευσις, καὶ βάσανοι ἐπέθων, καὶ θάνατος αἴσχιστος ἐπὶ πᾶσιν· ἐδείσμοι λόγος. Ἐρρέτω μοι τὸ φθαρτὸν τετὶ σῶμα· καὶ τὰ περὶ αὐτὸ, αὖρα πάντα φερέτω· ἡ δὲ σέβεια μόνη τηρηθήτω μοι ἄσπιλος. Κύριος ἐμοὶ βοηθὸς, καὶ ἐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος· τὸ τῷ Δαβὶδ φθέγξομαι. Χριστὸς ἐμοὶ βοηθὸς, καὶ σωθήσομαι. Αὐτῷ ἡ δόξα, μεγαλοπρέπεια, καὶ προσκύνησις, σὺν τῷ Πατρὶ αὐτῷ καὶ τῷ Πνεύματι εἰς τὸς ἀπεράντους αἰῶνας. Ἀμήν.



ἐκ τῦ πρώτυ διὰ τῦ δευτέρυ πᾶν τρίτον συνίστασθαι· ἀλλ' ἐδὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐξ ἀνάγκης, ἐπεὶ εὕρηταί τινα τῶν ὄντων ἐκ πρώτυ ἔχοντα τὸ εἶναι διὰ δευτέρυ, ἐκ τῦ Πατρὸς διὰ τῦ Υἱῦ καὶ αὐτὸ καθ' ὑπόστασιν ἐκπορεύεται· ἐδὲ γὰρ Φυσικαῖς προόδοις, ἢ τάξεσιν, ὑπόκειται ὁπωσῦν τῶν θείων προσώπων αἱ πρόοδοι· εἰ δὲ διὰ μέσυ τῦ Υἱῦ ὁ Πατὴρ τῦ Πνεύματός ἐστιν αἴτιος, λοιπὸν διὰ μέσης θεότητος ἦλθεν ὁ Πατὴρ ἐπὶ τιὼ τῦ Πνεύματος ὕπαρξιν· ἀλλ' οἱ θεολόγοι τοῖς κτίσμασι τὸ τοιῦτον ἀπενείμαν.

Πρὸς δὲ τύτοις, ἔϑ' ὁ Πατὴρ σιὼ τῷ Υἱῷ παρὰ τῆς Γραφῆς μονὰς λέγεται, ἔϑ' ὁ Υἱὸς σιὼ τῷ Πνεύματι· ἔτε μόνον τὸ Πνεῦμα σιὼ τῷ Πατρί· ἀλλὰ μονὰς μὲν αὐτὴ ἡ θεότης ὅλη κατὰ Φύσιν τοῖς ἅπασιν ὡμολόγηται, Τριὰς δὲ πᾶσα κατὰ τὰ πρόσωπα ἑαυτῆς, ὧν ἔϑ' ἡ Φύσις τῶν προσώπων αἰτία, ἐδὲ γὰρ τέτων πρετέρα, ἔτε ταύτης τὰ πρόσωπα τῷ αἰτίῳ ἀνώτερα· ἐ γὰρ λῷ καιρὸς, ὅτε λῷ μονὰς δίχα Τριάδος, ἢ Τριὰς ἄνευ μονάδος, ὥστε ἢ τιὼ μονάδα τῆς Τριάδος, ἢ τιὼ Τριάδα τῆς μονάδος αἰτίαν, ἢ ὁλικῶς, ἢ μερικῶς δείκνυθαι. Εἰ δέπε καὶ ὁ Πατὴρ κατὰ τὸ ἑαυτῦ πρόσωπον μονὰς μόνος λέγεται, ὅτε Υἱὸς καὶ τὸ Πνεῦμα δυὰς, διὰ τὰς δύο ἑαυτῶν ὑποστάσεις, ἐχ ὥστε καὶ παρ' ἑαυτῆς ἐχηκύαι τὸ εἶναι ἡ δυὰς αὕτη πρός τινος λέγεται· ἀλλ' ὅτι πρὸς τῆς μιᾶς μονάδος, δηλαδὴ τῦ Πατρὸς, τῦτο κέκτηται· πάντα γὰρ ὅσα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, καὶ αὐτὸ τὸ εἶναι, ἐκ τῦ Πατρὸς ἔχει, καὶ ἐχ ἑτέρωθεν· ὅθεν μονὰς θεολογεῖται, καθάπερ ἀκύομεν, μονάδων αἰτία, „πρὶν δυαδιῶαι τριασεμένη, καὶ Τριὰς τιὼ δυάδα προφθάνεσα· καὶ διὰ τῦτο μονὰς ἀπ' ἀρχῆς, ἤτοι ὁ μόνος προβολεὺς, εἰς μονογενῆ Υἱὸ γόνησιν, καὶ προβολιὼ θείυ Πνεύματος κινηθεὶς, μέχρι Τριάδος προσώπων τιὼ τῆς Θεότητος ὕπαρξιν ἔστησε· καὶ μονάδα τὸν ἕνα Θεὸν, καὶ Τριάδα πιστεύομεν εἶναι „μονάδος μὲν κινηθείσης διὰ τὸ πλέσιον, δυάδος "

παρὰ τῶν μαθητῶν κηρυχθεῖσα, „ ἔτε ἐξ ἀνθρώπων “
ἐστὶν, ἔτε δι' ἀνθρώπων, ἀλλὰ δι' αὐτῆ τῆ Κυρίε ἡμῶν “
Ἰησῆ Χριστῆ· ἔτος γὰρ ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀν- “
θρώποις συναναστράφη, ἵνα μηκέτι οἱ ἄνθρωποι, κατὰ “
τὰς ἑαυτῶν γνώμας περὶ τῆ ὄντος δοξάζωσι, τὰς γινο-
μένας αὐτοῖς ἀπὸ τοχασμῶν τινων ὑπονοίας δόγμα ποιέ-
μενοι· ἀλλὰ πεισθέντες, ὅτι ἀληθῶς Θεὸς ἐφανερώθη
σαρκὶ, ἐκεῖνο μόνον τῆς ἀσεβείας ἀληθινὸν μυστήριον
εἶναι πιστεύσωμεν, ὃ δι' αὐτῆ ἡμῖν τῆ Λόγε καὶ Θεῆ πα-
ρεδόθη, τῆ δι' ἑαυτῆ τοῖς Ἀποστόλοις λαλήσαντος.

Ἀλλ' ἐδὲ πᾶσαν κενῆν τινὰ τῆ νῆ κίνησιν δέον εἰς τινὰ
τῶν ὑπεραναβεβηκότων μόνον δογμάτων κατάσκεψιν·
ἐπεὶ ἔτε πάντων ἡ γνῶσις, ἔτε παντὸς τὸ θεολογεῖν,
ἔτε πάντες τῆτ' ἀπαιτέμεθα, ἔτε μόνον ἐντεῦθεν ἡμῖν
σωτηρία προσγίνεται· ἀλλ' ἐν φόβῳ Θεῆ, καὶ μελέτῃ θα-
νάτε καὶ κρίσεως, τὸ πολὺ δαπανᾶν τῆς ζωῆς ἡμῶν μά-
λιστα, εἰδότας ὅτι δι' αὐτὸ τῆτό γε, ἄνωθέντε καὶ ἀπ'
ἀρχῆς λόγον ἡμῖν φυσικὸν ὁ παντεργέτης Θεὸς ἐδωρή-
σατο, καθ' ὃν τὰ ζῶντα τῶν μὴ ζώντων, τὰ αἰσθητικὰ
τῶν ἀναισθήτων, τὰ λογικὰ τῶν μὴ λογικῶν, τὰ νοῆν-
τα τῶν μὴ νοούντων, τὰ ἰσχυρὰ τῶν ἀνισχύρων, τὰ δί-
καια τῶν ἀδίκων, τὰ καλὰ τῶν αἰσχρῶν, τὰ ἀθάνατα
τῶν θνητῶν, τὰ ἄφθαρτα τῶν φθαρτῶν, τὰ ἄτρεπτα
τῶν τρεπτῶν, τὰ ἀόρατα τῶν ὁρατῶν, τὰ ἀσώματα
τῶν σωματικῶν, τὰ ἐράνια τῶν ἐπιγείων, τὰ αἰώνια
τῶν προσκαίρων, τὰ μακάρια τῶν ἀθλίων, καὶ τὰ θεῖα
τῶν ἀνθρωπίνων διακρίνειν δυνάμεθα, ἵνα δίχα παντὸς
δισταγμῆ τῶν ἡττόνων προτιμῶμεν τὰ κρείττονα. Τὸ
γὰρ φύσει λογικὸν τετὶ ζῶον ὁ ἄνθρωπος, δυνάμιν ἔχων
φυσικὴν τινὰ λογικὴν ὄρεξιν, ἣν καὶ θέλησιν τῆς νοερᾶς
καλῆσι ψυχῆς, ὀρέγεται, καὶ ὀρεγόμενον λογίζεται,
καὶ λογισάμενον βέλεται· βέλησιν δέφημι, ἃ τινὰ
ἁπλῶς φυσικὴν, ἀλλὰ τινὰ περί τινος θέλησιν· καὶ βε-
λόμενον ζητεῖ, καὶ ζητῆν σκέπλεται, καὶ σκεπλόμενον
βέλδεται, καὶ βελδόμενον κρίνει, καὶ κρίνον προαι-

ἐν τῷ μέλλοντι, ὡς ἐκ ὄντων δὲ, ἕτω φαίνηται τοῖς παρῶσι προσηλωμένος, τὰ ἔργασε τῶν ῥημάτων ἐμοὶ πιστότερα· κἂν τε ῥητῶς ἕτω ταῦτα μὴ λέγωσιν, ἀλλὰ νοῶσι ταῦτα καὶ περιτρέφουσιν ἐπὶ διανοίᾳ, καὶ τοῦτο ἐστὶ τὸ κωλύον τοὺς ἀπίστους γενέσθαι χριστιανούς. Θηρεύσωμεν τοίνυν αὐτοὺς διὰ τῆς πολιτείας, καὶ διὰ τῶν ψυχῶν τούτων οἰκοδομῶμεν τὴν Ἐκκλησίαν ἀεί.

Οὐκ ἔστι ψυχῆς ἀξὸν ἀντάξιον, ἀδὲ ὁ κόσμος ἅπας· κἂν γὰρ μυρίας ὅλας χρήματα πάντα κτήσωμαι, ἀξὸν τοιοῦτον ἐργάσωμαι, οἷον ἐστὶ τὸ μίαν ἐπιστρέψαι ψυχήν· ὁ γὰρ τοῦτο ποιῶν, κατὰ Παῦλον γίνεται, καὶ σῶμα ἔσται Χριστοῦ. Ἀλλὰ μέγας ἐκεῖνος ὁ ἀγών, καὶ ὑψηλὸς ὁ σκοπελος, καὶ ἐγγὺς τοῦ ἀρανοῦ ἡ κορυφὴ, καὶ ἀ διώκοντα φθάσαι πρὸς ἕτω μέγα; κἂν τῶν ἐλαττόνων ἔχω, καὶ τῶν κατωτέρων ἐφίεσο, καὶ μὴ ἐπειδὴ τινὶ οἰκειοτέρῳ ἀ διώκοντα σῶσαι, καὶ τῶν ὀλίγων καταφρόνει· μηδὲ τῇ τῶν μεγάλων ἐπιθυμίᾳ, καὶ τῶν μικρῶν σεαυτὸν ἀφελκύσῃς· κἂν ἑκατὸν μὴ διωκήσῃς, τῶν δέκα ἐπιμελήθητι· κἂν δέκα μὴ ἰσχύων, μηδὲ τῶν πέντε καταφρονήσῃς· κἂν πέντε μὴ διωκήσῃς, τοῦ ἑνὸς μὴ ὑπερίδῃς· κἂν τὸν εἷα μὴ ἰσχύσῃς, μηδὲ ἕτως ἀφίεσο, ἀλλὰ προθύμως ἐπίκεισο· κἂν μὴ σήμερον πείσῃς, αὔριον πείσεις· κἂν μηδὲ ποτε πείσῃς, σὺ τὸν μισθὸν ἔξεις ἀπηρτισμένον· ἀ γὰρ πρὸς τὸ τέλος τῶν κατορθωμένων, ἀλλὰ πρὸς τινὶ γνώμιν τῶν κατορθούντων ὁ Θεὸς τοὺς στεφάνους ὁρίζειν εἴωθεν. Ἐπεὶ καὶ οἱ Ἀπόστολοι ἐχὶ πάντας τοὺς ὄντας ἀνθρώπους ἔπεισαν, ἀλλ' ὅμως τὸν ἐπὶ τοῖς πᾶσι μισθὸν ὁλόκληρον ἔχουσιν. Ἵνα δὲ μὴ λέγῃς τῷ μὴ δεδωκέναι σοι χαρίσματα, οἷα τοῖς Ἀποστόλοις ἐδόθη, αἴτιον εἶναι τοῦ μήτε σαυτὸν, μήτε ἄλλον διώκειν σῶσαι, φέρε παραστήσωσοι σωτηριωτέραν τρίβον.

Εἰπέ μοι τίσι δοκεῖ μεῖζον εἶναι, χάρισμα διδασκαλίας, ἢ χάρισμα ἔχειν τὰς νόσους θεραπεύειν; ἢ τὸ δεύτερον πάντως· τί δὲ; τοῦτο πάλιν ἀ δοκεῖ σοι μεῖζον εἶναι τὸ τυφλὸς ὀμματῶν; καὶ τοῦτο δὲ, τὸ νεκροὺς ἀνι-

εἰ δὲ μήτε τοπικῶς, μήτε χρονικῶς, τὸ μὲν προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου πιστεύεσθαι δύναται, λείπεται λοιπὸν σωιδεῖν, ὅτι διὰ τὸ τῆς προόδου τῶν προσώπων διάφορον ἔτως εἰρηται· καθὸ τὸ μὲν τῶν ἐξ αἰτίας ὄντων Υἱὸς, τὸ δὲ Πρόβλημα λέγεται· διάκρισιν γὰρ παρὰ ταύτας ἑτέραν, οὐδὲ ἔστιν ἐπινοεῖν· λέγω δὲ ὧδε τοῦτο σαφέστερον.

Εἰ γὰρ, ὃν τρόπον ὁ Υἱὸς ἐκεῖθεν γεννᾶται, τοῦτον καὶ τὸ Πνεῦμα προέλθοι, ἔστι καὶ τοῦτο Υἱός· καὶ εἰ καθ' ὃν τρόπον τὸ Πνεῦμα Πατρόθεν ἔχει τὸ εἶναι, κατὰ τοῦτον προέλθοι καὶ ὁ Υἱὸς, οὐκ ἔστι πάντως Υἱός· τοιοῦτόν ἐστιν, εἰ προσεχῶς καὶ ἀμέσως τὸ Πνεῦμα πρὸς τὸν Πατέρα, καθὸ Πατέρα ἐκθεῖη, ἢ νοηθείη, Υἱὸς οὐδὲ ὁ Πρόβλημα νομισθήσεται· καὶ εἰ ἀμέσως καὶ προσεχῶς ὁ Υἱὸς πρὸς τὸν Προβολέα λέγηται, ἢ δοξάζηται, Πρόβλημα Προβολέως αὐτίκα, καὶ οὐχ Υἱὸς πιστευθήσεται. Ὅθεν εἰς πίστωσιν ταυτησὶ τῆς ἐννοίας, ὁ τοῦτο λέγων διδάσκαλος τῶν εἰρημένων ἐχόμενα τίθησιν „ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν· τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπεργάσης. Ὥστε εἴπερ ἀπεῖργεν ἡ τοῦ Υἱοῦ μεσιτεία τὸ Πνεῦμα τῆς πρὸς τὸν Πατέρα φυσικῆς τότε σχέσεως, ἢ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τοῦτο ἀμφιβαλλόμενον λύῃ, μεγάλῃ ἂν ἡ χρῆσις αὕτη παρεῖχε τοῖς ζητοῦσι λαβεῖν, ὅτι ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς προσεχῶς ἦν μόνος, τὸ δὲ Πνεῦμα ὐ προσεχῶς ἐξ αὐτοῦ πρόεισι, καὶ διὰ τοῦτο κἀκτοῦ Υἱοῦ· ἐπεὶ δὲ οὐδεὶς ἀμφιβάλλει ἐκ τοῦ Πατρὸς εἶναι καὶ τὸ Πνεῦμα, καθὼς καὶ τῷ διδασκάλῳ τούτῳ, κἂν τῇ χρήσει ταύτῃ δοκεῖ, καὶ τῆς πρὸς τὸν Πατέρα φυσικῆς αὐτοῦ σχέσεως ἡ τοῦ Υἱοῦ μεσιτεία ποσῶς ἐκ ἀπείργει, εὐδόλως εὐδοθενῶν λοιπὸν, ἅτε τὸ προσεχῶς τοῦτο σωάπτει τῇ Πατρικῇ ὑποσάσει τὴν Υἱικὴν τοπικῶς,

ἅτε

τὸ ἐμμέσως τῆτο, δύο ἐξ ἀνάγκης τὰ τῆ Πατρὸς αἴτια ποιεῖ, τό, τε μέσον, καὶ τὸ ἄκρον αὐτό. Εἰ γὰρ καθάπερ ἐκ τῆ Πατρὸς τὸ Πνεῦμα, ἕτω καὶ ἐκ τῆ Υἱῆ καθ' ὑπόσασιν ἐκπορεύηται, ἐκ ἂν εἴη τὸ αὐτὸ, ἐκ μὲν τῆ, προσεχῶς καὶ ἀμέσως, ἐκ δὲ τῆ, ἐ προσεχῶς, ἐδ' ἀμέσως· ἐδὲ σὺ ἕξει πρόσωπον αἴτιον ἀδιάφορον, ἐδὲ ἀδιαφόρως τῆτο ἐξ ἑνὸς ἐκπορεύεται· ἀλλὰ καὶ ἐκ δυοῖν διαφόρων προσώπων, καὶ διάφορον ἕξει τινὶ πρόοδον· ὅτι καθάπερ ἡ ἐκ τῆ ἑνὸς μόνε ἀπαραλλάκτος πρόοδος, ταυτότητα ἑαυτῆς καὶ ἁπλότητα μαρτυρεῖ, ἕτω καὶ ἡ ἐκ τοῖν δυοῖν παρηλλαγμένη ἐκπόρευσις, ἑτερότητα ἑαυτῆς καὶ διπλόϊν κατηγορεῖ.

Ἔτι, εἴπερ ὁ αὐτὸς Πατὴρ καὶ Προβολεὺς, τῆ μὲν Υἱῆ Πατὴρ, τῆ δὲ θείε Πνεύματος Προβολεὺς· καὶ ὁ Υἱὸς, τῆ Πατρὸς Υἱός· καὶ τὸ Πνεῦμα, τῆ Προβολέως Πρόβλημα· ταῦτα δὲ χέσεως ἀμεσολαβήτε ὀνόματα, καὶ ἅμα τῇ φύσει· ὁ γὰρ Πατὴρ Υἱῆ Πατὴρ, καὶ ὁ Υἱὸς Πατρὸς Υἱὸς, καὶ ὁ Προβολεὺς Προβλήματος Προβολεὺς, καὶ τὸ Πρόβλημα Προβολέως Πρόβλημα· καὶ ἀδὲν τῶν πρός τι διὰ μέσε τινὸς λέγεται, πῶς δώσομεν τὸ διὰ μέσε τῆ Υἱῆ προσωπικῶς ἐκ τῆ Πατρὸς τὸ Πνεῦμα προβάλλεσθαι; ἢ διὰ μέσε τῆ Πνεύματος, ἐκ τῆ Πατρὸς γεννᾶσθαι τὸν Υἱὸν καθ' ὑπόσασιν; πλὴν κατὰ τρόπον ὃν εἴρηται. Ὅθεν κἂν ὑποσάσει μόνῃ λέγῃ τις ἴσως, ἐ τόπῳ, ἐδὲ χρόνῳ, μὴ προσεχῶς τὸ Πνεῦμα ἐκ τῆ Πατρὸς ἐκπορεύεσθαι, ἴσω, ὅτι τῆς τολμηρᾶς ἀτοπίας ἐκείνης, ἡ ψυχρὰ αὕτη ἀπολογία χειρὸν ἀπείρῳ μέσῳ· καὶ τῆτο καὶ τοῖς ὀπωσδὴν μετέχεσι νᾶ, καὶ τοῖς ἄκρως θεολογῆσι δοκεῖ· εἰ γὰρ ἄτοπον πάντῃ, τὸ κατὰ τόπον, ἢ χρόνον, τῆ Πατρὸς διεξάναι τὸ Πνεῦμα, πολλῷ μᾶλλον τὸ ὑποσάσει τῆτο διῆσθαι ἀτοπώτατον. Εἴτε ἓν κατ' ἐσίαν, ἐρεῖτις, εἴτε καθ' ὑπόσασιν, εἴτε κατ' ἀξίαν, μὴ προσεχῶς καὶ ἀμέσως τὸ Πνεῦμα ἐκ τῆ Πατρὸς ἐκπορεύεσθαι, διῆσθαι μὲν λέγει τῆτο τῆς Πατρικῆς ὑποσάσεως, ἀδιαστάτως δὲ ταύτης ἐχόμενον τὸν

Υἱόν·

αὐτὸ ἀδιάφορον, παῦσαι τῷ λέγειν αὐτὸ, ἐκ μὲν τῷ προσεχῶς, ἐκ δὲ τῷ μὴ προσεχῶς ἐκπορεύεσθαι· εἰ δὲ διαφόρως τῦτο καὶ ἐκ τῶν δύο προσώπων ἐσιῶσθαι δοξάζεις, ἐπεὶ δύο τῷ Πνεύματος λέγεις αἰτίας, τὸν μὴ προσεχῶς, καὶ τὸν προσεχῶς, λοιπὸν καὶ τὸ Πνεῦμα ἐκ τέτων διαφόρως συνίσασθαι πίστευε, καὶ προσωπικὰς δύο τέτε προόδες ἀναφανδὸν πᾶσι κήρυττε· εἶδ' ὁ κρημνὸς ἑκατέρωθεν πρόδηλος, φύγε τὸν κίνδυνον ἄνθρωπε· μία δὲ τέτε φυγὴ, τὸ πιστεύειν τὸ Πνεῦμα προσωπικῶς ἐκ μόνε τῷ Πατρὸς ἐκπορεύεσθαι.

Ἀλλὰ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν, τάξιν ἐν τοῖς θείοις προσώποις ὁμολογῶμεν φησὶν, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τῷ ἑτέρῳ πιστεύομεν, καθὼς ὁ Νύσσης ἐθεολόγησεν· ἐκεῖν, εἴπερ ἡ διάκρισις αὕτη κατὰ τὸ αἴτιον, καὶ τὸ ἐκ τῷ αἰτίε λέγεται μόνον, ἐξ ἅπαντος τρόπε χρὴ, ἢ σὺ μὲν εἶναι τὸ αἴτιον, δύο δὲ τὰ ἐκ τῷ αἰτίε, καθὼς τοῖς ὀρθοδόξοις πιστεύεται, ἢ δύο μὲν εἶναι τὰ αἴτια, καθ' αὑτὰ θεωρέμενα, ὡς ἄντις ἴσως ὑπόθοιτο, σὺ δὲ τὸ ἐκ τῷ αἰτίε· ἐπεὶ Τριὰς προσώπων, ἐχὶ τετρὰς ὁ Θεός· ἀλλὰ πᾶσιν ἀπείρηται δύο εἶναι τὰ αἴτια· σὺ ἄρα τὸ τῷ Πνεύματος αἴτιον ὁ Πατὴρ, τὸ παρ' ἡμῶν δοξαζόμενον.

Πάλιν, εἰ κατὰ τὸ αἴτιον καὶ τὸ ἐξ αἰτίας τὸ ἕτερον τῷ ἑτέρῳ διακρίνεται μόνον, πᾶσα ἀνάγκη μήτε τὸν Υἱὸν προβάλλειν τὸ Πνεῦμα προσωπικῶς, μήτε τὸ Πνεῦμα γεννᾶν τὸν Υἱὸν καθ' ὑπόστασιν· ὡς γὰρ τὸ αἴτιον ἐκ ἂν γένοιτο ἐξ αἰτίας, ἕτω δὴ καὶ τὸ ἐξ αἰτίας ἐκ ἂν γένοιτο αἴτιον.

Αὖθις, εἴπερ ὡς ἴδιον κἀνταῦθα τὸ αἴτιον ἀπονενέμηται τῷ Πατρὶ, τὸ δὲ ἐξ αἰτίας ἀφώρισται τῷ Υἱῷ, καὶ τέτοις μόνοις ἀλλήλων ταυτὶ διεκρίθη τὰ πρόσωπα, ἐκ ἂν εἴη καὶ ὁ Υἱὸς αἴτιος, ὡς ἐδ' ὁ Πατὴρ αἰτιατὸς ὁπωσῦν· εἰ δὲ τῦτο, ἐδὲ Προβολὴς ἐξ ἀνάγκης. Εἰ δὲ καὶ ὁ Υἱὸς μετὰ τῷ Πατρὸς αἴτιος, ἐκ ἄρα τῷ Πατρὸς ἰδιότης

τῶν αἰτιατῶν καὶ αἰτίων πρὸς ἄλληλα τάξιν ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται; Ἔπειτα καὶν ἐκ τοῦ Πατρὸς μόνε τὸ Πνεῦμα θεολογῶμεν ἡμεῖς, τίνι κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν τάξιν ἐν τῇ θείᾳ Τριάδι, τῶν πάντων μᾶλλον κηρύττομεν, καὶ τῆς ὡς τὰ πρός τι λεγομένης σχέσεως τοῦτο χωρίζομεν ἐδαμῶς· ἀλλ' ὃν τρόπον πρὸς τὸν ἑαυτοῦ Πατέρα τὸν Υἱὸν ἀναφέρομεν, τὸν ἴσον τρόπον καὶ τὸ Πνεῦμα πρὸς τὸν ἑαυτοῦ Προβολέα, ἢ Πρόβλημα, κατὰ τίνι τῶν πρός τι ἀναφορὰν ἀναφέρομεν· καὶ τίνι κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν τάξιν σέργοντες, καὶ τίνι κατὰ τὰ πρός τι διαφορὰν ἐκ ἀρνέμεθα· καὶ ὥσπερ κατὰ τίνι τῶν αἰτίων πρὸς τὰ ἐξ αὐτῶν τάξιν, καθὸ Προβολέα τὸν αὐτὸν Θεὸν καὶ Πατέρα προτετάχθαι τοῦ Πνεύματος λέγομεν, ἀδιαιρέτως ταῦτα χωρίζοντες ἀπ' ἀλλήλων, ἀλλὰ τὸ αἰτιατὸν προεπινοοῦντες τὸ αἴτιον, ὃ περὶ Πατρὸς καὶ Υἱοῦ ὁ ἐρανοφάντωρ φησὶν, ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον· πλὴν ἄλλο τάξις ὀνομάτων ἐπὶ Θεοῦ, καὶ ἄλλο προσώπων προαιώνιος ὕπαρξις· καὶ ἡ λεγομένη καινοτομία ὁσάκις ἂν ἐπιγένηται, περὶ τίνι τάξιν τῶν ὀνομάτων, ἀχὶ περὶ τίνι τῶν προσώπων ὕπαρξιν γίνεται, τίνι παντὸς ἐπιγινομένῃ καὶ πάσης καινοτομίας ἐπέκεινα. Ὥστε δὴ ἐντεῦθεν ἔχει τις δικαιοῦσθαι λέγων, ἐπειδὴ ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς ἀμέσως καὶ προσεχῶς λέγεται, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς μὲν, ἐκ ἀμέσως δὲ, οὐδὲ προσεχῶς, ἀλλὰ διὰ τοῦ προσεχῶς, ἤγουν τοῦ Υἱοῦ, διὰ τοῦτο λέγεται καθ' ὑπόστασιν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι· ἐπεὶ καὶ πρὸς τοῦ λέγοντος αὐτὸ θεολόγου τὸ προσεχῶς, καὶ τῶν ἄλλων, ποτὲ μὲν ὁ Πατὴρ μέσον εἶναι λέγεται τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, ποτὲ δὲ ὁ Υἱὸς μέσον τοῦτε Πατρὸς καὶ τοῦ Πνεύματος, ποτὲ δὲ τὸ Πνεῦμα μέσον Πατρὸς καὶ Υἱοῦ· καὶ νοῦ μὲν, μηδενὶ διαστήματι τοῦ Πατρὸς ἀποτεμνεσθαι, νοῦ δὲ, μὴ θεότητι τάττε διείργεσθαι· καὶ ᾧδε μὲν, προσεχῶς καὶ αὐτὸ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, ἐκεῖ δὲ, δεύτερον καὶ αὐτὸ τοῦ Πατρὸς πιστούμενον· καὶ ἄλλοθι μὲν, σωμμενον ἀδιαστάτως τῷ Πατρὶ, ἑτέρωθι δὲ, ἕτως ἐχόμενον τοῦ

ἑκατέρωθεν, πῇ μὲν τὸν ἑαυτῆ Πατέρα, πῇ δὲ τὸ ἴδιον Πνεῦμα, συνεπαγόμενον. Ἐν δὲ τοῖς πρὸς τὸν ἅγιον Ἀμφιλόχιον κεφαλαίοις „τὸ Πνεῦμα τὸ ἅγιον τῆ Υἱῆ μὲν εἴρηται, ὧ ἀδιαζάτως συγκαταλαμβάνεται, τῆς δὲ τῆ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται. Καὶ πάλιν ἐν τοῖς αὐτοῖς, εἰ δὲ τὸ Πνεῦμα τὸ ἅγιον τῷ Υἱῷ συντέτακται, ὁ δὲ Υἱὸς τῷ Πατρὶ, καὶ τὸ Πνεῦμα τῷ Πατρὶ δηλονότι. Καὶ θαῦμα πῶς καὶ Θωμᾶς ὁ τῶν Λατίνων διδάσκαλος ἐν ζητήματι ἀνάτω καὶ τριακοσῷ τῆ πρώτῃ τῶν αὐτῆ θεολογικῶν, ἔτω τίθησιν· „ἀναιρεθέντος γὰρ τῆ ἁγίῳ Πνεύματος, ὃ τῶν δύο ἐστὶ σωτηρία, ἐκ ἂν ἰῶ δυνατὸν ἐν Πατρὶ καὶ Υἱῷ νοεῖσθαι σωτηρίας ἐνότητα· διὰ τῆτο πάντα συνῆφθαι λέγονται, διὰ τὸ Πνεῦμα τὸ ἅγιον· ὑποτεθέντος γὰρ τῆ ἁγίῳ Πνεύματος, εὑρίσκεται ὅθεν δυνατὸν συμμένειν λέγεσθαι τὸν Πατέρα καὶ τὸν Υἱόν.

Ὥστε ἐ διὰ τὸ ἀμέσως καὶ ἐκ ἀμέσως, καὶ προσεχῶς καὶ ἐ προσεχῶς, καὶ διὰ τὴν μεσότητα καὶ ἀκρότητα, τὸ Πνεῦμα τὸ ἅγιον λέγεται ἐκ Πατρὸς καὶ Υἱῆ προσωπικῶς ἐκπορεύεσθαι, ἢ ἐκ Πατρὸς δι' Υἱῆ· ὑπὲρ γὰρ πᾶσαν μεσότητα καὶ ἀκρότητα, καὶ ἡ μεσότης καὶ ἡ ἀκρότης ἐπὶ τῶν θείων ἐστί· καὶ τὸ μέσον καὶ ἄκρον, καὶ προσεχὲς καὶ ἄμεσον, καὶ ὅσα παραπλήσια τέτοις, ἐ κατ' ἐσίαν ἐν τῇ Θεότητι· ἐδεμία γὰρ ἐκεῖ ἐσίας διαφορὰ, ἐ κατὰ ποσότητα, ἄποσον γὰρ τὸ θεῖον· ἐ κατὰ ποιότητα, ἄποιον γάρ· ἐ κατὰ δόξαν ἢ δυνάμιν ἢ ἐνέργειαν, μία γὰρ ἡ δόξα καὶ ἡ δυνάμις καὶ ἡ ἐνέργεια· καὶ διαφορὰ ἐκ ἔστιν ἐν τέτοις, ἀλλ' ἐδὲ ἐναντιότης, ἢ παραλλαγή· ἐδὲ κατ' ἄλλοτι, ἢ μόνον ταῖς ὑποστατικαῖς ἰδιότησιν ἀπ' ἀλλήλων τὰ θεῖα πρόσωπα διακέκριται, καὶ ἔστι τὰ τρία ἓν, καὶ τὸ ἓν τρία· καὶ ὡς τὸ ἓν τρία, καὶ τὰ τρία ἓν παραδέξως καὶ ὑπερφυῶς, ἔτω καὶ τὸ μέσον ἐν τοῖς τρισὶν ἄκρον, καὶ τὸ ἄκρον μέσον· διὸ καὶ ὑπὲρ μέσον καὶ ὑπὲρ ἄκρον ἕκαστον· καὶ γὰρ καὶ ὑπὲρ τὰ τρία, τὸ ἓν καὶ τρία, κατὰ τὸ

τητι τριῶν κύκλων, τῶν ἐντὸς περιεκτικȣ̃ τȣ́των κύκλȣ ἐγγραφομένων, καὶ ἁπτομένων αὐτȣ̃ τῆς περιφερείας, κατ' ἴσην ἀλλήλων ἐπαφὴν καὶ ἀπόστασιν.

Τȣ̃το δὲ τὸ Θεώρημα τῷ ἁγίῳ Μαξίμῳ πεπόνηται· ὅπερ εἴτις ἐρεῖ τῶν κυκλικῶν θεωρημάτων ἐξαίρετον, τȣ̃ προσήκοντος ȣ̃τος ȣ̓κ ἂν ἁμάρτοι λόγȣ. Καὶ νῦν παράδειγμα, ἢ θεώρημα ἐναργὲς ȣ̓κ ἔστιν εὑρεῖν τῆς ὑπερθέȣ Τριάδος τὴν τάξιν, ἢ τὴν σχέσιν ἐμφαῖνον, ἢ γȣ̃ν τὴν ὑποστατικὴν τινὸς τῶν ἐν αὐτῇ προσώπων προαιώνιον πρόοδον· πολλὰ δὲ ὅμως τὰ ἀμυδρῶς, ἢ ὁπωσȣ̃ν εἰκονίσαι δυνάμενα τὸ λεγόμενον, ὧν τὰ μὲν παρὰ τῆς Γραφῆς ἐρανιζόμεθα, τὰ δὲ πρὸς τῶν ἱερῶν Διδασκάλων, καθάπερ ἀμέλει καὶ τὸ παρόν· τὰ δὲ καὶ παρ' αὐτῆς τῆς τῶν πραγμάτων ἢ νοημάτων φύσεως ἐφευρίσκομεν. Εἰ δὲ διὰ τὸ κατά τι ἀπεοικὸς τῶν παραδειγμάτων πειρῷτό τις ἀναιρεῖν αὐτὰ, ȣ̓δ' ἂν ποτέ τινος παράδειγμα γένοιτ' ἂν, μήτοι γε τῆς ὑπὲρ πάντα Τριάδος. Ταύτῃ τοι καὶ ὑμεῖς λαβόντες ἐκ τȣ̃ ὑποδείγματος ὅσον χρήσιμον, ἀπολίπετε τὸ λοιπόν. Τὸ μὲν γὰρ σχῆμα, καὶ τὸ διάστημα, καὶ τὴν τοπικὴν ἐάσατε κίνησιν τοῖς ἐσχηματισμένοις, καὶ ἐμπεριγράπτως κινȣμένοις ἐν τοπικῷ διαστήματι. Ὅτι ὁποῖον ἂν λάβοι τις τῶν κύκλων μέσον, οἱ λοιποὶ ἄκροι νοȣ̃νται, τȣ̃ ληφθέντος αὐτίκα· καὶ ὅτι ἕκαστος αὐτῶν, καὶ μέσος καὶ ἄκρος νοεῖσθαι δύναται· καὶ ὅτι ὁποῖον ἂν νοήσῃ τις μέσον τῶν λοιπῶν, ἑκάτερον φανταζόμενος, ȣ̓δὲ θατέρȣ ἀφέστηκε. Ταῦτά μοι σύμβολα τίθεσθε, τῆς ἐν τῇ θείᾳ Τριάδι μεσότητος καὶ ἀκρότητος. Ἕκαστον γὰρ τῶν τριῶν προσώπων τῆς Θεότητος μέσον λαμβάνοντες, τὰ λοιπὰ εὐθὺς ἄκρα εὑρήσετε· καὶ ἕκαστον ȣ̃τω καὶ ἄκρον καὶ μέσον ἐστί· κἂν ὡς ἄκρα πάντα νοῆτε, ἀλλήλων ȣ̓κ ἀφεστήκασι· κἂν μέσα θεωρῆτε δυοῖν, τὰ αὐτὰ καὶ ἄκρα εὑρίσκετε· κἂν ἐν τȣτωνὶ τῶν τριῶν φανταθῆτε, καὶ τὰ λοιπὰ σὺν τȣ́τῳ ὑμᾶς περιέλαμψεν. (*)

(*) Ὅρα Πίν. Α'. Σχ. Α'.

ΤΟΥ ΑΥΤΟΥ

ΙΩΣΗΦ ΤΟΥ ΒΡΥΕΝΝΙΟΥ

ΔΙΑΛΕΞΙΣ Α.

ΠΕΡΙ

ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΕΚΠΟΡΕΥΣΕΩΣ.

Μετὰ τὸ λατινόφρονος ΜΑΞΙΜΟΥ τῆς τάξεως τῶν Κηρύκων. Γέγονε δὲ περὶ τινὼ περίφημον Κρήτιω· ἐπ' ἀκροάσει πάσης τῆς ἐκεῖ Μητροπόλεως.

Ὁ ΜΑΞΙΜΟΣ προλογίζει.

Χαίροις. ΙΩΣΗΦ. Εἶδε! ΜΑΞΙΜΟΣ. Πῶς ἔχεις; ΙΩΣ. Γήρει τήκομαι. ΜΑΞ. Ψυχικῶς πιωθάνομαι. ΙΩΣ. Ὀρέγομαι, λογίζομαι, βέλομαι, ζητῶ, σκέπτομαι, κρίνω, προαιρέμαι, ἑρμῶ, καὶ χρῶμαι. ΜΑΞ. Τὶ νῦν ποιεῖς λέγω; ΙΩΣ. Εἴπερ σὺ ταῦτα λέγεις, ἐγὼ σιγῶ. ΜΑΞ. Ἀντὶ τοῦ ἐρωτῶ τῷ λέγω ἐχρησάμιν. ΙΩΣ. Βλέπω, ἀκέω, λαλῶ, ὁρᾶς. ΜΑΞ. Τὶ δὲ ἐποίεις; ΙΩΣ. Ἄλλατε ἄλλα. ΜΑΞ. Πρὸ ταυτησὶ τῆς ὁρπῆς. ΙΩΣ. Ἐμελέτων. ΜΑΞ. Περὶ τίνος εἰπέ μοι. ΙΩΣ. Περὶ τῆς ἐξόδεμε. ΜΑΞ. Τὶ λέγεις; ΙΩΣ. Νῦν ἀποκρίνομαι. ΜΑΞ. Τὶ θέλεις; ΙΩΣ. Εὐκτεῖν, ἀθυμεῖν, ἀτυχεῖν, δοξάζεσθαι, σώζεσθαι. ΜΑΞ. Καὶ τὶ ζητεῖς; ΙΩΣ. Ἀθανασίαν. ΜΑΞ. Τὶ εἶπες; ΙΩΣ. Ὁ ἐξήγγειλα. ΜΑΞ. Τὶ ὥρισας

θεὰς ἑπόμενος ἔτως ἔφιω. ΙΩΣ. Οἶδα, ἀλλὰ προδήλως τὸ μέλλον ὁ πρόδηλον. ΜΑΞ. Κελεύεις; ΙΩΣ. Προτρέπε, τότε σαφέστερον· καὶ ἀμφοῖν, τὸ δέξαι, ἢ λάβε μᾶλλον· ἐπεὶ ὁ κελεύων ἐχ ἑαυτῷ κελεύει. ΜΑΞ. Παρακαλῶ. ΙΩΣ. Τὸν παρακεκλημένον; ΜΑΞ. Πῶς ἴσασαι; ΙΩΣ. Ὀρθόμενος. ΜΑΞ. Πῦ ἴσασαι; ΙΩΣ. Εἰς τὸ τῆς γῆς ἐπιπόλαιον. ΜΑΞ. Ἴσασαι, ἢ κινῇ; ΙΩΣ. Καὶ ἀμφότερα. ΜΑΞ. Τίνι τρόπω; ΙΩΣ. Τὸ μὲν τῇ σαρκὶ, τὸ δὲ τῇ ψυχῇ. ΜΑΞ. Στάσις ἐστὶ πρῶτον, ἢ κίνησις; ΙΩΣ. Μονή. ΜΑΞ. Τὶς εἶ; ΙΩΣ. Σύμφημι, νοεῖς γὰρ ὀρθῶς ὅτι τις ἐγὼ, ἐχὶ πᾶς, ἐδὲ πάλιν ἐδείς. ΜΑΞ. Ποῖος εἶ; πιωθάνομαι. ΙΩΣ. Βρυέννιος Ἰωσὴφ, ὁ νιῶ σοι διαλεγόμενος. ΜΑΞ. Πολλὰ γινώσκεις. ΙΩΣ. Πλείω ὧν οἶδα ἐκ ἐπίσαμαι. ΜΑΞ. Πότε ἀποθανῇ; ΙΩΣ. Ὅταν ἁμάρτω. ΜΑΞ. Ζῆς δὲ πότε; ΙΩΣ. Ἡνίκα ποιῶ τἀγαθόν. ΜΑΞ. Ὡς ἄρισα ἔφης· πλιὼ ἐρομένῳ φράσον. ΙΩΣ. Τὸ τί; ΜΑΞ. Τὶ πρότερον ὑπάρχει ἑκάστοις; ΙΩΣ. Ἀεὶ δ' ὃ ὑπάρχει ἕκαστον, ἐκεῖνο μᾶλλον ἐστί. ΜΑΞ. Ἀπόδειξον. ΙΩΣ. Οὐκ ἔστι πᾶσα γνῶσις ἀποδεικτική. ΜΑΞ. Καὶ πῶς γινώσκεις ἅπερ γινώσκεις; ΙΩΣ. Τὰ μὲν δι' ἀποδείξεως, τὰ δ' ἀναποδείκτως· ἐπεὶ ἀδιώατον πάντα εἰδέναι δι' ἀποδείξεως. ΜΑΞ. Ἐκδείξειας ἂν ὅπως, ἢ ψιλοῖς ἐάσεις ἐπινήχεσθαί με τοῖς λογισμοῖς; ΙΩΣ. Φημὶ, ὅτι ὥσπερ ἡ αἴσθησις ἄνευ ἀποδείξεως γινώσκει τὰ αἰσθητὰ, καὶ κρεῖττον ἢ κατὰ ἀπόδειξιν γινώσκει ταῦτα, ἕτω καὶ ὁ νῶς ἁπλαῖς ἐπιβολαῖς, τότοις τε καὶ τοῖς νοητοῖς ἐπιβάλλων, ἀναποδείκτως τλιὼ φύσιν αὐτῶν οἶδεν, ἐξ ὧν συμπλέκει τὰ Ἀξιώματα, ἐκ τῶν ὑστέρων τὰ πρότερα, καὶ ἐκ τῶν μερικῶν τὰ καθόλε δεικνύς. ΜΑΞ. Ἆρ' ἂν ἐκ οἶδας ἀποδεῖξαι, τὶ πρότερον ὑπάρχει ἑκάστοις; ΙΩΣ. Καὶ οἶδα, καὶ ἀπέδειξα. ΜΑΞ. Πῶς τοίνιω προαπεφλιώω, εἰπὼν, ἐκ ἔστι πᾶσα γνῶσις ἀποδεικτική; ΙΩΣ. Ὅτι, ὃ εἶπον, ἐκ ἔστι πᾶσα γνῶσις. ΜΑΞ. Τὶ πρότερον ἠρώτησα, σὺ δὲ τὶ μᾶλλον ἀπεκρίθης; ὥστε ὁ κατὰ

λος μονάδι συντεθεῖναι δόξαντα πρός τινος, ἀριθμητικὸν, ἢ μουσικὸν θεώρημα (*) προχείρως ποιήσουσι. ΜΑΞ. Τίνι τρόπῳ ἡ μαγνῆτις ἕλκει τὸν σίδηρον; ΙΩΣ. Ὑπὲρ ἡμᾶς εἶ, καὶ ὑπὲρ ἀπόδειξιν εἴη τὸ ἐρώτημα. ΜΑΞ. Τὶ δή ποτε; ΙΩΣ. Ὅτι τῶν προβλημάτων τὰ μὲν αὐτόθεν ἐστὶ πιστὰ καὶ γνώριμα, πάσης ἀμφιβολίας καὶ ζητήσεως ἄγευστα, ὡς τὸ, διατὶ τὸ πῦρ καίει; καὶ τὸ ὕδωρ ψύχει; τὰ δὲ ἄλυτα παντελῶς τοῖς ἀνθρώποις, καὶ Θεῷ μόνῳ, ἢ καὶ ἀγγέλοις γνώριμα, ὡς τὸ, πῶς ὁ Θεὸς οὔτε ἐγένετο, οὔθ' ἑαυτὸν ἐποίησε; τὰ δὲ μέστιν ἔχοντα τάξιν, ὡς τὸ, διατὶ τὰ ἄχυρα καὶ θερμὸν ὕδωρ φυλάττει, καὶ χιόνα τὴν ψυχράν; οὗ λύσις διὰ τὸ ἄποια εἶναι, καὶ θᾶττον συμμεταβάλλεσθαι, αἷς ἂν ποιότησιν ὁμιλήσωσιν. Ἐκ τῶν οὖν παρ' ἡμῖν ἀλύτων ἐστὶν ὃ προέτεινας· τῶν δὲ ἀπόρων ἐρωτήσεων, ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. ΜΑΞ. Τὶς ἡ ἀρχὴ τῶν τοῦ τοῦ Θεοῦ λόγων; ΙΩΣ. Ἡ ἀλήθεια. ΜΑΞ. Διατὶ; ΙΩΣ. Ὅτι βασιλὶς τῶν ἐντε λόγοις καὶ πράγμασιν ἀρετῶν αὕτη. ΜΑΞ. Τὶ ἐστὶ τὸ ἐκτὸς τῆς ἀνάστρου σφαίρας κενόν; ΙΩΣ. Εἰ μόλις εἰκάζομεν τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου, πῶς ἐξ ἑτοίμου περὶ τῶν ἐπουρανίων ἐξιχνιάσομεν; πλὴν καὶ τοῦτο κενὸν, περὶ κενοῦ μελετᾷν. ΜΑΞ. Τὶ ἐστὶ μελέτη θανάτου; ΙΩΣ. Τὸ καθ' ἑκάστην χωρίζεσθαι τῶν ματαίων. ΜΑΞ. Τὶ οὖν μὴ συγγράφεις, οὕτως εὐστόχως καὶ κατ' ἔπος δυνάμενος ἀπαντᾷν; ΙΩΣ. Ὅτι ὡς μὲν βούλομαι οὐ δύναμαι, ὡς δὲ δύναμαι οὐ βούλομαι. ΜΑΞ. Τὶ ταῦτα προτείνῃ ταπεινούμενος δῆθεν, ὅπου γε πάντες σχεδὸν οἱ εἰδότες σε ὡς ἕνα τῶν πάλαι φωστήρων τῆς ἐκκλησίας δοξάζουσιν; ΙΩΣ. Ἤθελον εἶναί τι μέγα, καὶ μὴ δοκεῖν μᾶλλον. Ἰστέον μέντοι κἀκεῖνο, καὶ πάνυ ὂν ἀληθὲς, ὅτι οἱ πάλαι τῆς ἀληθείας διδάσκαλοι πρὸς τὸ δοχεῖα εἶναι τοῦ Πνεύματος, ἐκ τοῦ ἐν αὐτοῖς ὑπερβλύζοντος ἐλάλουντε καὶ συνέγραφον, ἡμεῖς δὲ ἐξ ὧν ἔνθεν κἀκεῖθεν ὑποκλέπτομεν, καὶ συῤῥάπτομεν. ΦΩΚΑΣ. Τὶ λαλεῖς Πάτερ; ὁ Θεὸς λαλεῖ διὰ σοῦ πίστευσον.

ΙΩΣ.

νῆκται ταληθὲς, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνε τῦ Πατρὸς ἐκπορδόμενον. ΜΑΞ. Καὶ τί τὸ κωλύον δοξάζειν ἡμᾶς τῦ μὲν Υἱῦ εἶναι μόνον αἴτιον τὸν Θεὸν καὶ Πατέρα, τῦ δὲ Πνεύματος μὴ μόνον, ἀλλὰ μετὰ τῦ ἀχωρίστως αὐτῷ συνημμένε κατὰ Φύσιν Υἱῦ; ἐ δὲ γὰρ δύο Πατέρας, ἐ δὲ δύο Προβολεῖς λέγομεν, ἵνα δύο αἰτίας εἰσάγωμεν· ἀλλ' ὥσπερ ἕνα Πατέρα τῦ ἑνὸς Υἱῦ πιστεύομεν εἶναι τὸν Θεὸν καὶ Πατέρα, ἕτως ἕνα Προβολέα τῦ ἑνὸς Πνεύματος ἅμα δοξάζομεν εἶναι τὸν Πατέρα καὶ τὸν Υἱόν. ΙΩΣ. Οὐκῦν ἄλλος ἐστὶν ὁ εἷς Προβολεὺς παρὰ τὸν ἕνα Πατέρα, καθάπερ ἄλλο τὸ ἓν Πνεῦμα παρὰ τὸν ἕνα Υἱόν· καὶ λοιπὸν δύο τὰ αἴτια πρόσωπα ἐπὶ τῆς θείας Τριάδος, καὶ δύο ἐν ταύτῃ τὰ αἰτιατὰ πρόσωπα δείκνυται. ΦΩΚ. Πῶς τῦτο λέγεις; φράσον ἡμῖν ἐκδηλότερον.

ΙΩΣ. Ἤδη σαφέστατα εἶπον, καὶ πᾶσιν ἡ ἐμὴ πρότασις αὐτὴ νενόηται τοῖς ἀκέσασι· πλὴν καὶ ἄλλως δίειμι ταύτην, καὶ πρόσχες, καὶ ἀποκρίθητι. Ἐπὶ τῶν ἐν τῇ θείᾳ Τριάδι προσώπων, πότερον τέτων δοξάζετε; τὸ ἓν πρόσωπον μόνον αἴτιον τοῖν δυοῖν; ἢ τὰ δύο πρόσωπα μόνον αἴτια τῦ ἑνός; ἢ καὶ τὸ ἓν πρόσωπον αἴτιον τοῖν δυοῖν, καὶ τὰ δύο πρόσωπα αἴτια τῦ ἑνός; εἰ μὲν τὸ ἓν πρόσωπον μόνον αἴτιον τοῖν δυοῖν, γράψον μοι ταύτην σε τὴν ὁμολογίαν οἰκειοχείρως πιστῶν μαρτύρων ἐνώπιον, καὶ ὡς ὁμόψηφον ἅθρους λογιεμάσε· εἰ δὲ τὰ δύο πρόσωπα μόνον αἴτια τῦ ἑνός, εἴπερ ὑμεῖς ἀληθεύετε, ψεύδεσθαι πᾶσα ἀνάγκη τὲς λέγοντας θεολόγες ἐν τῇ ὑπερθέω Τριάδι, ἕνα εἶναι αἴτιον τὸν Πατέρα· τίνες ἔτοι; οἵδε· ὁ Δαμασκηνὸς Ἰωάννης λέγων ἐν τῷ ὀγδόῳ τῶν αὐτῦ δογματικῶν „καὶ Υἱῦ Πνεῦμα, ἐχ ὡς ἐξ αὐτῦ, ἀλλ' ὡς δι' αὐτῦ ἐκ τῦ Πατρὸς ἐκπορδόμενον· μόνος γὰρ αἴτιος ὁ Πατήρ· ὁ τῆς Ἀλεξάνδρε Κύριλλος ἐν τῷ περὶ Τριάδος αὐτῦ λόγῳ „εἷς γὰρ παρ' ἡμῖν, ἀμφοῖν τοῖν προσώποιν αἴτιος ὁ Πατήρ· καὶ ὁ θεολόγος Γρηγόριος ἐν τῷ περὶ τῦ ἁγίε Πνεύματος, ἵνα τὲς ἄλλες παρῶ „εἷς μὲν Θεὸς, εἷς ἐν αἴτιον καὶ Υἱῦ καὶ Πνεύματος ἀναφερομένων· σιωπᾷς τί φησιν ὁ διδάσκα-

τοῖς θείοις προσώποις τὰς ἰδιότητας, καὶ ἀμέσως καὶ ἐμμέσως ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, καὶ πολλὰς τῶν ἁγίων τοῦ τῶν ἁγίων χορηγὸν διαγράφει, ἐντεῦθεν δῆλον. Ἐν μὲν γὰρ τῷ δωδεκάτῳ ζητήματι, τοῦ πρώτου τῶν αὐτοῦ θεολογικῶν ἔτους δείκνυσι „ τὸ τιθέναι μόνον διά τινος ἐλλάμψεως τῆς αὐτοῦ λαμ- „ πρότητος τὸν Θεὸν ὁρᾶσθαι, ἄντικρυς ἐστὶ μὴ τιθέναι τιὼ „ τοῦ Θεοῦ ἐσίαν ὁρᾶσθαι· ἡμεῖς δὲ τιὼ θείαν ἐσίαν τοῖς „ ἀξίοις ὁρᾶσθαι πιστεύομεν. Καὶ πάλιν ἐν τῷ αὐτῷ „ ἀ- „ νάγκη ἐν τῷ θείῳ νῷ τιθέναι ἰδέας, πάντων τῶν ὑπὸ „ τοῦ Θεοῦ γινωσκομένων. Ἐν δὲ τῷ ἕκτῳ καὶ εἰκοστῷ τῶν „ αὐτοῦ „ ἐν τῷ Θεῷ ἐκ ἔστι τις δύναμις, ἢ ἐνέργεια, πα- „ ρὰ τιὼ ἐσίαν αὐτοῦ. Καὶ ἐν τῷ τριακοστῷ τῶν αὐτοῦ „ ἐν „ τοῖς θείοις ταυτὸν ἐστὶν ἥτε ἐσία, καὶ τὸ πρόσωπον. „ Καὶ ἐν τῷ δευτέρῳ τοῦ αὐτοῦ καὶ τριακοστῷ „ πάντε γνω- „ ρίσματα ἐν τοῖς θείοις, ἀγεννησία, πατρότης, ὑότης, „ κοινὴ πρόεσις, καὶ ἐκπόρευσις· τέτων δὲ τέσσαρες μόνον „ εἰσὶν ἀναφοραί· ἡ γὰρ ἀγεννησία, ἐκ ἔστιν ἀναφορά· „ καὶ τέσσαρες μόνον ἰδιότητες· ἡ γὰρ κοινὴ πρόεσις ἐκ „ ἔστιν ἰδιότης, δύσιν ἐφαρμόζουσα προσώποις· τρία δὲ εἰσὶ „ γνωρίσματα προσωπικά, τετέσι καθ' ἃ σωίσαται τὰ „ πρόσωπα, πατρότης δηλαδὴ, ὑότης, καὶ ἐκπόρευσις· „ ἡ γὰρ κοινὴ πρόεσις, καὶ ἡ ἀγεννησία, γνωρίσματα λέ- „ γονται τῶν προσώπων, ἀ μέντοι προσωπικά. Καὶ ἐν τῷ „ ἕκτῳ καὶ τριακοστῷ „ ὁρίσκεται τὸ Πνεῦμα τὸ ἅγιον, „ καὶ ἐκ τοῦ Πατρὸς ἀμέσως ἐκπορεύομενον, καθ' ὅσον ἐστὶν „ ἐξ αὐτοῦ, καὶ ἐμμέσως, καθ' ὅσον ἐστὶν ἐκ τοῦ Υἱοῦ. Καὶ „ πάλιν ἐν τῷ αὐτῷ „ τὸ Πνεῦμα τὸ ἅγιον μὴ ἐκπορεύε- „ σθαι ἐκ τοῦ Υἱοῦ, πρῶτον ὑπὸ τῶν Νεστοριανῶν εἰσηλύεκται· „ ταύτῃ δὲ τῇ αἱρέσει ἠκολούθησεν ὁ Νεστοριανὸς Θεοδώρητος, „ καὶ πλείονες ἄλλοι μετ' αὐτοῦ, ἐν οἷς λιὼ καὶ ὁ Δαμασκη- „ νός· ἔτω μὲν ἓν ὁ Θωμᾶς τίθησιν· ἐμοὶ δὲ πρὸς ταῦτα, „ καὶ παντὶ ὀρθοδόξῳ ἀ προσέχειν προσήκει τὸν νοῦν.

ΣΚΑΡ. Ἐγὼ Χριστῷ μεγίστιω χάριν ὁμολογῶ, νιῶ πρῶτον ἐντυχὼν σε τῇ ἀρετῇ· μυρία γὰρ ἔχων πρὸ χρόνων πυθέσθαι περὶ τῆς ἡμετέρας διαφορᾶς, ἐκ ἔχον

ὅτῳ

ραδόσεσι· καὶ τοῦτο σκοποῦντίσοι, ἐντεῦθεν ἂν γένοιτο φανερόν. ΣΚΑΡ. Πόθεν;

ΙΩΣ. Ὅτι περὶ μὲν τοῦ πρώτου, οὕτως ἡ ἑβδόμη τῶν οἰκουμενικῶν Συνόδος τίθησιν· εἴτις οὐ τίθησιν εἰς τὴν προσφορὰν προζύμην καὶ ἅλας, καὶ εἴτις προσφέρει ἄζυμα, ἀνάθεμα ἔστω. Καὶ ὁ μέγας Βασίλειος ἐν τῇ ἑρμηνείᾳ τῆς θείας λειτουργίας φησὶ „διὰ τῶν ἐνταῦθα τελουμένων σημαίνομεν τὴν τελείαν ἀνθρωπότητα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δείκνυμεν τοῦτον τέλειον Θεὸν εἶναι, καὶ τέλειον ἄνθρωπον· ἄλευρον ἡ σὰρξ, πρόζυμον ἡ ψυχὴ, ἅλας ὁ νοῦς· καὶ διὰ τοῦτο ἔννουν καὶ ἔμψυχον τὸ τοῦ Κυρίου σῶμα ὀνομάζομεν. Ἀλλὰ καὶ τὰς πέντε αἰσθήσεις ἀποπληροῦμεν ἐν ταῖς ἱεραῖς προσφοραῖς, ὅρασις τὸ ἄλευρον, ὄσφρησις τὸ πρόζυμον, ἀκοὴ τὸ πῦρ, γεῦσις τὸ ἅλας, καὶ ἁφὴ τὸ ὕδωρ. Καὶ ὁ θεῖος Χρυσόστομος, ἐν μὲν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου ῥητῶς οὕτω δίεισι „πρὸ μιᾶς ὁ Κύριος ἡμέρας τὸ οἰκεῖον παρέδωκε Πάσχα, τηρῶν τὴν ἑαυτοῦ σφαγὴν τῇ παρασκευῇ, ὅτε τὸ παλαιὸν Πάσχα ἐγίνετο. Καὶ ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχὴ „Πάλιν χρείατις ἀναγκαία καὶ κατεπείγουσα· φησὶ, τριακόσιοι Πατέρες, ἢ καὶ πλείους, εἰς τὴν Βιθυνῶν χώραν συνελθόντες, ταῦτα ἐνομοθέτησαν, καὶ ἔργοις ἐτέλεσαν, καὶ λόγοις ἐκύρωσαν· οὐκ ἤκουσας αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, ὅτι ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν; εἰ δὲ ὅπου δύο ἢ τρεῖς, μέσος ἐστὶν ὁ Χριστὸς, πῶς ὅπου τριακόσιοι καὶ πολλῷ πλείους παρῆσαν, οὐ πολλῷ μᾶλλον παρῆν; καὶ πάντα ἐτύπου καὶ ἐνομοθέτει αὐτός; σὺ δὲ οὐ μόνον ἐκείνων καταγινώσκεις, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης, ἣ καὶ τὴν ἐκείνων γνώμην ἐπῄνεσε. Καὶ γὰρ ὁ Χριστὸς, καὶ περιτομὴν ὑπέμεινε, καὶ σάββατα ἐτήρησε, καὶ ἑορτὰς ἐπετέλεσε, καὶ ἄζυμα ἔφαγε, καὶ ἐν Ἱεροσολύμοις ταῦτα ἔπραξεν ἅπαντα· καὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνός· ἀλλ' οὐδενὶ τούτων ἡμεῖς ὑποκείμεθα· καὶ βοᾷ Παῦλος λέγων,

μιᾶς μυήσεως ἐπιτελέσῃ, νενόηται τὸ ἑπόμενον. Ὁ δὲ μέγας Βασίλειος, ἐν ἑβδόμῳ καὶ εἰκοστῷ τῶν πρὸς Ἀμφιλόχιον κεφαλαίῳ φησὶ „τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν ἄνθρωπον, ἐκ ἀπὸ τῆς μυστικῆς παραδόσεως παρελάβομεν; Καὶ ὁ τλιὸ γλῶτταν χρυσῆς, ἐν τῷ πρὸς νεοφωτίστους βιβλίῳ, ἐν λόγῳ β'. ἔτως ἐκτίθησι „καὶ ἵνα μάθῃς καὶ ἐντεῦθεν, ὡς μία ἡ ἀσία Πατρὸς καὶ Υἱῆ καὶ ἁγίᾳ Πνεύματος, ἔτω καὶ ἡ τῆ βαπτίσματος γίνεται παράδοσις· ἐπιφωνῆντος γὰρ τῆ ἱερέως, βαπτίζεται ὁ δεῖνα, εἰς τὸ ὄνομα τῆ Πατρὸς καὶ τῆ Υἱῆ καὶ τῆ ἁγίᾳ Πνεύματος, τρίτον τλιὸ κεφαλιὸ καθίησι καὶ ἀνίησι, διὰ τῆς μυστικῆς ταύτης τελετῆς, τλιὸ τῆ Πνεύματος παρασκευάζων ἐπιφοίτησιν δέξαθαι· ἐδὲ γὰρ ἱερεύς ἐστι μόνος ὁ τῆς κεφαλῆς ἐφαπτόμενος, ἀλλὰ καὶ ἡ τῆ Χριστῆ δεξιὰ, καὶ τῆτο ἐξ αὐτῶν τῶν ῥημάτων τῆ βαπτίζοντος δείκνυται· ἐδὲ γὰρ λέγει βαπτίζω ἐγὼ τὸν δεῖνα, ἀλλὰ βαπτίζεται ὁ δεῖνα, δεικνὺς, ὅτι αὐτὸς μόνος γίγνεται διάκονος τῆς χάριτος, καὶ τλιὸ χεῖρα τλιὸ ἑαυτῆ παρέχει, ὁ δὲ πάντα πληρῶν ἐστὶν ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. ΜΑΞ. Εἶεν· τὶ δὲ περὶ τῆ τρίτε ἔχεις προβάλλεσθαι;

ΙΩΣ. Ὅτι περ τῶν οἰκεμενικῶν Συνόδων ἡ Ε'. τὲς δοξάζοντας μετὰ θάνατον τέλος εἶναι κολάσεως, ἀποκηρύκθες τῆ καταλόγε τῆς ἐκκλησίας τίθεται. ΜΑΞ. Καὶ τὶ ἐστὶν ὃ λέγει Παῦλος, ἐν τῷ τρίτῳ τῆς πρώτης πρὸς Κορινθίες „ἑκάστε τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστε τὸ ἔργον ὁποῖον ἐστὶ τὸ πῦρ δοκιμάσει· εἴτινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴτινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται· ἔτω δὲ, ὡς διὰ πυρός. ΙΩΣ. Τῆτο πολυτρόπως ἑρμηνεύοντες οἱ θεῖοι διδάσκαλοι, μίαν ἔννοιαν συμπεραίνεσι· ζημιωθήσεται λέγοντες, ἴδε μία κόλασις· αὐτὸς δὲ σωθήσεται, ἔτω δὲ, ὡς διὰ πυρὸς· εἰς τὸν αἰῶνα τὸν ἄπλετον, ἀθάνατα κολαζόμενος. Ἔθος γὰρ ἡμῖν λέ-

ἔγραψαν, πολλὰ καὶ πολλαχόθεν ἡμῖν τὰ μαρτύρια. Περὶ μὲν τῶν Συνόδων οἱ Χρονογράφοι, τὰ Τυπικὰ, τὰ Μηναῖα, τὰ Νόμιμα, καὶ οἱ ἀγῶνες καὶ οἱ λόγοι τῶν ἐν ταύταις διαπρεψάντων ὁμολογητῶν καὶ Πατέρων ἡμῶν. Περὶ δὲ τῶν Κανόνων, καὶ αὐταὶ αἱ Σύνοδοι μάρτυρες, καὶ πολλοὶ τῶν ἁγίων, ὅτι ἡ μὲν ἐν τῇ Νικαίᾳ τὸ πρῶτον συναθροισθεῖσα εὐθὺς, ἐν τῷ πρώτῳ αὐτῆς κανόνι, μέμνηται τοῦ πρώτου τῶν Ἀποστολικῶν κανόνων, καὶ τοῦ δευτέρου, καὶ τοῦ τετάρτου. Ἡ δὲ δευτέρα ἐν μὲν τῷ ἑαυτῆς δευτέρῳ, τοῦ τεσσαρεσκαιδεκάτου· ἐν δὲ τῷ πέμπτῳ, τοῦ δωδεκάτου, καὶ τοῦ δευτέρου καὶ τριακοστοῦ. Ἡ δὲ τρίτη τοῦ ἑβδομηκοστοῦ τετάρτου, ᾧ καὶ χρησαμένη εὐκαίρως, τὸν δυσσεβῆ καθεῖλε Νεστόριον. Ἡ δὲ ἐν Χαλκηδόνι ἐν τῷ ἑαυτῆς πέμπτῳ, τοῦ δωδεκάτου, καὶ τοῦ ἑκκαιδεκάτου, καὶ τοῦ τρισκαιδεκάτου, καὶ τοῦ τεσσαρεσκαιδεκάτου ποιεῖται μνείαν. Πρὸς ταύταις ὁ μέγας Βασίλειος ἐν τῷ ἑαυτοῦ δωδεκάτῳ, τοῦ ἑπτακαιδεκάτου ποιεῖται μνείαν· ὁ θεολόγος Γρηγόριος ἐν τοῖς ἔπεσι, καὶ ὁ Δαμασκηνὸς, ἐν εἰκοστῷ καὶ ἑβδόμῳ τῶν αὐτοῦ δογματικῶν, πάντων μέμνηται. Ἰδίως δὲ περὶ τούτων καὶ πάντων, ἡ τῶν οἰκουμενικῶν ἑβδόμη Σύνοδος, ᾧδε φρικτῶς ἀποφαίνεται „ ἔστω ἀνάθεμα, καὶ τοῦ χριστιανικοῦ καταλόγου ἀλλότριος, ὁ παραχαράττειν, ἢ ἀνατρέπειν, ἢ ἀθετεῖν τολμῶν, οἱονδήτινα τῶν ἱερῶν κανόνων. ΦΩΚ. Ὡς φοβερὰ ἡ ἀπόφασις αὕτη, καὶ φρίκης ἀνάμεστος!

ΙΩΣ. Περὶ δὲ τοῦ ἑβδόμου καὶ τελευταίου, Λέων μὲν ὁ ἀοίδιμος Πάπας, οὗ τὴν ἐπιστολὴν ὀρθοδοξίας στήχην ὠνόμασεν ἡ τῶν Συνόδων τετάρτη, ἐν τοῖς κανόσι τῶν ἐπὶ χρήμασι χειροτονούντων φησὶ „ χάρις ἡ μὴ προῖκα διδομένητε καὶ λαμβανομένη, χάρις οὐκ ἔστιν. Ἀλλ' οἱ τοῦ Σίμωνος οὐ προῖκα λαμβάνουσιν· οὐκ ἄρα τὴν ἐν ταῖς ἐκκλησιαστικαῖς τάξεσιν ἐνεργοῦσαν λαμβάνουσιν· εἰ δὲ μὴ λαμβάνουσιν, οὐδὲ ἔχουσιν· εἰ δὲ μὴ ἔχουσιν, οὔτε προῖκα, οὔτε μετὰ χρημάτων δύνανταί τινι δοῦναι· τὶ τοίνυν διδόασι; Πνεῦμα δηλονότι ψεύδους· πῶς; τοῦτο δείξωμεν.

νομίαν κλητέον, ἀλλὰ παράβασιν, καὶ προδοσίαν δόγ-
ματος, καὶ περὶ τὸ θεῖον ἀσέβειαν· ὁ δὲ, χρὴ τὸν πρὸ
ὀφθαλμῶν ἔχοντα τὸ τῦ Χριςῦ δικαςήριον, εἰδότα ὅσος
ὁ κίνδυνος ἀφελεῖν τὶ, ἢ προθλῶαι τοῖς παραδεδομένοις
ὑπὸ τῦ Πνεύματος, μὴ παρ' ἑαυτῦ φιλοτιμεῖσθαι καινο-
τομεῖν, ἀλλὰ τοῖς προκατηγγελμένοις παρὰ τῶν ἁγίων
ἐφησυχάζειν· ὁ δὲ, ἤδη ἅπαξ τύπον δεδώκαμεν, ἵνα ὁ
γινώσκων ἑαυτὸν χριςιανὸν, ἐκεῖνο φυλάτθη, ὃ παρὰ τῶν
ἁγίων Ἀποςόλων παρεδόθη, λέγοντος τῦ μακαρίε Παύ-
λε, εἴτις ὑμᾶς εὐαγγελίζηται, παρ' ὃ παρελάβετε,
ἀνάθεμα ἔςω. Γράφεσι δὲ πρὸς τέτοις διαῤῥήδην αἱ
Σινόδοι, νῶ μὲν, περὶ ὧν φανερώτατα ἡ θεία Γραφὴ
ἐδίδαξεν, ἃ δεῖ ψηφίζεσθαι, ἀλλὰ μᾶλλον ἔπεσθαι· νῶ
δὲ, εἴτις πᾶσαν παράδοσιν ἐκκλησιαςικὴν ἔγγραφόν τε
καὶ ἄγραφον ἀθετεῖ· νῶ δὲ, ἅπαντα τὰ παρὰ τῆ
ἐκκλησιαςικῆ παράδοσιν καὶ ὑπότυπωσιν τῶν ἁγίων Πα-
τέρων καινοτομηθέντα καὶ πραχθέντα, ἢ καὶ μετὰ τῦ-
το πραχθησόμενα, ἀνάθεμα ἔςω. Ὅπε τοίνυν τοσῦτοι, καὶ τοιῦτοι δοξάζειν ἄλλως ἀπείργεσι, μία καὶ μό-
νη διόρθωσις αὕτη, καὶ σωτηρίας ὁδὸς, ταῖς ἁγίαις Συ-
νόδοις στοιχεῖν, καὶ τοῖς τῶν ἁγίων Ἀποςόλων κανόσιν
ἕπεσθαι, καὶ διὰ πάντων ἀκολθεῖν τῷ Χριςῷ· ᾧ πάν-
των ἕνεκεν χάρις.

ὅτι ἐχὶ καὶ ἐκ τῦ Υἱῦ λέγεσι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι δόγμα πρὸς πάντων ὁμολογέμενον.

ΙΩΣ. Περὶ τέτων ἐμοὶ ἀπαντῆσαι, ὀλίγα, ἢ ἐδεν μέλει· ταῖς ἁγίαις ταῦτα Συνόδοις ἀνήκει, τοῖς Πατριάρχαις, τοῖς Μητροπολίταις, τοῖς Ἐπισκόποις, τοῖς Σταυροφόροις, τοῖς Ἡγεμόνοις, καὶ τοῖς ἔτω καλεμένοις Πνεύματικοῖς· ἐμοὶ δὲ, ἅτε μονοτρόπω τὸν βίον, μελήσει τὰ κατ' ἐμέ· οἱ δρεπόμενοι τὰς τῆς χώρας καρπὰς, καὶ τὰ ζιζάνια ἐκριζέτωσαν· οἱ τὸ γάλα καὶ τὰ ἔρια καὶ τὰ κρέα τῆς ποίμνης καρπέμενοι, καὶ τὰς θήρας ἐκ ταύτης σοβείτωσαν· ἢ τῶν μὲν τῆς ποίμνης καὶ τῆς χώρας καλῶν ἀπολαύειν ἑτέροις, ἐμοὶ δὲ μόνω μετέχειν τῶν δεινῶν αὐτῆς ἔξεσιν; εἰ δὲ τὸ νομίζεσθαί με διδάσκαλον, τοιέτων λόγων ὀφειλέτιω καθίσησιν, ἐπ' ἐδενὸς τῶν ἁπάντων ἀρκεῖ τὸ νομίζεσθαι, ἂν μὴ καὶ τὸ ἀληθεία εἶναι προσῇ· ὡς ἐκλίποι μοι ὄνομα, πράγματος ἄμοιρον! καὶ δόξα διάκενος, καὶ φήμη ἀνερδὴς, γαννήτρια φόβε, καὶ φθόνε, καὶ ἀπεχθείας, καὶ ἐδενὸς ὑγιῦς! σὺ ὀφείλω τῷ ὑπερθέῳ καὶ ζωοποιῷ Πνεύματι, τιὼ δεδομένίω μοι περὶ αὐτῦ πρὸς τῶν ἁγίων παράδοσιν πάντη τηρεῖν ἀπαρέβατον· ἐρίζειν δὲ περὶ τέτε, ἢ συζητεῖν, ἢ λογομαχεῖν, τοῖς αἱρεμένοις παραχωρῶ.

ΕΡΜ. Τί τοιαῦτα προβάλλῃ; ἐκ ἔσιν ὅς τις, μὴ τὸ πρὸς τιὼ ἐρώτησιν ἀπορεῖν σε νομίσῃ, αἴτιον γίνεσθαί σοι τῆς πρὸς ταῦτα παραχωρήσεως· καὶ ἄλλως σοι τιὼ ἦτλαν ἐκ ἔσαι φυγεῖν, εἰ μὴ γενναίοις λόγοις διώσῃ τὰς ἡμῶν λόγες ἀπώσασθαι. ΙΩΣ. Θεὸς ὁ ἐν Τριάδι ὑμνέμενος Κύριος, τῶν ἐμῶν ῥημάτων μάρτυς ἔσω πιςός· ὡς ἑτοίμως ἔχων ἀπαντῆσαι σιὼ λόγω πρὸς τὸ ῥηθὲν, πό γε παρὸν ἀναβάλλομαι, ἐκεῖνο εἰδὼς, ὅτι τὰς ἄρτι τὰ διεσπαρμένα τῦ Θεῦ τέκνα πειρωμένες σιωάγειν εἰς σὺ, ἐ δι' ἀντιλογίας, ἢ Φιλονεικίας, ἢ ἔριδος, ἀλλὰ δι' ἐπιεικείας καὶ πραότητος καὶ ἁπλότητος μᾶλλον δεῖ τῦτο πειρᾶσθαι ποιεῖν· ὅτι ἔτ' ἀπὸ σκότες πρόεισι φῶς, ἔτ' ἀπὸ ψεύδες γίνεται ἀλήθεια, ἔτ' ἐκ διαμάχης εἰρήνη

ΕΡΜ. Τίς ἡ κατεπείγουσα τοῦτο πρόφασις; ΙΩΣ. Πρόδηλος· εἰ γὰρ ὅλως ἐγὼ καταδέξομαι, μετ' ἐμοῦ καί τινος Ἰταλοῦ διαλέξεις αὐταῦθα γενέσθαι, πρὸ τοῦ τὴν Σιώδου ἀθροισθῆναι, ἐδαμῶς ἡ Σιώδος ἀθροισθήσεται. Καὶ λέγω τὸ πῶς. Ἰδοὺ δεῦρο σήμερον συνηθροίσθημεν ἐπὶ τῇ τοῦ θαυμασιοῦ τούτου ἀνδρὸς παρουσίᾳ, συνελθόντες οἱ πλείους· εἰ μὲν οὖν ἐπὶ τῇ συνελεύσει ταύτῃ συμβῇ, μέσον ἡμῶν μὴ γενέσθαι διάλεξιν, ἀλλὰ προσλιπεῖν μόνον, καὶ φιλικοὺς ἀνασθῆναι λόγους, καὶ αὐτοὶ πάντες ὑμεῖς, καὶ πρὸ τοῦ ἐντεῦθεν ἐξελθεῖν, καὶ μετὰ τὸ ἀπελθεῖν ἕκαστος ὑμῶν ὅποι βούλεται, εἰρήνην ἔξετε πρὸς ἀλλήλους· καὶ οἱ ἐκτὸς ὑμᾶς προσδεχόμενοι, λαβεῖν παρ' ὑμῶν ἀντιλογίας οὐκ ἔξουσιν· ἂν δὲ συλλογισμὸς, ἢ σόφισμα πρός τινος προτεθῇ, εἶτα παρὰ τῶν ταναντία δοκούντων ἀντίστασις γένηται· (ὅπερ ἀνάγκη συμβῆναι) καὶ πρὸ τοῦ ὑπερβῆναι ὑμεῖς πάντες τὸν τῆς κέλης ὁδὸν, ταραχθήσεσθε κατ' ἀλλήλων, καὶ μετὰ τὸ ἐκβῆναι αὐτίκα ἐντεῦθεν, τὰς ἀνὰ πᾶσαν τὴν μεγαλόπολιν ταύτην ἀνθρώπους ταράξετε· καί γε τὴν εὖρον πάλιν, καὶ τὴν μετ' αὐτὴν, καὶ τὰς ἑφεξῆς, ἐν ἐκκλησίαις καὶ ἀγοραῖς, ἐν ἐργαστηρίοις καὶ συνεδρίοις, καὶ ταῖς ὁδοῖς, ἐγγὺς καὶ μακρὰν, ὁδὸν ἄλλο χεδὸν ῥηθήσεται, καὶ φιλονείκως ἐκδοθήσεται, ἀλλ' ἢ τὰ καθάπαξ ἐνταῦθα ῥηθέντα, πολλάκις ἀνακυκλέμενα· καὶ ἔσαι τὸν μὴ Ῥωμαῖον ἐπικαυχώμενον τοῖς ῥηθεῖσι θεᾶσθαι, καὶ τῷ Ἰταλῷ ἰταμῶς ἐπεμβαίνοντα, τὸν δὲ πρὸς τοῦτον ἀναισχυντοῦντα καὶ ἀπειλοῦντα, εἰ μὴ σιγᾷ, καὶ χεῖρας τούτῳ ἐπιβαλεῖν. Τοὺς μέντοι λεγομένους ἐγκαθέτους καὶ θηρολέκτας, ὥσπερ τι θήραμα τὸ παρόντε Φιλονείκως ῥηθὸν ὑφαρπάσαντας, καὶ ὡς δόξῃ ἑκάστῳ μεταποιήσαντας, διά τε μιμυμάτων, καὶ διὰ μέλανος, τάχιστα πρὸς τοὺς ἐν Ἰταλίᾳ μεγάλους θηλῶν· τοῦτο δὲ ὁδὸν ἄλλο ἔσαι, ἢ μῖσος ἐπ' ἀμφότερα ἐγείραι τὰ γένη, καὶ μακρὸν αὐτοῖς προξενεῖν μερισμὸν, καὶ αἴτιόν με γενέσθαι τοῦ μηδόλως ἐλπίζεσθαι τὴν ὕνωσιν τῶν Ἐκκλησιῶν· ὅπερ ἐγὼ συνειδὼς, παραιτοῦμαι τὸ παρὸν περὶ τοῦ δόγματος διαλέγεσθαι.

τὴν ἕνωσιν· εἰδότες δευτέραν ταύτην οἰκονομίαν Θεοῦ, μετὰ τὴν ἔνσαρκον παρουσίαν Χριστοῦ.

Οἱ τῆς ΠΟΛΕΩΣ. Ταῦτά σοι πάντα πρὸς ἕνα σκοπὸν ἀφορῶντι τὸν τῆς σιγῆς, καλῶς εἴρηται· πλὴν ἀξιοῦμέν σε ἅπαντες ἅμα, εἰ μὴ θέλης ἀπαντῆσαι γενναίως καὶ κατὰ στόμα, μετρίως ἀπάντησον. ΙΩΣ. Πρὸς ποίαν πρότασιν ἀπαντήσομαι; ΠΡΕΣ. Ἡμεῖς φαμὲν, ὡς πιστεύομεν, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς, οὔτε καθὸ ἐν τῇ οὐσίᾳ, οὔτε καθὸ ἐν τῇ Θεότητι, ἀλλὰ καθὸ ἐν τῇ προβλητικῇ δυνάμει, τὸ ἅγιον Πνεῦμα προβάλλουσι· καὶ οὐδὲν ἄτοπον ἕπεται. ΙΩΣ. Μὴ πάντῃ με οἴῃ, ὦ οὗτος, τῶν παρὰ σοῦ λεγομένων ἄπειρον εἶναι· πλὴν ὅτι ἐξαγγέλεις μοι, ἢν περὶ ἑκάστου τῶν τῆς Ἐκκλησίας δογμάτων κέκτησαι δόξαν, οἶδά σοι χάριν· ἐπεὶ πολλοῖς πολλάκις ἐγὼ ταυτὶ ἀπὸ στήθους διῆλθον, καὶ ἐν τούτοις ἔζησα καὶ ζῶ καὶ ζήσω· ἕως δὲ νῦν ἐσίγων, μὴ θέλων δοῦναι λαβὴν τοῖς ἐρίζειν ἐθέλουσιν, ὅτι οἱ ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις κρυπτόμενοι λόγοι, ἐοίκασι κερασίοις συνεχομένοις ἐν καλαθίσκοις, ὧν ἑνὸς ἑλκομένου, τούτῳ δύο εὐθὺς συνεφέλκεται· τοῖς δὲ, τέτταρα ἕπεισι· καὶ τοῖς, πάντα σχεδὸν τὰ λοιπὰ ἐπισύρεται. ΕΡΜ. Εἶεν, ἀρξώμεθα δὲ σὺν Θεῷ.

ΙΩΣ. Ὑμεῖς καθ' αὑτοὺς ὠκοδομήσατε πύργον στερρότατον εἶναι δοκοῦντα τὸν αὐτὸν καὶ ὑπερνεφῆ, πρὸς ὃν ἀεὶ καταφεύγετε, ἡνίκα δυαρχίαν ἐγκαλεῖσθε εἰσάγειν ἐπὶ τῆς θείας Τριάδος, τῷ δοξάζειν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, τὸν λόγον εὐθὺς προβαλλόμενοι τοῦτον, ὡς πρόβολον ἀῤῥαγῆ· ἐπεὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καθὸ ἐν τῇ προβλητικῇ δυνάμει, τὸ ἅγιον Πνεῦμα προβάλλουσι· δοκοῦντες ὡς τούτου μόνου ῥηθέντος, μηδενὸς καινοῦ λεγομένου λοιπὸν (*) ἀλλ' ὡς ὁμολογούμενον αὐτίκα τὸ ζητούμενον ἐκλαμβάνεσθε. Τοῦτον οὖν τὸν ἐφ' ᾧ μέγα πεποίθατε πύργον, σὺν Θεῷ δὲ εἰρήσθω, τῇ ἐλεπόλει μου ταύτῃ ἐκ θεμελίων ἀφανιῷ, καὶ προσέχετε ἄνθρωποι. Ὡς οὐδεὶς τῶν ἄχρι τοῦ νῦν παρ'

ἡμῖν

Υἱῆ τὸ Πνεῦμα εἶναι νομίζετε· αὐτοὶ γράφετε, τὸν δὲ Υἱὸν ἐ λέγομεν αἴτιον, ὑμεῖς φρονεῖτε καὶ τὸν Υἱὸν τῆ Πνεύματος αἴτιον· αὐτοὶ ἴδιον τῆ Πατρὸς τὸ προβάλλειν τὸ Πνεῦμα φασὶν, ὑμεῖς κοινὸν Πατρὶ καὶ Υἱῷ τῆτο γράφετε· αὐτοὶ ἀποφαίνονται μόνῳ τῷ Πατρὶ ἡ ἐκπορευτικὴ ἰδιότης πρόσεστιν, ὑμεῖς φατὲ ὅτι ἐ μόνῳ τῷ Πατρὶ ὑπάρχει αὕτη· ὁμολογῆσιν αὐτοὶ, ὅτι ἐκ μόνε τῆ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, ὑμεῖς ἐκ ἐκ μόνε τῆ Πατρὸς αὐτὸ ἐκπορεύεθαι διαγγέλλετε· πάλιν, οἱ μὲν μόνον τὸν Πατέρα πηγὴν δοξάζεσι τῆς ὑπερεσίε Θεότητος, ὑμεῖς δὲ ἐ μόνον τὸν Πατέρα, ἀλλάγε σὺν τέτῳ καὶ τὸν Υἱὸν πηγὴν Θεότητος οἴεσθε· ἐκεῖνοι, ἐχὶ καὶ ἐκ τῆ Υἱῆ τὸ Πνεῦμα διαῤῥήδην τιθέασιν, ὑμεῖς καὶ ἐκ τῆ Υἱῆ τῆτο τιμὴ ὕπαρξιν ἔχειν διίχυρίζεσθε· ἐκεῖνοι ἐπὶ τῆς θείας Τριάδος μόνον αἴτιον τὸν Πατέρα κηρύτθεσιν, ὑμεῖς ἐ μόνον αἴτιον τῆτον εἶναι διδάσκετε, ἀλλὰ σὺν τέτῳ καὶ τὸν Υἱόν· ἐκεῖνοι σὺ πρόσωπον αἴτιον μόνον θεολογῆσι δυοῖν, ὑμεῖς καὶ σὺ σνὸς, καὶ δύο σνὸς, αἴτια καταγγέλλετε. Ταῦτα ἐ φανερὰ ἀντίφασις καὶ ἀντιλογία καὶ ἔρις; παντὶπε δῆλον, καὶ πᾶς τις ἐρεῖ. Οἱ ΠΟΛ. Καὶ πῶς γὰρ ἔ;

ΙΩΣ. Ἔπειτα εἴτις ὑμᾶς ἔροιτο, πείθεθε τοῖς ἁγίοις, ἢ μή; πειθόμεθα πᾶσιν ἐν πᾶσι φατέ· ἐκῶν εἰ ἀληθῶς ἄρα πείθεθε, τὶ ἅπερ αὐτοὶ σαφῶς ἀπεφήναντο, ὑμεῖς προφανῶς ἀθετεῖτε; μᾶλλον δὲ τὶ δήποτε, ἅτε σοφώτεροι τῶν Ἀποσόλων, καὶ μυσικώτεροι τῶν Προφητῶν, τῶν τε Διδασκάλων διδακτικώτεροι, καὶ τῆ Κυρίε αὐθεντικώτεροι, κατὰ διάμετρον αὐτοῖς ἀντιφέρεθε; εἶτα ἀλόγως δυχεραινεῖτε, πῶς ἐ πειθόμεθα ἐν τοῖς τοιέτοις, καὶ τὰ αὐτὰ φρονῶμεν ὑμῖν; Ἐγὼ πισεύσατε, ἔτε ἄλλῳ ἀνδρῶν ἑδενὶ, ἔτ' ἐμαυτῷ ποσῶς πείθομαι· ἀλλὰ καὶ τῇ σοφίᾳ, καὶ τῇ σωέσει, καὶ τῇ γνώσει, καὶ τῇ εἰδήσει, καὶ τῇ διακρίσειμε χάιρειν εἰπὼν, μόνοις σοιχῶ τοῖς ἁγίοις ἐν ταῖς θεολογικαῖς ἀποφάσεσι, καὶ τῷ πάντων Θεῷ. Ὁρᾶτε πῶς ὁ πύργος, ἐφ' ὃν

ἐθαῤ-

καὶ ἄλλο τὸ λογίζεσθαι τὸν βελόμενον περὶ τῦ κρατῆντος, ὅτι πάντων ἐστὶ βασιλέων ὑπέρτερος. Νομίσατε, κοινὼ ἡμῶν πάντων πατρίδα καὶ πόλιν τινὼ τῦ Χριστῦ καθολικωὶ ἐκκλησίαν, καὶ τινὼ ὀρθόδοξον πίστιν, καὶ τινὼ ἀλήθειαν, προδότιν δὲ ταύτης ὁμολογέμενον τὸν τὸ χίσμα ποιήσαντα, βασιλέα δὲ τὸν Θεὸν καὶ Πατέρα, καὶ θησαυρὸν αὐτῦ ἄπειρον τινὼ ὑποσατικωὶ τῦ θείυ Πνεύματος πρόοδον.

Ἀξεῖον δὲ τῶν διηγημάτων κἀκεῖνο, καὶ τῇ μετὰ χεῖρας ὑποθέσει ἁρμόδιον. Λέγεται γὰρ ὡς ἔχρηζέ τις ποτὲ δανεισῆς, τινὶ τῶν ὑπ' ἀνάγκης πιεζομένων, νομίσματα δέκα ἐπὶ κέρδει ῥητῷ· ὃς παρ' αὐτῦ γραμματεῖον πρὸς πίστωσιν εἰληφὼς, ἐπεὶ τὸ τὸν δέκα σημαῖνον ἀριθμὸν ἐκεῖ γράμμα (ι) ἔτυχεν ὂν, πανέργως αὐτὸς ἐπὶ τῆς ἄνω τάξις κεραίας προθέμενος (ο), εἰς τὸ τὰ ἑκατὸν σημαῖνον στοιχεῖον τὸ (ρ), μετεποίησε τὸ τὰ δέκα δηλῶν. Τάξις δὲ καθεζῶτος ἀδήλε, μετά τινα χρόνε παρέλθσιν, ἑκατὸν ἀντὶ δέκα ἀπῄτει, τῷ ὀφειλέτῃ τὸ γράμμα δεικνύς· ὁ δὲ φωράσας τὸν δόλον (ἰῶ γὰρ ὡς ἔοικε καὶ αὐτὸς τῶν μὴ πάντῃ ἁπλῶν) εἰς τὸ κρεῖττον δῆθεν διασκέψασθαι τὸ γραμματεῖον αἰτήσας, καὶ εἰς χεῖρας λαβὼν, τῇ κάτω ἄκρα τῦ μεταποιηθέντος (ι) ἐκείνε εἰς (ρ), ταυτὸν τῦ προτέρε κἀκεῖνος προθέμενος (ο), τὸ πρὸ μικρῦ σημαῖνον (ρ) ἑκατὸν ἀριθμὸν, εἰς (δ) μεταστυπώσας, ἰῶάγκασε δύο μόνα δηλῶν. Ἐναγόμενος δὲ πρὸς τῦ δανεισῦ περὶ τάξις, ὦ ἄνος, φησὶ πρὸς αὐτὸν, ἰδίᾳ τὸν ἄνδρα λαβὼν, εἰ σύγε πρῶτος ἀφέλης, ὃ προτέθεικας ἐπὶ τῆς ἄνω κεραίας τῦ γράμματος (ο), κἀμοῦ τὸ ἐπὶ τῆς κάτω προσεθὲν τῦτο ὑφελομένε, οὐδὺς ἔτε (ρ) ἔτε (δ), μόνον δὲ ἐκεῖνο ἔσαι, (ι) τὸ ἐξ ἀρχῆς· κἀντεῦθεν ἔτε ἑκατὸν, ἔτε δύο, ἀλλὰ δέκα σοι μόνον νομισμάτων χρεώσης ὀφθήσομαι. Οὕτω τοίνιν καὶ ἡμῖν, εἰ δοκεῖ ποιητέον· ἄρατε ἐκεῖνο τὸ παρ' ὑμῶν προσεθὲν, καὶ πάντα τὸν θόρυβον ἐμποιῶν, ἐκ τῦ μέσε, καὶ αὐτίκα σιγώντων ἡμῶν, καὶ λαλέντων, ὑφ' ἑαυτῆς μόνης ἡ παρ'

προσδιορισμῶν μὴ κειμένων, προσδιορισμὲς ἀναπλάττειν, ἢ προσδιορισμῶν τεθειμένων παρὰ συνόδων ἁγίων, ἀχρησίαν τούτων καταγινώσκειν.

ΠΡΕΣ. Καὶ πῶς περὶ τοῦ Υἱοῦ μὲν εἴρηται, ὅτι μόνος ἐκ μόνου τοῦ Πατρὸς ὁ Υἱὸς, περὶ δὲ τοῦ ἁγίου Πνεύματος οὐ τῷ αὐτῷ τόπῳ τοῦτο σεσίγηται; ΙΩΣ. Οὐδὲν ξένον· δηλοῖ γὰρ ἡ χρῆσις, ὅτι μόνος ὁ Υἱὸς τοῦ Θεοῦ, ἐκ μόνου τοῦ Πατρὸς ἀμήτωρ ἐστὶν, οἱ δ' ἄλλοι πάντες Υἱοὶ, ἔκτε Πατρὸς καὶ Μητρός· ὥστε πολλαχόθεν, μᾶλλον δὲ πάντοθεν ὑμεῖς ἐστὲ ἐν κινδύνῳ· ὅτι εἰ μὲν ἀσχολεῖτε περὶ τὸ δόγμα, ἤδη χωρίζεσθε τοῦ Θεοῦ, εἰδ' ἐπιτυγχάνετε, καθάπερ δὴ καὶ νομίζετε, πάλιν ἐπὶ τόσα καὶ τετρακόσια ἔτη μερισαὶ τῆς ἐκκλησίας εὑρίσκεσθε. Ὅτι ἔτέ τις τῶν ἀρχαίων Συνόδων, ἔτέ τις τῶν ἁγίων Πατέρων, ἠπείλησεν ἀνάθεμα τοῖς μὴ δοξάζεσι καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι. Ἡμεῖς δὲ μηδὲ τοῦ θεοπαραδότου κινοῦντες, ἐπιτυγχάνομεν πάντοτε, ὅτι καὶ τοῖς προσιθένας τολμῶσιν ἀπὸ Θεοῦ χωρισμὸς ἢ μερὶς, καὶ ἡ μνήμη αἰώνιος τοῖς τοὺς ὅρους τῶν Πατέρων φυλάττουσιν.

ΠΡΕΣ. Ἡμεῖς ἕτω δοξάζομεν, ὅτι ὥσπερ ὁ Θεὸς ἐδηλοῖ πρόσωπον, ἔτε ὁ πέμπων, ἔτε ὁ πεμφθεὶς, ἔτως ἐδ' ὁ προβολεὺς δηλοῖ πρόσωπον· καὶ τὸ προβάλλειν λεγόμενον ἐπὶ Πατρὸς καὶ Υἱοῦ, ἔτε ὑποστατικὸν ἐστὶν, ἔτε τὰ δύο πρόσωπα οὐ ποιεῖ πρόσωπον· ἀλλὰ καθάπερ ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὴν τῆς Θεότητος ταυτότητα πρόσωπον οὐκ ἐκ εἰσὶν, ἐδ' ὁ Πατὴρ ἢ ὁ Υἱὸς διὰ τὴν πέμψιν τοῦ Πνεύματος, ἐδ' ὁ Υἱὸς ἢ τὸ Πνεῦμα διὰ τὴν αἰτιατὴν κοινωνίαν, ἔτως ἐδ' ὁ Πατὴρ καὶ ὁ Υἱὸς διὰ τὸ προβάλλειν τὸ Πνεῦμα οὐκ εἰσὶ πρόσωπον· ἐπείπερ ἐχ ὑποστατικὸν ἐστὶ τὸ προβάλλειν, μόνον δὲ ἴδιον λέγεται τοῦτο Πατρὸς καὶ Υἱοῦ· τὰ δὲ τοιαῦτα ἴδια, ὡς ἑπόμενα τοῖς προσώποις, ἅτε μὴ ὄντα ὑποστατικὰ, πρόσωπον ἐχ ὑφίστησι.

τὸν Υἱὸν ὃ λέγομεν αἴτιον, οὐδὲ Πατέρα· ἦγον, σαφηνείας ἕνεκεν, ἐπίσης ἀπέχομεν τῷ λέγειν τὸν Υἱὸν αἴτιον Πνεύματος, ὥσπερ τῷ πιστεύειν αὐτὸν Πατέρα εἶναι τοῦ Πνεύματος· οὐδὲ γὰρ πρὸς τὸν Πατέρα, ἢ τὸν Υἱὸν ὁ λόγος ἀφορᾷ, ἤτοι αἴτιον, ἢ Πατέρα τοῦ Πατρὸς, ἢ αἴτιον, ἢ Πατέρα ἑαυτοῦ νομίζεσθαι τὸν Υἱὸν, μόνον δὲ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον. Ἢ τίς γὰρ ἀνθρώπων περὶ Υἱοῦ ἀπολογούμενος λέγει, τὸν Υἱὸν ὃ λέγομεν Πατέρα, ἢ αἴτιον τοῦ ἰδίου Πατρός; ἢ Πατέρα, ἢ αἴτιον ἑαυτοῦ καθ' ὑπόστασιν; τὸ γὰρ τοιαῦτα λέγειν, καὶ ἀδόλεχον καὶ παρέλκον ἐστὶ, καὶ παρὰ τὰ πράγματα, καὶ παρ' αὐτὰ τὰ τοῦ λόγου χρήσιν, καὶ παρὰ πᾶν τὸ εἰκός· ἴδιον δὲ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ προβάλλειν προτεινόμενος εἶναι, τὸ ζητούμενον ἔτι διιχυρίζῃ ὡς ἤδη τοῖς πᾶσιν ὁμολογούμενον, ἐπιλαθόμενος ὥσπερ, ὅτι τὸν συμπεραίνοντα ἐκ τῶν κοινῇ δοκούντων, ἐκ ἐκ τῶν ἑαυτῷ μόνῳ χρὴ τοῦτο ποιεῖν· καὶ τοῦτο κοινήτις ἔννοια πᾶσιν ἀνθρώποις ἐστί. Καὶ τὸ, ὥσπερ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα διὰ τὴν τοῦ αἰτιατοῦ κοινωνίαν εἶ, τῷ προκειμένῳ ἁρμόζει οὐδ' ὁπωσοῦν· ὅτι τὸν μὲν Υἱὸν καὶ τὸ Πνεῦμα τῆς κοινωνίας εἵνεκα ταύτης, οὐχ οἱ φαμὲν αἰτιατὸν ἅπαντες, ἀλλὰ δύο, Υἱὸν δηπου καὶ Πνεῦμα· καὶ διαφόρως αἰτιατά, γέννημα δηλονότι καὶ πρόβλημα, εἰ δὲ βούλει, κατὰ γέννησιν καὶ ἐκπόρευσιν· ὑμεῖς δὲ τὸν Πατέρα καὶ τὸν Υἱὸν, διὰ τὸ προβάλλειν, οὗ λέγετε τοῦ Πνεύματος ἀδιάφορον αἴτιον· τῶν δὲ ἡγεμόνων ἀναιρεθέντων, οὐδὲ τοῖς ἑπομένοις τὸ ἀναγκαῖον πρόσεστι.

ΛΑΤΙΝΟΦΡΩΝ. Πάνυ καλῶς ὁ Πατὴρ τοῖς θεολόγοις τεθεολόγηται, μόνος πηγὴ τῆς ὑπερσὶς Θεότητος, μόνος Υἱοῦ καὶ Πνεύματος αἴτιος, καὶ μόνος τούτων ἀρχή· ἀλλ' ὡς προκαταρκτικὸν, καὶ οἷον ἀναίτιον αἴτιον· ὁ δὲ Υἱὸς ἅτως αἴτιος, ὡς παρὰ τοῦ Πατρὸς τοῦ πρώτου αἰτίου, τῷ, τοῦ Πνεύματος καὶ αὐτὸς αἴτιος εἶναι, λαβὼν ἰδιότητα, ἥτις προσίοι ἂν καὶ τῷ Πνεύματι, ὡς πάντα ἔχοντι τὰ τοῦ Πατρὸς καὶ Υἱοῦ, εἰ μὴ ἀδιώατον

ΙΩΣ. Εἰ γὰρ τὸ Πνεῦμα ἔτως ἐκ τῦ Υἱῦ, καθάπερ ἐκ τῦ Πατρὸς προσωπικῶς ἔχει τινὶ ὑπαρξιν, ἐκ ἀληθεύσει κατ' ἀνάγκιν οἱ λέγοντες, μόνος ὁ Πατὴρ καὶ τῦ Υἱῦ καὶ τῦ Πνεύματος αἴτιος· καὶ εἰ ἔτως αἴτιος ὁ Πατὴρ, ὡς γεννῶν ὁμῦ καὶ προβάλλων, ἐχ ἕτω δὲ καὶ ὁ Υἱὸς αἴτιος, ἀλλὰ τρόπον ἕτερον, ἤγεν ὡς μόνον προβολῆς, πῶς ἐ πρόδηλον ὅτι δύο θεότητος αἴτιοι; εἰ δὲ καὶ πῇ μὲν ὁ Υἱὸς τῦ Πνεύματος αἴτιος, πῇ δὲ ἐκ αἴτιος, ψεύδεσθαι πᾶσα ἀνάγκη τὲς λέγοντας πάντα τῦτον ἔχειν τὰ τῦ Πατρὸς, πλὴν τῆς αἰτίας ἁπλῶς· καὶ τὸν Υἱὸν μὴ ἔχειν τινὶ αἰτίαν τῦ Πνεύματος. Ἀλλ' ἐδὲ τὸ λέγειν, ὅτι καὶ τὸ προβάλλειν λῷ ἂν κοινὸν καὶ τῷ Πνεύματι, εἰ μὴ ἀδιάτατον λῷ ἐξ αὐτῦ ἐκπορεύεσθαι, πρὸς ἀπολογίαν ἀρκεῖ· ἕτω γὰρ ἔξεσι πάντα μὲν λέγειν καὶ σέργειν, πάντα δὲ διαφεύγειν καὶ ἀπαρνεῖσθαι τὰ ἄτοπα, ἀπολογέμενον ἐφ' ἑκάστε προχείρως, τὸ δῆθεν ἑκάστῳ ἁρμόζειν δοκῦν· οἷον προσλῶ ἂν καὶ τῷ Πατρὶ τὸ ἐκπορευτὸν, εἰ μὴ ἀδιάτατον λῷ ἐν τοῖς θείοις δύο εἶναι προβλήματα· προσλῶ ἂν καὶ τῷ Υἱῷ τὸ γεννᾶν, εἰ μὴ ἀδιάτατον λῷ τὸ καὶ ἐξ αὐτῦ γεννᾶσθαι· προσλῶ ἂν καὶ τῷ Πνεύματι τὸ γεννητὸν εἶναι, εἰ μὴ ἀδιάτατον λῷ ἐ τοῖς θείοις δύο εἶναι Υἱές· προσλῶ ἂν καὶ τῷ δεῖνι τὸ δέ τι, εἰ μὴ τόδε τὸ ἄτοπον εἴπετο· καὶ ὅσα τέτοις παρόμοια. Καὶ ταῦτα μὲν εἰρήθω μοι σωηθέτερον. Εἰ δὲ δεῖ καὶ συλλογισμοῖς χρήσασθαι εἰς δεῖξιν τῶν ἐκ τῦ σῦ συμπεράσματος ἑπομένων ἀτόπων, ἰδὲ λέγομεν, ὅτι τὰ πολυϋμνητα πρόσωπα τῆς παναγιτάτης Τριάδος, τρία ὄντα ἐ πλέω, σωαριθμιον ἄλλο πρόσωπον ὁπωσῦν ἐ προσδέχεται· ὁ δὲ καθ' ὑμᾶς προβολῆς, ἔτε ὁ Πατὴρ ἐτίν, ὅτι ἐ γεννᾷ· ἔτε ὁ Υἱὸς, ὅτι ἐ γεννᾶται· ἔτε τὸ Πνεῦμα τὸ ἅγιον, ὅτι ἐ προβάλλεται πρός τινος· ὃ δὲ μήτε Πατὴρ ἐτὶ, μήτε Υἱὸς, μήτε Πνεῦμα, ἅτε τῦτο τῆς θείας Τριάδος ὑπάρχον ἐκτὸς, θεότητος αἴτιον εἶναι, ἐκ ἂν τις τῶν ἀπὸ Χριτῦ καλεμένων ἐρεῖ· ὃ δὲ μὴ θεότητος αἴτιον, ἐδ' ὁθενῦν ἐξ ἀνάγκης καθ' ὕπαρξιν, ἐδενός ἐτὶ προβολῆς· ἕτω δὲ τῷ καθ' ὑμᾶς προβολέως

ἄλλος γάρ ἐστι παρὰ τὸν εἶναι Προβολέα· εἰ δὲ ἄλλος, ἑδαμῶς ἐστὶν ὁ Υἱὸς Προβολὸς τῆ Πνεύματος καθ' ὑπόστασιν.

Ἔτι, ἐν τοῖς θείοις προσώποις, εἷς ἐστὶν ὁ Πατὴρ, καὶ εἷς ἐστὶν ὁ Υἱὸς, καὶ εἷς ἐστὶν ὁ τῆ θείε Πνεύματος προβολὸς καθ' ὑπόστασιν, ἐ δύο Πατέρες, ἐ δύο Υἱοὶ, ἐ δύο οἱ τῆ Πνεύματος καθ' ὕπαρξιν Προβολεῖς· εἰ δὴ ταῦτα τοῖς ἅπασιν ὡμολόγηται, καὶ ἑδεὶς ἀντιλέγει, ἐκεῖνο λοιπὸν τῆ διναμένε καλῶς ἀπαντῆσαι πιωθάνομαι, ὁ παρ' ὑμῶν ἐν τῆ θείᾳ Τριάδι πρεσβεύόμενος εἷς Προβολὸς, εἷς μόνος αἴτιος, καὶ ἄλλος ἑδεὶς ἐν ταύτῃ ἐστὶν, ἢ παρὰ τὸν εἶναι αἴτιον τῆτον, ἔστι καὶ ἄλλος αἴτιος ἐν αὐτῇ; εἰ μὲν ἔστι καὶ ἄλλος αἴτιος παρὰ τῆτον, δύο ἐν τοῖς θείοις προσώποις αἴτιοι· καὶ ψεύδονται οἱ κηρύτλοντες θεολόγοι, τὸν δὲ Υἱὸν ἐ λέγομεν αἴτιον· καὶ εἷς παρ' ἡμῖν, ἀμφοῖν τοῖν προσώποιν αἴτιος ὁ Πατήρ· καὶ μόνος Υἱῆ καὶ Πνεύματος αἴτιος ὁ Πατήρ· καὶ ὅσα τῆτοις ἐφάμιλλα· εἰ δὲ ἐκ ἔστι καὶ ἄλλος, λοιπὸν ὁ Προβολὸς ἕτος, καὶ τῆ Υἱῆ καὶ τῆ Πνεύματος αἴτιος ἔσαι μόνος· καὶ ὁ Υἱὸς ἐ μόνον ἐκ τῆ Πατρὸς, ἀλλὰ καὶ ἀφ' ἑαυτῆ ἔχει τιὼ γέννησιν· καὶ τῷ ἐνὶ τέτῳ αἰτίῳ σωαίτιος ἐστὶ τῆς ἰδίας ὑπάρξεως, καὶ αἴτιος καὶ αἰτιατὸς, καὶ Πατὴρ καὶ Υἱὸς ἑαυτῆ· καὶ ἂν δύο προσώπων ἐστὶ Προβολὸς, καὶ ὁ Υἱὸς ἔσαι πρόβλημα, ὡς ἐκ ἐκ Πατρὸς, ἀλλ' ἐκ Προβολέως γεννώμενος· καὶ ἂν ἑνὸς μόνε προσώπε, δυὰς ἡμῖν ἡ Τριὰς ἀναφαίνεται· τετέσιν εἷς Προβολὸς, καὶ ἓν Πρόβλημα· καὶ μὴ μόνον Προβολὸς, ἀλλὰ καὶ Πατὴρ καὶ Υἱὸς ὁ αὐτὸς καὶ εἷς λέγεται, τριπλῆς καὶ ὁ τῆ Υἱῆ, καὶ ὁ τῆ Πνεύματος αἴτιος· ὧν τί γένοιτ' ἂν ἀτοπώτερον;

Ἔτι, εἴπερ ὁ Πατὴρ καὶ ὁ Υἱὸς δύο διναμεις ἔχεσιν ὑποσατικὰς, εἰ μὲν μόνον διναμεις εἰσὶν αἱ ὑποσατικαὶ τέτων διναμεις, ἐχὶ δὲ καὶ πρόσωπα, ἔτε ἐκ τῆ προσώπε τῆ Πατρικῆ ὁ Υἱὸς γεννᾶται, ἔτε ἐκ τῆ Πατρὸς καὶ τῆ Υἱῆ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται· εἰ δὲ καὶ τὰ πρόσωπα διναμεις εἰσὶ, καὶ αἱ διναμεις πρόσωπα,

ΤΟΥ ΑΥΤΟΥ

ΔΙΑΛΕΞΙΣ Γ.

ΠΕΡΙ

ΤΗΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ ΕΚΠΟΡΕΥΣΕΩΣ.

Μετὰ τῶν ἐν Κωνσταντινοπόλει ΛΑΤΙΝΟΦΡΟΝΩΝ· ὧν τὰ ὀνόματα ἐγέγραπται, ὡς ἔτι ζώντων, καὶ δυναμένων ἐφ' οἷς φρονοῦσι μεταβαλέσθαι.

ΛΑΤΙΝΟΦΡΩΝ.

Ὑγιαίνοιτε, χαίροιτε, σώζοισθε. ΙΩΣ. Καὶ αὐτὸς ταῦτα κτήσαιο. ΛΑΤΙΝ. Εἴπατε δήμοι τὶ πρὸς ἀλλήλους νῦν διελέγεσθε; καὶ γὰρ ἐν τῷ ὑπερβαίνειν με τὸν τῆς κέλλης ταύτης ἐδὸν, τῶν μὲν ὑμετέρων ἠθόμιλν φωνῶν, ἐ μιὺ δὲ καὶ συμβαλεῖν ἠδυνήθιν τῶν λεγομένων τὸν νοῦν. ΙΩΣ. Ἐγὼ πρὸς τὸν ἄρχοντα τοῦτον ἐλάλουν ἁπλῶς, ὅτι ὅσον εἰς τὶν ἡμῶν ἥκει γνῶσιν, ἀναφαίνεται σήμερον, (ἦγεν τῇ ἐνδεκάτῃ τοῦ Νοεμβρίου μιυὸς, κατὰ τὸ ἑξακισχιλιοστὸν, ἐνακοσιοστὸν τριακοστὸν πρῶτον ἔτος ἀπὸ κτίσεως Κόσμου, ἀπὸ δὲ Χριστοῦ χιλιοστὸν τετρακοσιοστὸν εἰκοστὸν τρίτον, Ἰνδικτιῶνος πρώτης.) ὡς ἡ μὲν μεγαλόπολις αὕτη ἐστὶ τεττάρων πρὸς τοῖς ἑκατὸν καὶ χιλίων ἐτῶν· ἡμεῖς δὲ, Ῥωμαῖοι Φημὶ καὶ Λατῖνοι, τρία πρὸς τοῖς χιλίοις ἔτη ὑπήρχομεν ἰῶμενοι· εἴκοσι δὲ πρὸς τοῖς τετρακοσίοις ἐσμὲν ἐχισμένοι. Ἐγεννήθη γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἔτει ἀπὸ κτίσεως Κόσμου πεντακιχι-

ρησίᾳ ὁμολογεῖ· ἐρρίφθω δήπε καὶ αὕτη ἐν τῇ ἀβύσσῳ ἐκείνῃ τῶν τῦ Θεῦ ἀποκρύφων, καὶ μενέτω ἀπρόϊτος ἕως ἡμέρας τῆς τῶν ἁπάντων ἀποκαλύψεως· καὶ ὥσπερ διὰ τὸ σῶσαι σκάζοντάς τινας περὶ τῦ Υἱῦ οἰκονομικῶς προσετέθη, ὡς λέγετε, ἵτως ἐκβληθήτω καλῶς δι' οἰκονομίαν, ἵνα μυρίοι γάνται τῷ Ῥώμης ὑποταγῇ. Οὐ γὰρ ἁπλῶς πᾶσαν προθήκιλω ποιεῖν αὐτῷ ἔξεσιν, ἔμενεν· ἀλλὰ τλιὰ συμφερεσαν· καὶ σκοπεῖτε. Εἰ μὲν ὅσα ἐξεσι τέτῳ, καὶ πᾶσι συμφέρει καλῶς· εἰ ὅσα τέτῳ ἔξεσι πράτλειν, πάντα τλιὰ τῦ Χριςῦ ἐκκλησίαν οἰκοδομεῖ· εἰ τὸ ἑαυτῦ ζητεῖν ἐπιτάτλει, καὶ μὴ τὸ τῶν ἁπάντων συμφέρον· εἰ μόνον διὰ τὸ ἐκδικεῖν τὸ ἑαυτῦ μεγαλεῖον, εἰς τὸν ἀποστολικὸν ἐκεῖνον ἵδρυται θρόνον· εἰ πάντα ὅσα θελήσει ὡς πρῶτος, καταρτίζει ὁ καθαιρεῖ, ςερκτέα τοῖς πᾶσι, καὶ προσκυνήσεως ἄξια· εἰ δὲ πάντα μοι ἔξεσι, φησί πε τὸ σκεῦος τῆς ἐκλογῆς, ἀλλ' ὁ πάντα συμφέρει· πάντα μοι ἔξεσιν, ἀλλ' ὁ πάντα οἰκοδομεῖ, καὶ τέτοις ἐχόμενον ἐπιφέρει, μηδεὶς τὸ ἑαυτῦ ζητείτω, ἀλλὰ τὸ τῦ πλησίον ἕκασος πρὸς τὸ συμφέρον· καὶ νυῦ μὲν, περὶ τῆς ἐξσίας ἧς ἔδωκεν ἡμῖν ὁ Κύριος, εἰς οἰκοδομλὼ, καὶ ὐκ εἰς καθαίρεσιν· νυῦ δὲ, ὐκ ἐχρησάμλω, λέγει, τῇ ἐξσίᾳ, ἵνα μὴ ἐκκοπλώ τινα δῶμεν τῷ Εὐαγγελίῳ τῦ Χριςῦ· νυῦ δὲ, ἵτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριςῦ, καὶ οἰκονόμες μυςηρίων Θεῦ· καὶ ὅτι Χριςὸν μὲ Κύριον κηρύτλομεν, ἡμᾶς δὲ αὐτὲς δέλες ὑμῶν διὰ Χριςόν· νυῦ δὲ, εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν με, ὁ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα ἵνα μὴ τὸν ἀδελφόν με σκανδαλίσω· μιμείσθω καὶ αὐτὸς τὸν Ἀπόςολον, καὶ ἐξσίαν ἔχων, ἢ μὴ κεχρήσθω ταύτῃ ἐφ' οἷς ὁ προκόπλει τὸ Εὐαγγέλιον, ἢ κεχρήσθω μὲν, πλιὼ εἰς οἰκοδομλὼ καὶ ὐκ εἰς καθαίρεσιν· ὡς τό γε νυῦ ἔχον, τί τὸ ὐκ τῆς ἀδελώτε ταύτης περιωπῆς ἐκείνῳ προσγινόμενον κέρδος; ὁ σιωρῶ. Πόσα τῶν Ἀποςόλων πέπονθεν ἕκασος, ὥςε μίαν κερδάναι ψυχλώ; ὁ πᾶσι γέγονε πάντα, ὁ λέγων μιμηταί με γίνεσθε, καθὼς κἀγὼ Χριςῦ, ἵνα τὲς πάντας, ἢ τὲς πλείονας σώσῃ, ἢ πάνλως τινάς; ἐχὶ ἐξύρελο;

ἐχὶ

σέβεια, καὶ τῶν οἰκουμενικῶν ἑπτὰ Συνόδων οἱ ὅροι, καὶ τῶν ἁγίων οἱ λόγοι κωλύσει. ΛΑΤΙΝ. Ταυτὸν εἰπὼν τῇ προθήκῃ τινὶ ἀφαίρεσιν δυνάσθαι, πῶς συμβελτίσεις ἡμᾶς ἀφαιρεῖν; ΙΩΣ. Ὃ προσεθήκατε εἶπον· ἐπεὶ ἔτε προθήκην ἡμεῖς αὐτῶμεν γενέσθαι, ἔτε πάλιν ὑφαίρεσιν, ἀλλ' εἰς τὸ Πατροπαράδοτον ἐκεῖνο, ᾧ ᾧ χίλιοι ἔτη σὺν ἡμῖν οἱ πάντες ἀποκατάσασιν.

ΛΑΤΙΝ. Καὶ πῶς παρὰ πάντων τῶν θεολόγων, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς δι' Υἱῦ προϊέναι κηρύττεται; ΙΩΣ. Τῦτο δὴ καὶ αὐτὸς πρῶτον μαθεῖν ἐφίεμαι παρ' ὑμῶν· τὸ αὐτὸ ἐστὶ καὶ πρόσωπον τῦ Πνεύματος, ὃ παρὰ τῦ Πατρὸς ἐκπορεύεται, τὸ αὐτὸ ἐστὶ καὶ χάρισμα τῦ Πνεύματος, ὅπερ ἡμῖν πέμπεται; καὶ ἡ τῦ ἁγίε Πνεύματος ἐκπόρευσις, ἡ αὐτὴ ἐστὶν ἐκ τῦ Πατρὸς ἀμέριστος, καὶ ἀχώριστος ὕπαρξις, καὶ ἡ αὐτὴ ἐστὶ πρὸς ἡμᾶς μεμερισμένη καὶ διάφορος δόσις τῦ Πνεύματος, ὡς καὶ τὸ πρόσωπον χάρισμα εἶναι, καὶ τὸ χάρισμα πρόσωπον; καὶ τινὶ ὕπαρξιν δόσιν, καὶ τινὶ δόσιν ὕπαρξιν; καὶ ὁμῦ πάντα χρήματα; ἢ πάντως τὸ μὲν τῦ θείε Πνεύματος πρόσωπον ἀνυπόστατον ἐστὶ, καὶ σῶα ἔχει τὸν αἴτιον, τὸ δὲ χάρισμα τῦ Πνεύματος ἐνέργεια ἐστὶν, ἔκτε τῦ Πατρὸς καὶ τῦ Υἱῦ προϊῦσα, καὶ δι' αὐτῦ χορηγεμένη τῦ Πνεύματος; καὶ ἡ μὲν τῦ Πνεύματος ἐκπόρευσις προσωπικὴ ἐστὶν ὐσίωσις, ἐξ αὐτῦ τῦ Πατρὸς, ἡ δὲ πρὸς ἡμᾶς αὐτῦ πρόοδος, οἰκονομία Θεῦ δι' ἡμᾶς γινομένη, καὶ συγκατάβασις, καὶ μετάδοσις; ΛΑΤΙΝ. Αὐτὸς ἂν εἰδείης. ΙΩΣ. Εἰ μὲν ἓν τὸ αὐτὸ ἐστὶ καὶ πρόσωπον τῦ Πνεύματος, ἀϊδίως καὶ ἀδιαστάτως ὑφεστηκὸς σὺν τῷ Πατρὶ, τὸ αὐτὸ ἐστὶ καὶ χάρισμα δωρεμενον ἡμῖν χρονικῶς καὶ μεταδοτικῶς, καὶ ἡ προαιώνιος αὐτῦ ὕπαρξις, ἡ αὐτὴ ἐστὶ τῇ πρὸς ἡμᾶς αὐτῦ δόσει, ἐπεὶ ὁ μόνον ὁ Πατὴρ αὐτὸ, καὶ ὁ Υἱὸς δίδωσιν, ἀλλὰ καὶ αὐτὸ ἑαυτὸ, καὶ αὐτὸ ἐξ αὐτῦ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον προσωπικῶς ἐκπορεύεται· εἰ δὲ ἡ μὲν ἀΐδιος τῦ θείε Πνεύματος πρόοδος, ἐκ ἔστιν ἐκ τῦ Πνεύματος· ἄτοπον γὰρ

τὸ

ἔτω λεγόμενον παρ' ὑμῶν, ἡ συμπάντζια, substantia, μόνῳ σημαίνει ὀνόματι, μιᾷ λέξει, διτλιὺ ἔννοιαν τοῖς σωτικαῖς δυναμένοις παρέχουσα νοεῖν· κἀντεῦθεν ἐγεγόνει τὸ χίσμα τῶν δυτικῶν πρὸς ἡμᾶς, περὶ τῆς τῶ ἁγίω Πνεύματος ἐκπορεύσεως· ταῦτα δὲ μέμνημαι καὶ ἄλλοτε εἰπὼν, ὅτι τῷ κατὰ τλιὺ σημασίαν διπλῷ ὀνόματι τούτῳ, ἐπὶ τῶ προσκειμένῳ χρώμενοι Πνεύματος, ὡς ἕκαστος θέλει νοεῖ, ὁ μὲν ἀντὶ τῆς οὐσίας, ὅτε σημαίνει ὑπόστασιν· ὁ δὲ ἀνθ' ὑποστάσεως, ὅτε δηλοῖ οὐσίαν· ὁ δὲ ἕνα τοῦτο καὶ τλιὺ σημασίαν ἀδιάφορον ἀμφοῖν οἰόμενος, καὶ διὰ ταῦτα τῆς ἀληθοῦς θεολογίας ἑαυτὸς ἀποχίζουσι· τὰς γὰρ τῶν θεολόγων διερχόμενοι χρήσεις, καὶ τλιὺ συμπάντζιαν ἔχειν ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα εὑρίσκοντες ἐκεῖ πολλαχοῦ, ἐκ εἰς τὸ πρῶτον σημαινόμενον παρὰ τοῦ ὀνόματος τούτου, δηλαδὴ τλιὺ οὐσίαν δέχονται τλιὺ συμπάντζιαν, ἀλλὰ διὰ τὸν πρὸς ἡμᾶς ζῆλον, οὗ δὴ εἰς τὸ δεύτερον, τλιὺ ὑπόστασιν ἤγαγον, τὸν λόγον ἀνάγουσι· καὶ περὶ ταύτης μόνης ἀεὶ πιστεύουσι λέγεσθαι· καὶ τοῦτο ἐστὶν ἡ τῆς αὐτῶν πρὸς ἡμᾶς ὁμονοίας διάστασις, κἂν τοῖς πολλοῖς ἐκ δυσιώπλον. Ὅτι δὲ ὑπόστασιν ἢ τλιὺ οὐσίαν καὶ τὸ πρόσωπον λέγουσιν Ἰταλοὶ, καὶ ὑμεῖς αὐτοὶ μάρτυρες, καὶ ὁ ἅγιος Αὐγουστῖνος ἐν τῷ περὶ Τριάδος Βιβλίῳ, καὶ ὁ θεολόγος Γρηγόριος ἐν τῷ πρὸς Ἀθανάσιον λόγῳ φησί.

Δεύτερον, ὅτι ὡσαύτως διὰ πενότητα γλώττης παρὰ τοῖς αὐτοῖς Ἰταλοῖς ἐχ εὕρηται, ἔθ' ἡ ἐκπόρευσις τὸ ὄνομα, ἔτε τὸ ἐκπορεύεται ῥῆμα· ὅθεν ἀντὶ μὲν τοῦ εἰπεῖν ἡ ἐκπόρευσις, ἡ πρόοδος φασίν· ἀντὶ δὲ τοῦ ἐκπορεύεται, τὸ πρόεισι λέγουσι· καὶ τὸ δὴ χεῖρον, ὅτι καὶ ταυτὰ τοῖς παρ' ἡμῶν λεγομένοις εἶναι ταῦτα νομίζουσι· τὸ δ' ἐ τοιοῦτον ἐστίν· ἡμῖν γὰρ αἱ φωναὶ αὗται, ἐπὶ τοῦ ἁγίου λεγόμεναι Πνεύματος, ἡ πρόοδος πρὸς τλιὺ ἐκπόρευσιν, καὶ τὸ πρόεισι πρὸς τὸ ἐκπορεύεται, τοιαύτλιν ἔχει τλιὺ διαφοράν, οἵαν ἔχει τὰ γένη πρὸς τὰ εἴδη, ἢ τὰ κοινὰ πρὸς τὰ ἴδια, ἢ τὰ καθόλε πρὸς τὰ καθ' ἕ-

ἀλλὰ κατὰ τὰς ὑπερφυεῖς αὐτῦ δωρεὰς, ἐκέτι δὲ ἐκ Πατρὸς καὶ Υἱῦ ἐκπορεύεσθαι, ἤγεν τλιὺ τῆς ὑποσάσεως αὐτῦ ὕπαρξιν ἐχηκέναι, ἐκ ἂν τοσαύτλιν ἔχε χώραν τὸ χίσμα τῶν τοσέτων ἐκκλησιῶν· νιῦ δὲ ταύταις ταῖς λέξεσιν, ἡ παρεκτροπὴ πᾶσα τλιὺ ἀρχλιὺ ἔλαβε, καὶ εἰσέτι κινδιυόυει διὰ τέτων, παντὶ τῷ αἰῶνι παρεκτανθλιῶαι.

Καὶ Τρίτον πρὸς τέτοις, ὅτι περ ἡ σημασία, καὶ τῆς ἐκπορεύεται, καὶ τῆς πρόεισι λέξεως, τὸ ἐξέρχεται σημαίνειν δοκῦσα, καὶνταῦθα τοῖς μὴ μετὰ ἐμπειρίας ἀκέσι πολλιὺ ἀπάτλιν πρὸς ὄλιθον ἐμποιεῖ· δοκῦσι γὰρ αὐτίκα ἐξέλθσίν τινα χρονικλιὺ καὶ τοπικλιὺ τῆς τῦ ἁγίε Πνεύματος ὑποσάσεως, ἀπό τινος προσώπε ἐπί τι πρᾶγμα, ἢ τόπον, ἢ πρόσωπον· τὸ δ' ἐ τοιῦτον ἐσίν. Ἡμῖν γὰρ ἀσεβῶς, τὸ μὲν ἐκ τῦ Πατρὸς ἐκπορεύεται, ἐπὶ τῦ παρακλήτε θεολογέμενον Πνεύματος, ἀντὶ τῦ ὑφέ. ςηκεν ἐκ τῦ Πατρὸς μόνε, καὶ ἐσὶ, καὶ νομίζεται· διὸ καὶ μετὰ προσδιορισμῦ λέγεται τῦτο, καὶ ἐκ ἀπότινος εἴς τι κίνησιν αὐτῦ δηλοῖ καὶ προέλθσιν, ἀλλὰ καθ' ὕπαρξιν μονιμωτάτλιν· τὸ δὲ πρόεισιν, ἀντὶ τῦ προχεῖται ἢ τῶν χαρισμάτων αὐτῦ δαψίλεια πρὸς ἡμᾶς ἐκ Πατρὸς δι' Υἱῦ, καὶ ἐκ Πατρὸς καὶ Υἱῦ. Ὃν γὰρ τρόπον ἐκ τῦ Πατρὸς γεννᾶθαι λέγομεν τὸν Υἱὸν, ἤγεν ἀδιαςάτως καὶ ἀϊδίως ὑφίςαθαι ἐν αὐτῷ τῷ Πατρὶ, ἐκ ἐν χρόνῳ, ἐκ ἐν τόπῳ, ἢ διάτι, ἀλλὰ καθ' αὐτὸν ἀῤῥήτως καὶ ὑπὲρ πᾶσαν αἰτίαν, τὸν αὐτὸν τρόπον φαμὲν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, πλιὺ τῦ τρόπε τῆς ὑπάρξεως, ἐκ τῦ Πατρὸς ἐκπορεύεθαι· τετέσι παρ' αὐτῦ προσωπικῶς ἐσιᾶθαι ὑπὲρ ἅπασαν ἔννοιαν, ἢ μεταβατικῶς ἐκπορεύόμενον, ἐχ ὑπεκάτε, ἢ χρονικῶς, ἢ πρός τινας, ἔκενγε· ἀλλὰ καθ' ὕπαρξιν μόνιμον, καὶ τῷ τῦ Θεῦ Λόγῳ σιωάναρχον. Διὰ τὰς ῥηθείσας τοίνιν ταύτας αἰτίας, καὶ οἱ νέοι καὶ οἱ πάλαι τῶν Λατίνων διδάσκαλοι, ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἕναν καὶ προϊόνα πολυτρόπως διδάσκεσιν, ὧν δεῖ τῇ

Καὶ τοῦτο πολλάκις ἡ πεῖρα παρέσηκεν· ὅτι ἀφ' ἧπερ χριστιανοὶ ἐπεκλήθημεν, Πατριάρχαι πολλοὶ, καὶ Βασιλεῖς σιὼ αὐτοῖς, αἱρεσιῶται γεγόνασι, καὶ τούτοις σωαπήχθησαν τινὲς τῶν ὑπ' αὐτούς· ἡ μέντοι πίστις ἀσάλευτος ἔμεινε· τὶ μὴ λέγω τὰς νίκας αὐτῆς καὶ τὰ τρόπαια; ὅτι πολλάκις ἐν ταὐτῷ καὶ Βασιλεῖς, καὶ Τύραννοι, καὶ Σατράπαι, καὶ Τοπάρχαι, καὶ σοφοὶ καὶ ῥήτορες, καὶ ταύτης ἀλλότριοι καὶ οἰκεῖοι, ὁρμῇ πάσῃ κατ' αὐτῆς ἔπνευσαν, ἀλλ' οἱ μὲν γεγόνασιν ὡσεὶ κόπρος τῇ γῇ, καὶ ὡς καπνὸς διελύθησαν, ἡ δὲ ἀκλόνητος ἵσταται· ἡ γὰρ ἐν τῷ Συμβόλῳ ἡμετέρα ὁμολογία, καὶ τὸ Δανιὴλ φωνὴ, καὶ τὸ Γαβριὴλ, ἐδιαπεσεῖται· καὶ ἀψευδὴς ὁ εἰπὼν, ἆρ' ἐλθὼν ὁ Υἱὸς τοῦ Θεοῦ εὑρήσει τὴν πίστιν. Ὥστε καὶ νῦν, εἴτις ἡμῶν βεληθῇ τὸ σέβας ἐξομώσασθαι, αὐτὸς μὲν ἑαυτὸν τῆς τῶν ὀρθοδόξων ὁλομελείας μερίσει, τῆς μέντοι πίστεως ἡμῶν ταύτης ἀνθέξονται, μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας, Ῥωμαῖοι, Ἴβηρες, Κόλχοι, Ἀλβανοὶ, Ἀλανοὶ, Ἀβασγοὶ, Ζίκχοι, Πόντιοι, Ῥῶσοι, Δάκες, Ἰάζυγες, Μυσοὶ, Τριβαλλοὶ, Ἀλβανίται, Νησιῶται, Σύροι, καὶ Μελχοὶ, Αἰθιόπων Μητροπόλεις πέντε πρὸς ταῖς ἑβδομήκοντα, καὶ Ἰνδῶν μερὶς ἀμικρά. Ἢ τὶ χρὴ καταλέγειν ἐθνῶν ἀγέλας, ὅπου ἐκ οὐ ὀνόμασι, καὶ ῥήμασι, καὶ λόγων πλοκαῖς, ἀλλ' οὐ πράγμασι, μᾶλλον δὲ ὑπὲρ τὰ πράγματα πάντα, ἐστὶν ἡμῖν ἡ εὐσέβεια;

Ἵνα δ' ὃ λέγω καταδήλον γένηται, ἄθροισόν μοι πάντας σοφεὺς, τοὺς ποτὲ, τοὺς νῦν, τοὺς ἔπειτα, τῇ τοῦ νοῦ αὐθεντίᾳ, εἰς οὗ· καὶ παράσχε τούτων ἑκάστῳ, εἰ βούλει, γλώττας μυρίας ὁμοῦ· καὶ πρόσταξον πᾶσι τοῦ πεῖσαί με τῇ τοῦ λόγου δυνάμει, ἢ τὸν ἥλιον σκότος νομίζειν, ἢ τὸ πῦρ κρύσταλλον, ἢ τὸν κόσμον ἀνύπαρκτον, ἢ τὸν λίθον ἀνόητον, ἢ τὶ τῶν ὅσα καὶ ὁ ἀνθρώπινος νοῦς, καὶ ἡ αἴσθησις ἀδιδάκτως ἐπίσταται ἔτω πῶς ἔχοντα φύσεως, πρόδηλον πάντως ὡς ἀπεῖσαι δυνήσονται· ἢ τηνικαῦτα δυνήσονται, λοίκα τὴν τῶν ὄντων φύσιν μετα-

τρὸς δὲ τὸ Πνεῦμα, καὶ ἐχ ἑτέρωθεν· νῦν δὲ, ἐκ μόνε τε Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐχὶ καὶ ἐκ τε Υἱε· νῦν δὲ, ἴδιον τε Πατρὸς τὸ προβάλλειν τὸ Πνεῦμα τὸ ἅγιον· νῦν δὲ, ϲὺ πρόβλημα μόνον μόνως ἐκ μόνε τε Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον· νῦν δὲ, ὅσα ἁρμόζει αἰτίᾳ, τῷ Πατρὶ μόνῳ προσαρμοσέα· νῦν δὲ, μόνῳ τῷ Πατρὶ ἡ ἐκπορευτικὴ πρόσεϲιν ἰδιότης· νῦν δὲ, μόνον Πατρόθεν, ὡς ἐκ νέ, καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα προήλθοσαν· καὶ πῇ μὲν, ἡμῖν εἷς Θεὸς ὁ Πατὴρ, ἐξ ἓ τὰ πάντα· καὶ γὰρ ὁ Λόγος ἐξ αὐτε γεννητῶς, καὶ τὸ Πνεῦμα ἐξ αὐτε ἐκπορευτῶς· πῇ δὲ, ὡς ὁ Υἱὸς ἐκ τε Πατρὸς, ἕτω καὶ τὸ Πνεῦμα ἐκ τε Πατρὸς, πλὴν τε τρόπε τῆς ὑπάρξεως· καὶ ᾧδε μὲν, εἰ καὶ μὴ ὡς ὁ Υἱὸς ἐκ τε Πατρὸς τὸ Πνεῦμα, ἀλλ' ἓν ἐκ τε αὐτε Πατρὸς· ἐκεῖϲε δὲ, κοινὸν Υἱῷ καὶ Πνεύματι τὸ ἐκ τε Πατρός· καὶ δεῦρο μὲν, ἐχὶ καὶ ἐξ Υἱε τὸ Πνεῦμα ἔχει τιὴ ὕπαρξιν· ἄλλοθι δὲ, ἕτω δὲ τὸ Πνεῦμα, Πνεῦμα Υἱε, ἐχ ὡς ἐξ αὐτε. Ἑτέρωθι δὲ, κατὰ μὲν τιὴ ϑείαν καὶ τιὴ ὑπόϲασιν αὐτε ἐϲὶ τε Υἱε τὸ Πνεῦμα, ἀλλ' ἐκ ἐξ αὐτε· τέτῳ σωάδει κἀκεῖνο τὸ ἐξάκϱϲον, Πνεῦμα Υἱε λέγομεν, ἐκ τε Υἱε δὲ τὸ Πνεῦμα ϗ λέγομεν. Καὶ ποτὲ μὲν, ἡμῖν εἷς Θεὸς, ὅτι πρὸς ϲὺ τὰ ἐξ αὐτε τιὴ ἀναφορὰν ἔχει· ποτὲ δὲ, ϲὺ γὰρ πρόσωπον καὶ τὸ αὐτὸ τε Πατρὸς, ἐξ ἅπερ ὁ Υἱὸς γεννᾶται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται· ποτὲ δὲ, εἷς παρ' ἡμῖν, ἀμφοῖν τοῖν προσώποιν, αἴτιος ὁ Πατήρ· ποτὲ δὲ, τὸν δὲ Υἱὸν ϗ λέγομεν αἴτιον, ϗδὲ Πατέρα· ποτὲ δὲ, πάντα ὅσα ἔχει ὁ Πατὴρ, τε Υἱε ἐϲὶ, πλὴν τῆς αἰτίας· ποτὲ δὲ, μίαν ἴϗασιν οἱ ἅγιοι τε Υἱε καὶ τε Πνεύματος, τὸν Πατέρα, αἰτίαν· ποτὲ δὲ, εἷς μὲν Θεὸς, εἰς ϲὺ αἴτιον καὶ Υἱε καὶ Πνεύματος ἀναφερομένων· ποτὲ δὲ, διόπερ κυρίως, καὶ τὸν ϲνα αἴτιον μετὰ τῶν ἐξ αὐτε αἰτιατῶν, ϲνα Θεὸν Φαμὲν τεθαῤῥηκότως· καὶ ὁ μὲν, πάντα ὅσα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἐκ τε Πατρὸς ἔχει, καὶ αὐτὸ τὸ εἶναι ὅπερ ἐϲίν· ὁ δὲ, Πνεῦμα λέγει τὸ τῆς Πατρικῆς ἐκπορευόμενον ὑποϲάϲεως· ὁ δὲ, ἐγὼ ϑεότητος ἀρχιὴ

σόμεθα τοῖς ῥητοῖς τῶν ἁγίων τῶν νικητηρίων παραχωρήσαντας, δι' αὐτῶν ἀνελεῖν τὰς ἀνθρωπίνας λογισμὰς, καὶ ψοῦδεῖς αὐτὰς ἐπὶ τῶν θείων ἡγεῖσθαι, ἢ ἐκ τῦ πιστεύειν ταῖς ἀνθρωπίναις ἐννοίαις, τὰ τῶν ἁγίων ἀθετῆσαι ῥητά· εἰ γὰρ πᾶν ἀληθὲς, ἀληθεῖ ἐναντίον ἐκ ἔστι· τὸ γὰρ τῷ ἀληθεῖ ἐναντιόμενον, ψεῦδος τυγχάνει ἀντικρυς· ἀληθὲς δὲ κατὰ τὰς τῶν ἁγίων ταύτας χρήσεις ἐστὶν, ὅτι μόνος ὁ Πατὴρ καὶ τῦ Υἱῦ καὶ τῦ Πνεύματος αἴτιος· καὶ ἴδιον τῦ Πατρὸς τὸ προβάλλειν τὸ Πνεῦμα· καὶ ἐκ μόνε τῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον προσωπικῶς ἐκπορεύεται· ἀληθὲς τῦτ' ἔστι καὶ φανερὸν, ὡς ἁπλᾶς τῦτ' ἀναιρῶν ἀληθὴς συλλογισμὸς ἔσαι· φανερὸν δὲ, ὅτι καὶ ὅσες τινὲς πεποίληται πώποτε, ἢ καὶ νῦν ποιεῖν ἐπιχειρῆσι, κατὰ τῦτο δὴ τῦ ἀληθῆς συμπεράσματος, τὸ ἐκ ἐκ μόνε δῆθεν σωώγοντες, ἀνάγκη πάντας εἶναι παρασυλλογισμὰς καὶ σοφίσματα· ταύτητοι τῷ σκότει καὶ τῇ λήθῃ καὶ δοθήτωσαν καὶ ἐρρέτωσαν· ἐπεὶ ὅτε διὰ συλλογισμῶν πρὸς τινὰ ἀσέβειαν ἤλθομεν, ὅτε τὸ τῆς Τριάδος μυτήριον παρ' αὐτῶν ἐμυήθημεν· ὅτε τινὸς τῶν ἱερῶν τελετῶν τὸν τρόπον δι' αὐτῶν μεμαθήκαμεν· ἀλλ' ἁπλᾶς εἰ πάντες οἱ ἐπὶ φιλοσοφίᾳ μέγα κληρωσάμενοι ὄνομα χριτιανοί ποτε, ἢ νῦν ἔτυχον ἔιναι, ἔιχον ἂν τῇ ἑαυτῶν ἐπιτήμῃ διδάξαι καὶ πεῖσαι τινὰς τῶν ἀνθρώπων, ὅτι ὁ εἷς καὶ μόνος Θεὸς, μονὰς ἐστὶν ὁ αὐτὸς καὶ Τριὰς, ἢ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, ἄλλε τινὸς ὄντος τῦ Πατρὸς παρὰ τὸν Υἱὸν, καὶ ἄλλε τῦ Υἱῦ παρὰ τὸν Πατέρα, καὶ ἄλλε τῦ Πνεύματος παρὰ τὸν Πατέρα καὶ τὸν Υἱόν· καὶ τέτων ὁ μὲν Πατὴρ παρ' ἑαυτὸς ἐγεννήθη, ὁ δὲ Υἱὸς μόνος ἀναρχως ἐκ τῦ Πατρὸς γεγένηται, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκ τῦ Πατρὸς μὲν καὶ αὐτὸ καθ' ὑπότασιν πρόεισιν, ἔτι δὲ ἀ γέννημα τῦ Πατρὸς, ἀλλὰ πρόβλημα. Τίς ταῦτα συλλογισμοῖς ἀποδεῖξαι ἰχύει; ἁπλᾶς· ἐπεὶ τῆς ἀνθρωπίνης ἐννοίας τὸ ἀσθενὲς, καὶ τὸ πρόσωπον εἶναι τὸν Θεὸν ἀπαιτεῖ, καὶ πᾶν τὸ ὂν ἔκτινος ἔχειν τὸ εἶναι, καὶ πᾶν τὸ γεννηθὲν ἄρξαθαι ποτὲ τῆς ἰδίας γεννήσεως, καὶ πᾶν

ἐχὶ ψεῦδος σωίζησιν ἡ ἀλήθεια· ὅτι δὲ τὸ συμπέρασμα τοῦτο ἐκ ἀληθὲς, ἦγεν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, ἔτω καὶ ἐκ τοῦ Υἱοῦ τιὼ ὕπαρξιν ἔχει καθάπερ ἐξ αὐτοῦ τοῦ Πατρὸς, καὶ πολλαχόθεν τοῖς αἱρεμένοις σκοπεῖν, κἀντεῦθεν δῆλον. Ἐπὶ τῆς θείας Τριάδος ἄλλος ἐστὶν ὁ Πατὴρ καθ' αὑτὸν, καὶ ἄλλος ἰδίως ὁ Προβολεὺς, ἢ ὁ αὐτὸς καὶ εἷς Πατὴρ, καὶ Προβολεὺς ἐστὶ καὶ Πατήρ;

Ὁ ΠΡΕΣ. Ἄλλος ἐστὶν ὁ εἷς Πατὴρ καθ' αὑτὸν, καὶ ἄλλος ἰδίως ὁ εἷς Προβολεύς· λέγω δὲ καθ' ἡμᾶς. ΙΩΣ. Λοιπὸν, ἐκ ἔστιν ὁ Πατὴρ Προβολεὺς, καὶ ψεύδονται οἱ κηρύττοντες θεολόγοι, τὸν αὐτὸν εἶναι Πατέρα καὶ Προβολέα, καὶ πλανῶνται οἱ πιστεύοντες πάντες, τοῦτον αἴτιον εἶναι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· εἰ δὲ ὁ αὐτὸς καὶ εἷς ἐστὶ καὶ Προβολεὺς καὶ Πατὴρ, ἐκεῖν ὥσπερ μόνος ἐστὶ Πατὴρ, ἔτω καὶ μόνος ἐστὶ Προβολεύς· καὶ ὁ Υἱὸς ὥσπερ ἐκ ἔστι Πατὴρ, ἔτως ἐδὲ Προβολεὺς ἐστὶ καθ' ὑπόστασιν. Ὁ ΠΡΕΣ. Εἶπες, ἤκεσα, πρόσχες, ὅτι μόνος μὲν ἐστὶ Πατὴρ ὁ Πατὴρ, ὁ μόνος δὲ Προβολεύς. ΙΩΣ. Λοιπὸν τὸ μὲν Πατὴρ εἶναι κυρίως ἔχει καὶ μόνος, τὸ δὲ Προβολεὺς εἶναι, ἔτε μόνος, ἔτε κυρίως· καὶ οἱ δοξάζοντες τοῦτον μόνον κυρίως Πατέρα εἶναι καὶ Προβολέα ἐκ ἀληθεύσιν. Ὁ ΠΡΕΣ. Ἵνα τί ἔτω θηρελεκτεῖς; ΙΩΣ. Ὅτι σὺ ἔτω κενοφωνεῖς· ὅτι δὲ κατ' Ἰταλὸς ἄλλος ἐστὶν ὁ εἷς Πατὴρ, καὶ ἄλλος ἐστὶν ὁ εἷς Προβολεὺς, πρόδηλον· ὁ μὲν γὰρ εἷς Πατὴρ, Πατὴρ ἐστὶ μόνον, ὁ μιὼ καὶ Υἱός· ὁ δὲ εἷς Προβολεὺς κατ' αὐτὸς, ἐχὶ Πατὴρ ἐστὶ μόνον, ἀλλὰ Πατὴρ καὶ Υἱός. Πάλιν, ὁ ἐν τοῖς θείοις προσώποις πιστεύομενος εἷς Προβολεὺς, ὁ αὐτὸς ἐστὶ καὶ Προβολεὺς καὶ Πατὴρ καὶ Υἱός; ἢ ἄλλος ἐστὶν ὁ Πατὴρ, καὶ ἄλλος ὁ Υἱὸς, καὶ ἄλλος ὁ καθ' ὑπόστασιν τοῦ θείου Πνεύματος Προβολεύς; ἢ ὁ ἐν τέτοις μόνος Πατὴρ, καὶ μόνος Πατὴρ, καὶ μόνος ἐστὶ Προβολεύς. Ὁ ΠΡΕΣ. Ἐπίχες μικρὸν ὅσον ὅσον.

ΙΩΣ. Ἵνα τί ἄθεν κἀκεῖθεν περινοστεῖς; ὧδε πρὸς τὸν λόγον κατ' ἔπος ἀπάντησον· εἰ μὲν γὰρ ὁ αὐτὸς καὶ εἷς Προβο-

ἀφ' ἑαυτοῦ μόνου ὁλικῶς προβάλλει τὸ Πνεῦμα, καὶ τοῦ κατὰ μετοχὴν Προβολέως, δηλαδὴ τοῦ Υἱοῦ, αὐτὸς μόνος ἐστὶ καθ' αὑτὸν, καὶ ἄναρχος, καὶ ἀγέννητος, καὶ ἀναίτιος αἴτιος. Ὁ ΠΡΕΣ. Καὶ πῶς τινὲς τῶν ἡμετέρων, καὶ ἐκ τοῦ Υἱοῦ φασὶν αὐτὸ ἐκπορεύεσθαι; ΙΩΣ. Τηνικαῦτα λύσομέν σοι τὰς ἀπορίας, ἡνίκα τοῖς μεθ' ἡμῶν τεταγμένοις τετάξῃ· ὡς ἕως ἂν τοῖς ἡμῖν διαφερομένοις περὶ τὸ δόγμα πρόμαχος ᾖς, ἀπορεῖν σε πάντα, ἢ ἐπίστασθαί τι βουλόμεθα. Διατὶ δὲ μὴ πρὸς ἔπος ἀπαντᾶς, ἀλλ' ἕτερον ἀνθ' ἑτέρου προβάλλῃ; Ὁ ΠΡΕΣ. Μετ' ὀλίγον ἀκούσῃ.

ΙΩΣ. Ἔτι, ὁ ἐν τοῖς θείοις προσώποις λεγόμενος Προβολεὺς, πρόσωπον οὗτος ἐστὶ καθ' αὑτὸν θεωρούμενον, ἢ οὐχὶ πρόσωπον καθ' αὑτό; εἰ μὲν οὐκ ἔστι πρόσωπον οὗτος, περὶ τοῦ μὴ ὄντος ἐν τῇ θείᾳ Τριάδι προσώπου, ἡμῖν ὀλίγη φροντίς· οὐδὲ γὰρ αἴτιον ἔσται θείου προσώπου, τὸ μὴ πρὶν καθ' αὑτὸ αὐθυπόστατον πρόσωπον· εἰ δὲ πρόσωπον οὗτος ἐστὶν, ἢ τῷ Πατρικῷ μόνῳ προσώπῳ ἔσται ταὐτὸν, ἢ τῷ Υἱϊκῷ μόνῳ, ἢ τοῖς δυσὶ προσώποις, ἢ οὐδενὶ τούτων ταὐτόν· εἰ μὲν οὖν μόνῳ τῷ Πατρικῷ, εὕρηται τὸ ζητούμενον, εἰ δὲ μόνῳ τῷ Υἱϊκῷ, καὶ Υἱὸς ἔσται, καὶ Προβολεὺς ὁ αὐτός· εἰ δὲ καὶ τοῖς δυσὶ προσώποις ταὐτὸν, καὶ Πατὴρ λοιπὸν ἔσται ὁ αὐτὸς καὶ Υἱὸς, καὶ συνάδελφος, καὶ πατράδελφος· εἰ δὲ οὐδενὶ τούτων ταὐτὸν, λοιπὸν οὔτε Πατὴρ ἐστὶν, οὔτε Υἱὸς ὁ αὐτός· καὶ τούτου κρατοῦντος, οὐκ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται. Ἔτι, ὁ εἷς Προβολεὺς ἐν τοῖς θείοις, ἢ ἓν ἔσται πρόσωπον αὐτὸ καθ' αὑτὸ, ἢ ὁ αὐτὸς καὶ εἷς μόνος ἰδίως, δύο ἐστὶ πρόσωπα διακεκριμένα καθ' ἑαυτὰ, ἢ οὔτε δύο ἐστὶ πρόσωπα, οὔτε ἓν, ἀλλὰ δύναμις μία κοινὴ Πατρὸς καὶ Υἱοῦ· καὶ ἵνα μὴ μακρηγοροῦντες φορτικοὶ τισὶ δόξωμεν, αὐτὸς καὶ τὰ ἐκ τῶν λόγων τικτόμενα, τούτων ἐχόμενα δίειμι. Εἰ μὲν οὖν ἓν ἐστὶ πρόσωπον καὶ αὐτὸς, ἐπεὶ καὶ ὁ Πατὴρ ἓν ἐστὶ πρόσωπον, καὶ ὁ Υἱὸς ἄλλο πρόσωπον, καὶ τὸ ἅγιον Πνεῦμα παρὰ ταῦτα ἕτερον πρόσωπον, τὸ θεῖον

ἔνομα

καθ' ὑμᾶς, ἐχ Υἱὸς ἐστὶ μόνον, ἀλλ' Υἱὸς καὶ Πατήρ· ἄλλος ἄρα ὁ Υἱὸς τῦ Θεῦ, καὶ ἄλλος ὁ τῦ Πνεύματος Προβολεὺς καθ' ὑπόσασιν· καὶ οἱ τὸν Υἱὸν λέγοντες Προβολέα ἐκ ἀληθεύσι. Πρὸς δὲ, εἴπερ τῦ μὲν Υἱῦ μόνος αἴτιος ἐστὶν ὁ Πατὴρ, τῦ δὲ Πνεύματος ἐ μόνος, ἀλλὰ μετάτινος· ἔτοι δὲ δύο· οἱ δύο πάντως ἄλλοτι τῦ ἑνὸς ὄντες, δύο ἐπὶ τῆς θείας Τριάδος αἰτίες εἰσάγεσι· τετέσι τὸν εἶνα Πατέρα τῦ ἑνὸς Υἱῦ εἶνα αἴτιον, καὶ τὸν εἶνα Προβολέα, ἄλλο τὶ ὄντα παρὰ τὸν εἶνα Πατέρα, τῦ ἑνὸς Πνεύματος ἄλλον αἴτιον· καὶ τὸ ἐκ τέτων ἑπόμενον πρόδηλον· ὅτι δύο θεότητος αἴτιοι. Ἔτι, ἐπεὶ ὁ ἐς Προβολὸς καθ' ὑμᾶς ἔτε ὁ Πατὴρ ἐστὶ μόνος, ἔτε ὁ Υἱὸς καθ' αὐτὸν, ἀλλὰ τὸ σιωαμφότερον τέτων, καθ' ἕνωσιν, ἢ σιώαψιν, ἢ σιωαίρεσιν, ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἦγεν· λοιπὸν ὁ αὐτὸς καὶ ἐς Προβολὸς, καὶ δύο τινὰ ἔσαι κατά τι διηρημένως, καὶ ἓν πάλιν ἐκ δυοῖν σιωεχόμενος· καὶ τρία, καὶ δύο, καὶ ἕν, ὅπερ ἄτοπον. Ἔτι, ἐπείπερ ὁ ἐν τῇ θείᾳ Τριάδι Πατὴρ μόνον γεννᾷ, ἐ μὶν καὶ γεννᾶται· ὁ δὲ Υἱὸς τότε ἐ γεννᾷ· καὶ ὁ μὲν τῦ Θεῦ Υἱὸς μόνος ἐστὶ γεννητὸς ἐν αὐτῇ, ὁ δὲ Πατὴρ ἀγέννητος εἶναι παρὰ πᾶσι δοξάζεται· εἰσὶ δὲ καθὼς ὑμεῖς λέγετε, καὶ ἀμφότεροι Προβολεῖς τῦ Πνεύματος καθ' ὑπόσασιν, πᾶσα ἀνάγκη ἐν τοῖς θείοις προσώποις, ἢ ἕνα εἶναι τὸν Προβολέα ἐκ δυοῖν σιωισάμενον, ἢ δύο Προβολεῖς διαφόρες τῦ Πνεύματος· καὶ γεννῶν ἔσαι ὁ αὐτὸς καὶ ἐς Προβολὸς καὶ γεννώμενος, καὶ γεννητὸς καὶ ἀγέννητος. Ἔτι, ἐπεὶ ὁ μὲν ἐς Πατὴρ ἐν τῇ θείᾳ Τριάδι ὅλος γεννᾷν καὶ ὅλος προβάλλειν παρὰ πᾶσι πιςεύεται, ὁ δὲ ἐς Προβολὸς, τετέσιν ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καθ' ὑμᾶς, ἔτε ὅλος γεννᾷ, ἔτε ὅλος προβάλλει, ἀλλὰ τὸ μὲν αὐτῦ καὶ γεννᾷ καὶ προβάλλει ὁ Πατὴρ μόνον, τὸ δὲ προβάλλει μόνον ἐμὶν καὶ γεννᾷ, ὁ Υἱὸς δηλονότι· ἄλλος λοιπὸν ὁ γεννῶν, καὶ ἄλλος ὁ μὴ γεννῶν Προβολός· εἰ δὲ τῦτο, καὶ δύο οἱ τῦ Πνεύματος αἴτιοι, καὶ τετρὰς τὸ παρ' ὑμῶν πρεσβεύομενον· ὃν γὰρ τρόπον τὸ καθ' ὕπαρξιν ἀδιαφόρως ἐξ ἑνὸς μόνε πρόσωπε προερχόμενον πρόσωπον, πάσαις ψήφοις,

ἓν

προσδέχεται· ὥστε ἐ τοῖς τῦ Πατρὸς καὶ τῦ Υἱῦ προσώποις τὸ πρόσωπον τῦ καθ' ὑμᾶς Προβολέως λαθὸν ποθὲν συνεισέρχεται· ἄπαγε! ὅτι τὰ μὲν πρόσωπα ἐστὶ, καθ' αὑτὸ θεωρέμενον ἕκαστον, ὁ δὲ, προσώπων δύναμις, ἐχὶ πρόσωπον. Ὁ ΠΡΕΣ. Ἐγὼ πρὸς τοσαύτην φορὰν καὶ θρασύτητα λόγων ἐπαπορῶ.

ΙΩΣ. Οὕπω δοκεῖς μοι τοῖς ῥηθεῖσιν ἐπισῆσαι τὸν νῶν· ἐκῶν ἐξ ὑπαρχῆς τὰ αὐτὰ ἐκδηλότερον ἄκουσον. Ἐγὼ κ' γαλιλύω καὶ εἰρηύω καὶ ἠρεμίαν φιλῶν, σιγᾶν μᾶλλον ἢ λαλεῖν περὶ τῶν φυομένων ἀτόπων ἐκ τῦ κατ' Ἰταλὲς συμπεράσματος, περὶ τῆς τῦ ἁγίε Πνεύματος ἐκπορεύσεως ἤθελον· ἐπεὶ δὲ καὶ μὴ θέλων εἰς τὸ περὶ αὐτῶν λέγειν φέρομαι, εἰπέ μοι, ὁ Πατὴρ καὶ ὁ Υἱὸς αἷμα, ἓς ὑμεῖς λέγετε εἶναι τῦ Πνεύματος αἴτιον εἶναι, τῇ κοινῇ τέτων ἐσίᾳ, ἢ τῇ μιᾷ ἑαυτῶν ὑποσάσει, ἢ τῇ ἐκπορευτικῇ μόνῃ δυνάμει ἐκπορεύσι τὸ Πνεῦμα τὸ ἅγιον; εἰ μὲν ἓν τῇ κοινῇ τέτων ἐσίᾳ, ἐπεὶ ταύτῃ εἶσι Πατὴρ καὶ Υἱὸς καὶ Πνεῦμα, τῆς θείας πάντως ἐσίας τὸ μὲν ἀφ' ἑαυτῦ ἐκπορεύει, τὸ δὲ ἀφ' ἑαυτῦ ἐκπορεύεται· καὶ μερίζεται ἡ ἀμέριστος· εἰ δὲ τῇ μιᾷ αὐτῶν ὑποσάσει, ὁ Πατὴρ ἄρα καὶ ὁ Υἱὸς ἓσαι μία ὑπόσασις· εἰ δὲ καὶ τῇ ἐκπορευτικῇ μόνον δυνάμει, ἐπεὶ ἔτε Πατὴρ ἐστὶν αὗτη, ἔτε Υἱὸς, ἀλλὰ κοινὴ τέτων δύναμις, ἀδιαμῶς τὸ Πνεῦμα καθ' ὕπαρξιν ἐκ τῦ Πατρὸς καὶ τῦ Υἱῦ ἐκπορεύεται. Πάλιν, εἴπερ ὁ Πατὴρ μόνος τινὶ πρὸς τὸν Υἱὸν γεννητικινὶ αὐτῦ δύναμιν, μίαν δύναμιν ἔξει, ὁ δὲ Πατὴρ καὶ ὁ Υἱὸς τινὶ πρὸς τὸ Πνεῦμα προβλητικινὶ αὐτῶν δύναμιν, ἄλλην δύναμιν ἕξουσιν, ἤδη κ' τῇ Τριάδι, ἔτε τὸ τῦ Πατρὸς πρόσωπον, ἔτε τὸ τῦ Υἱῦ ἐστὶν ὑποστατικόν· ἦγεν ἐξ αὐτῦ γεννᾷ, ἢ προβάλλον ὑπόσασιν, ἀλλ' αἱ ὑποστατικαὶ τετωνὶ τῶν προσώπων δυνάμεις μόναι· καὶ τότε δοθέντος, ἐκ ἐκ τῶν τῦ Πατρὸς καὶ τῦ Υἱῦ προσώπων τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται.

Αὕθις, παρὰ τῆς θείας Γραφῆς, καὶ πᾶσα ἡ θεία Τριὰς μία δύναμις λέγεται, καὶ ἕκαστον τῶν ταύτης προ-

των αἰτιαταὶ ἰδιότητες· ἅπερ τῆς τῶν ὀρθοδόξων θεοσοφίας ἀλλότρια.

Ἔτι, εἴπερ ἡ γεννητικὴ δυνάμις τὸ Πατρὸς γεννᾷ τὸν Υἱὸν, καὶ ἡ προβλητικὴ δυνάμις Πατρὸς καὶ Υἱοῦ προβάλλει τὸ Πνεῦμα τὸ ἅγιον, ὁ μὲν Πατὴρ καθὸ αἴτιος, καὶ δύο προσώπων, καὶ δύο ὑποστατικῶν δυνάμεων αἴτιος ἔσαι μόνος· ὁ δὲ Υἱὸς καθὸ αἴτιος, καὶ ἑνὸς μόνου προσώπου, καὶ μιᾶς ὑποστατικῆς δυνάμεως, αἴτιος ἔσαι ὲ μόνος· ὅτι πᾶν τὸ παραὰ τε λεγόμενον εἶναι, πρὸς τιὼ τῶν πρώτων αἰτίαν τιὼ ἀναφορὰν ἔχει, ὡς αὐ τῷ πρώτῳ τῶν ἀντιῤῥητικῶν φησὶν ὁ μέγας Βασίλειος· εἰ δὲ τοῦτο δοίημεν ὅλως, ὁ μὲν Πατὴρ τῶν ἐξ αὐτοῦ αἴτιος ἔσαι μόνος, ὁ δὲ Υἱὸς τῶν ἐξ αὐτοῦ ὲ μόνος· καὶ αὖ, ὁ μὲν Υἱὸς καθὸ αἰτιατὸς, ἐκ δυοῖν· τὸ δὲ Πνεῦμα καθὸ αἰτιατὸν, ἐκ τριῶν· ἐκ δύο ἤτοι προσώπων, καὶ δυνάμεως μιᾶς.

Ἔτι, εἴπερ ὁ ἐκ Πατὴρ αὐ τοῖς θείοις προσώποις ἐκ ἔσιν ὁ Υἱὸς, καὶ ὁ ἐκ Υἱὸς ἐκ ἔσιν ὁ Πατὴρ, καὶ ὁ ἐκ Προβολεὺς, ἔτε ὁ Πατὴρ ἐσὶν, ἔτε ὁ Υἱὸς· ὅτι ἐκ ἔσι πρόσωπον ἀλλὰ δύναμις· καὶ τὸ αὖ Πνεῦμα τὸ ἅγιον, ἔτε ὁ Πατὴρ ἐσὶν, ἔτε ὁ Υἱὸς, ἔτε ὁ Προβολεύς· λοιπὸν τῷ μὲν Υἱῷ, ἐκ ἐσὶ μόνος αἴτιος ὁ Πατήρ· τῷ δὲ ἁγίῳ Πνεύματος, τρεῖς καθ' ὑπόσασιν αἴτιοι, ὁ ἐκ Πατὴρ, ἄλλος ὢν παραὰ τὸν ἕνα Υἱὸν, καὶ ὁ ἐκ Υἱὸς, ἄλλος ὢν παραὰ τὸν ἕνα Πατέρα, καὶ ὁ ἐκ Προβολεύς, ἄλλος ὢν παραὰ τὸν ἕνα Υἱὸν ἢ τὸν ἕνα Πατέρα· ἐπεὶ ἔθ' ὑπόσασιν ἕτος θηλοῖ, ἔτε πρόσωπον ἕτος ἐσί. Καὶ τούτων ἔτως ἐχόντων, αὐ τῇ αὐτῇ ἢ μιᾷ Τριάδι, καὶ τριὰς προβολέων, καὶ τετραὰς αἰτίων προσώπων ὁρίσκεται.

Ἔτι, εἰ τὰ δύο τῆς μιᾶς μορφῆς πρόσωπα ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καὶ δύο προσώπων ἐσὶν αἴτια, καὶ δύο δυνάμεων ὑποστατικῶν, ἆρα καὶ τὰ δύο αὐτῆς πρόσωπα ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ὲ δύο προσώπων αἰτιαὶ μόνον ἔσαι, ἤτοι Πατρὸς καὶ Υἱοῦ, ἀλλὰ καὶ δύο δυνάμεων ὑποστατικῶν ταῦτα αἰτιατά· εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον,

ΤΟΥ ΑΥΤΟΥ

ΛΟΓΟΣ ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ

ΠΕΡΙ

ΤΗΣ ΕΝΩΣΕΩΣ ΤΩΝ ΕΚΚΛΗΣΙΩΝ

Τῆς μελετωμένης γενέσθαι κατ' ἐκεῖνο καιρὸν· εἰρῆσθαι δὲ ἐν τῷ Σιωδικῷ τῆς τὸ Χρισὸ μεγάλης Ἐκκλησίας.

Θεὸς ὁ πάντα ποιῶν καὶ μετασκευάζων ἐπὶ τὸ κρεῖττον, καὶ περὶ τῆς ἑαυτοῦ ταύτης ποίμνης, ἅτε προνοητὴς φροντιεῖ· πλὴν καὶ ἡμᾶς περὶ τῆς μελετωμένης ταύτης ἑνώσεως, καὶ ἰδίᾳ σκέπτεσθαι δεῖ, καὶ κοινῇ βουλεύεσθαι χρὴ, καὶ παντὶ τρόπῳ ἐπιτηδεύειν, πῶς ἂν τῆς προσιούσης ἡμῖν παρατάξεως ὑπέρτεροι φερεθῶμεν, καὶ μὴ καταισχύνειεν, ὅ φασι, τὰ ὅπλα τοὺς στρατιώτας· ἢ μᾶλλον εἰπεῖν, πῶς ἂν ἡ ἕνωσις γένηται, καὶ μὴ ἀπειρία τῶν ταύτην θελόντων, ἢ ἐπηρεία τῶν μὴ θελόντων, ἐκπέσωμεν τῆς προθέσεως. Χρῆμα καὶ γὰρ τῳόντι ἀναγκαῖον ἡμῖν καὶ σοφὸν, καὶ τῶν ὅτι μάλισα λυσιτελεσάτων, τὸ προαναθρεῖν εὖ μάλα τὰ δυσχερῆ, καὶ τῆς ἀβλήτου βουλεύσεως τὴν ἔφοδον, καὶ προαποσκοπεῖν πειρᾶσθαι γοργῶς, τὰ, ὧν εἰ γένοιτο ἡμᾶς πρὸς πεῖραν ἐλθεῖν, ἐν παντὶ κεισόμεθα κακῷ. Ἀλλ' ἴωμεν ἤδη ὀρθῷ πηδαλιοχήσαντες λογισμῷ, πρὸς τὴν τοῦ πρέποντος καὶ χρησίμου κατάσκεψιν· ἡ δ' ὑμετέρα διάκρισις τὸν ἀκριβῆ καὶ ἀπεξεσμένον, ἐφ' ἑκάστῳ τῶν ῥηθησομένων ἐξεταζέτω μοι νῦν· καὶ εἴτι ἂν δόξαιμι μὴ λέγειν ὀρθῶς, ἢ νοεῖν, δίκαιοι ἂν εἶητε τοῦτο καὶ φιλίως ἐπανορθοῦν, καὶ μεθαρμόζειν σο-

ἔχειν καὶ δῆσαι καὶ λύσαι καὶ συςῆσαι ἐν τοῖς αὐτοῦ, ὡς φασὶ, καὶ συναντιλήπτορας ἑκατὸν, καὶ ἀκολούθους μυρίους ἐπάγεσθαι· ὁ δὲ, καὶ γυμνὸς ἐξουσίας, καὶ μόνος, εἰ τύχοι, καὶ πένης, πρὸς αὐτὸν ἀντιπαρατάττηται. Τοῦτον οὖν τὸν, εἴτε Πρέσβυν τῆς ἡμῶν Ἐκκλησίας πρὸς τὴν ἐκείνων, εἴτε Τοποτηρητὴν τῆς ἡμετέρας Συνόδου πρὸς τὴν αὐτῶν, εἴτε τοῖν γενοῖν ἀμφοτέροιν Μεσίτην, ἢ τῆς ὀρθοδοξίας Δικαῖον, ἢ ὅ, τι ἂν ἐκεῖνον θελήσητε λέγειν, σύμβουλον καὶ οἰκονόμον καὶ πράκτορα τῶν πρὸς αὐτοὺς πάντων λόγων καὶ τῶν πραγμάτων συςήσασθε. Φημὶ δὲ, καθ' ὅσον χρόνον οἱ Τοποτηρηταὶ τοῦ Ῥώμης ἐνταῦθα προσμείνωσιν, αὐτὸς τοὺς λόγους ὑμῶν, τοὺς μὲν ἀπὸ ςόματος, τοὺς δὲ διὰ γραμμάτων, ἐκείνοις ἀναγγελεῖ· καὶ δὴ καὶ τῶν ἐκεῖθεν λημμάτων, αὐτὸς ἔςαι προσαγωγεύς· ἐνίτε λόγῳ, ἐκεῖνος μετὰ Θεὸν ὑπὲρ ἡμῶν πολεμήσει, ὑμεῖς δὲ πόῤῥω βελῶν, τὸ τοῦ λόγου, καθίσεσθε· τοῦτο καὶ μόνον αὐτὸς ὀφείλων τοῖς ὀρθοδόξοις ἡμῖν, τὴν ἐπὶ τοσαῦτα καὶ τετρακόσια ἔτη διῃρημένην ἀγέλην Χριςοῦ, οἰκονομίᾳ χρησάμενον θεαρέςῳ, ἑνῶσαι τὸ καθ' αὑτὸν, τῇ τοῦ ἁγίου Πνεύματος χάριτι· ἡ δὲ πάντως ἔςαι, ἀπαρατρέπτων μενόντων τῶν ἡμετέρων δογμάτων, τὸ τοῖς πολλοῖς μὲν δοκοῦν εἶναι πάντων παραδοξότατον, τῷ δὲ Θεῷ ἑτοιμότατον· καὶ αὖ τοῦτο μόνον αὐτῷ χρεωςοῦντες ἡμεῖς, συνεργεῖν αὐτῷ ἐν τοῖς ἅπασιν, ὑποτιθέναι τὰ δέοντα, συμβουλεύειν τὰ πρὸς τὴν ἕνωσιν συντελοῦντα, εἰσηγεῖσθαι τὰς τῶν πραγμάτων καὶ τὰς τῶν λόγων ἐπιχειρήσεις, καὶ ὅλως ἐκεῖνον μὲν καλάμου λόγον ἐπέχειν, δελτίου δὲ τοὺς λοιποὺς, ὑμᾶς δὲ χειρὸς, Χριςὸν δὲ νοός. Τέσσαρσί τε προσώποις περιςοιχῆσαι τὸν ἄνδρα συμμάχοις· Ἀρχιερεῖ λογίῳ, Ἄρχοντι τῶν τῆς Ἐκκλησίας ἐγκρίτων, Ἑρμηνεῖ ὀρθοδόξῳ, πρὸς δὲ καὶ συνετῷ Ὑπογραφεῖ· ὃς δήπου τῆς ἑβδομάδος ἅπαξ, ἢ δεύτερον, ἅτε δὴ τῆς ὅλης τῶν ὀρθοδόξων Συνόδου ἐκδικητὴς, ἐν τῷ τοῦ Παντοκράτορος Συνοδικῷ, σὺν τοῖς περὶ αὐτὸν ἀπελεύσεται· ἐκεῖσε γὰρ κέκριται ἄριςον εἶναι τὰς περὶ τοῦ δόγματος ἡμῶν διαλέξεις, ὡς ἐν Σεκρέτῳ γίνεσθαι, ὅπου καὶ

μάχης ἀρχή· ἀλλ' οἱ λογάδες μόνον κατ' ἔπος σιὼ τάξει καὶ ἠρεμίᾳ, καὶ μακρᾷ διασκέψει, ὁτὲ μὲν τόδε τὸ ζήτημα, ὁτὲ δὲ τόδε διδυκρινήσουσι· καί γε ὑμῖν αὐτοῖς μάλιστα τοῖς τῷ λόγῳ προσάταις, ἐκ ἐν τῇ τῷ λόγῳ δυνάμει ἔσαι ἡ πᾶσα ἐλπὶς, σὺ δὲ τῇ τῷ δόγματος μᾶλλον σεβάσμῳ, καὶ τῇ τῶν πραγμάτων βελτίσῃ μεταχειρήσει, καὶ ἐξαιρέτως τῇ τῷ ἁγίῳ Πνεύματος χάριτι· κἂν μὴ πρὸς τῶν λόγων αὐτῶν ὑμῖν προσγένηται τὸ περιγενέσθαι, πρὸς τῆς ἀρίσης οἰκονομίας, καὶ τῆς τῶν πραγμάτων φύσεως ἔσαι πάντως· ὅτι ἐκ σὺ λόγων πλοκαῖς, καὶ συλλογισμῶν πλεκτάναις, ἀλλ' ἐν ὀρθότητι νοημάτων, καὶ σὺ πράγμασι φύσει ἀμεταβλήτοις ἐσὶν ἡμῖν ἡ εὐσέβεια. Οὕτω μὲν δὴ πρὸς ταῦτα ἑτοιμαθλίας χρεών.

